ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ
ΑΠΟΔΙΝΑΡΙΟΣ
ΛΑΟΔΙΚΕΙΑΣ
(ΜΕΡΟΣ Β')

73

Printed in Greece
Athens 1994

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

© Ἀποστολική Διακονία
Ἰασίου 1 - 115 21 Ἀθήνα, τηλ. 7228 008
Ἔκδοσις Α΄ 1994
K.A. 99.02.073
ISBN 960–315–208–0
960–315–206–4 set
ISSN 1106–5303

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΒΔΟΜΗΚΟΣΤΟΣ ΤΡΙΤΟΣ

ΑΠΟΛΙΝΑΡΙΟΣ ΛΑΟΔΙΚΕΙΑΣ

(ΜΕΡΟΣ Β΄)

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμελήτρια
ΓΕΩΡΓΙΑ Π. ΚΟΥΝΑΒΗ
Θεολόγος - Καθηγήτρια

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1994

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΑΠΟΛΙΝΑΡΙΟΣ ΛΑΟΔΙΚΕΙΑΣ

(ΜΕΡΟΣ Β΄)

ΚΕΙΜΕΝΑ
ΑΠΟΛΟΓΗΤΙΚΑ
Α΄ Ὑπὲρ ἀληθείας (κατὰ τὴν ἔκδοσιν *H. Lietzmann*, Apollinaris von Laodicea und seine Schule. Texte und Untersuchungen I., Tübingen 1904, σσ. 264-265)..... 13
Β΄ Κατὰ Πορφυρίου (κατὰ τὴν ἔκδοσιν *H. Lietzmann*, Apollinaris..., σσ. 265-267)..... 13
ΑΝΤΙΡΡΗΤΙΚΑ (Κατὰ τὴν ἔκδοσιν *H. Lietzmann*, Apollinaris..., σσ. 235-242, 246-248)..... 15
Α΄ Λόγος συλλογιστικός κατὰ Διοδώρου πρὸς Ἡράκλειον..... 15
Β΄ Πρὸς Διόδωρον ἢ Τὸ κατὰ κεφάλαιον Βιβλίον..... 16
Γ΄ Πρὸς Φλαουϊανόν..... 22
Δ΄ Πρὸς Πέτρον..... 23
Ε΄ Πρὸς Ἰουλιανόν..... 23
ΔΟΓΜΑΤΙΚΑ
Α΄ Ἡ κατὰ μέρος πίστις..... 25
Β΄ Ὅτι εἷς ὁ Χριστὸς..... 38
Γ΄ Περὶ σαρκώσεως τοῦ Θεοῦ Λόγου (κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 167-185, 294-302, 303-307). (J.-P. Migne, PG 10, σσ. 1105-1124)..... 43
Δ΄ Πρὸς Ἰοβιανὸν (κατὰ τὴν ἔκδοσιν *H. Lietzmann*, Apollinaris..., σσ. 250-253)..... 47
Ε΄ Περὶ τῆς ἐν Χριστῷ ἑνότητος τοῦ σώματος πρὸς τὴν Θεότητα (κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 185-193)..... 49

ΣΤ′ Λόγος περὶ πίστεως, δηλ. περὶ τῆς σαρκώσεως τοῦ Θεοῦ Λόγου (κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 193-203)..... 53
Ζ′ Πρὸς Διονύσιον Α′ (κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 256-262)..... 58
Η′ Ἀπόδειξις περὶ τῆς θείας Σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου (κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 208-232)..... 62
ΔΟΓΜΑΤΙΚΑ ΕΤΕΡΑ (Κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 204-208, 232-235, 242-246, 248-249, 253-256, 262-264, 267-270)..... 89
Α′ Περὶ ἑνώσεως..... 89
Β′ Περὶ Σαρκώσεως..... 89
Γ′ Περὶ Σαρκώσεως ἢ Εἰς τὴν παράδοσιν τῆς ἀποτάξεως καὶ τῆς πίστεως..... 91
Δ′ Μαρίας ἐγκώμιον καὶ περὶ Σαρκώσεως..... 92
Ε′ Εἰς τὴν ἐπιφάνειαν τὴν ἔνσαρκον τοῦ Θεοῦ..... 93
ΣΤ′ Πρὸς τοὺς ἄνθρωπον ὑπὸ τοῦ Λόγου προσειλῆφθαι λέγοντας..... 94
Ζ′ Συλλογισμοὶ..... 94
Η′ Ἀνακεφαλαίωσις..... 96
Θ′ Λόγοι..... 99
Ι′ Διάλογοι..... 100
ΙΑ′ Ὅτι Θεὸς ἔνσαρκος ὁ Χριστὸς..... 100
ΙΒ′ Πρὸς Σαραπίωνα..... 101
ΙΓ′ Πρὸς Τερέντιον..... 102
ΙΔ′ Πρὸς τοὺς ἐν Διοκαισαρείᾳ Ἐπισκόπους..... 103
ΙΕ′ Πρὸς Διονύσιον Β′..... 104
ΙΣΤ′ Τόμος Συνοδικός..... 104
ΙΖ′ Ἀποσπάσματα ἀπὸ ἀπολεσθέντα..... 109
ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ
Εἰς τὴν μετάφρασιν τοῦ Ψαλτῆρος προθεωρία (κατὰ τὴν ἔκδοσιν τοῦ *A. Ludwig*, Apollinarii metaphrassis psalmorum (Bibliotheca Teubneriana), Leipzig, 1912)..... 111
Ἐπιστολαὶ
Α′ Βασιλείῳ Ἀπολινάριος..... 284
Β′ Βασιλείῳ Ἀπολινάριος (κατὰ τὴν ἔκδοσιν τοῦ *Y. Courtonne*, Saint Basile. Lettres III, Paris, 1966, σσ. 222-225)..... 285
Γ′ Περὶ τῆς θείας οὐσίας (κατὰ τὴν ἔκδοσιν *H. de Riedmatten*, La correspondance entre Basile de Césarée et Apollinaire de Laodicée I, JThS, N.S.7 (1956), σσ. 208-210)..... 287

ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ
ΕΙΣΑΓΩΓΙΚΑ..... 293
ΜΕΤΡΙΟΠΑΘΕΙΣ ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ (Κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 273, 277-278, 283-286, 278-279, 279-283, 286-287, 287-291)..... 297
Α′ Βιταλίου, Περὶ πίστεως..... 297
Β′ Τιμοθέου, Πρὸς Ὁμόνιον..... 298
Γ′ Πρὸς Προσδόκιον Ἐπιστολή..... 299
Δ′ Κατήχησις..... 301
Ε′ Ἐκκλησιαστικὴ Ἱστορία..... 302
ΣΤ′ Ἰοβίου, Ὁμολογία πίστεως..... 305
Ζ′ Οὐαλεντίνου, Κεφάλαια ἀπολογίας πρὸς τοὺς λέγοντας φάσκειν ἡμᾶς ὁμοούσιον τὸ σῶμα τῷ Θεῷ..... 306
ΑΚΡΑΙΟΙ ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ (Κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 273-277), (J.-P. Migne, PG 91, σσ. 169, 172)..... 311
Α′ Πολέμωνος..... 311
Β′ Ἀντιρρητικὸς..... 311
Γ′ Κατὰ Τιμοθέου..... 312
Δ′ Πρὸς Τιμόθεον Ἐπιστολή..... 313
Ε′ Πρὸς Ἰουλιανὸν Ἐπιστολή..... 313
ΣΤ′ Εὐνομίου, πρὸς Ζώσιμον..... 314
Ζ′ Ἰουλιανοῦ, πρὸς Πολέμωνα Ἐπιστολή..... 314
ΑΠΟΛΙΝΑΡΙΣΤΩΝ ΕΤΕΡΑ (Κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 292-294)..... 317
Α′ Ἐγκύκλιον..... 317
Β′ Ἔκθεσις τῆς πίστεως..... 318
ΑΠΟΛΙΝΑΡΙΣΤΙΚΑ ΕΤΕΡΑ (Μετάφρ. ἀπὸ τὰ Γερμανικά: Κατὰ τὴν ἔκδοσιν τοῦ *H. Lietzmann*, Apollinaris..., σσ. 307-322)..... 319
Α′ Ἐπιστολὴ Τρίτη..... 319
Β′ Περὶ πίστεως..... 322
ΠΙΝΑΞ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ..... 335
ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ..... 339

ΑΠΟΛΙΝΑΡΙΟΥ ΛΑΟΔΙΚΕΙΑΣ

ΑΠΟΛΟΓΗΤΙΚΑ

ΥΠΕΡ ΑΛΗΘΕΙΑΣ*

264 Σωζομενοῦ, *Ἐκκλ. Ἱστορία V 18, 6.* Οὐκ ἀγεννὴς δὲ καὶ πρὸς αὐτὸν τὸν βασιλέα (sc. Ἰουλιανὸν) ἤτοι τοὺς παρ᾽ Ἕλλησι φιλοσόφους ἐστὶν αὐτοῦ ὁ λόγος, ὃν «ὑπὲρ ἀληθείας» ἐπέγραψεν· ἐν ᾧ καὶ δίχα τῆς τῶν ἱερῶν λόγων μαρτυρίας ἔδειξεν αὐτοὺς ἀποβουκοληθέντας τοῦ δέοντος περὶ Θεοῦ φρονεῖν. Τάδε γὰρ ἐπιτωθάζων ὁ βασιλεὺς τοῖς τότε διαπρέπουσιν ἐπισκόποις ἐπέστειλεν «Ἀνέγνων, ἔγνων, κατέγνων»· τοὺς δὲ πρὸς ταῦτα ἀντιγράψαι «Ἀνέγνως, ἀλλ᾽ οὐκ ἔγνως· εἰ γὰρ ἔγνως, **265** οὐκ ἂν κατέγνως». Εἰσὶ δὲ οἳ Βασιλείῳ τῷ προστάτῃ τῆς Καππαδοκῶν ἐκκλησίας ταύτην τὴν ἐπιστολὴν ἀνατιθέασιν (ugl. Ps. Basil. epist. 40. 41). Καὶ οὐκ ἀπεικός· ἀλλ᾽ εἴτε αὐτοῦ, εἴτε ἄλλου ταῦτά ἐστιν, ἄγασθαι δίκαιον ἀνδρείας καὶ παιδεύσεως τὸν γράψαντα. ugl. Basilius epist. 263, 4. Ἔστι μὲν οὖν αὐτοῦ καὶ τὰ τῆς θεολογίας οὐκ ἐκ γραφικῶν ἀποδείξεων, ἀλλ᾽ ἐξ ἀνθρωπίνων ἀφορμῶν τὴν κατασκευὴν ἔχοντα.

ΚΑΤΑ ΠΟΡΦΥΡΙΟΥ**

166 Susannae Belisque ac Draconis fabulas non contineri in Hebraïco sed partem esse prophetiae Abacuc filii Iesu de **266** tribu Leui, sicut iuxta LXX interpretes in titulo eiusdem Belis fabulae ponitur «homo quidam erat sacerdos nomine Daniel filius Abda conuiua regis Babylonis», cum Danielem et tres pueros de tribu Iuda fuisse sancta scriptura testetur. Unde et nos ante annos plurimos cum uerteremus Danielem has uisiones obelo praenotauimus significantes eas in Hebraïco non haberi. et miror quosdam μεμψιμοίρους indicari mihi quasi ego decurtauerim librum, cum et Origenes et Eusebius et Apollinarius aliique ecclesiastici uiri et doctores Graeciae has ut dixi uisiones non

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris von Laodicea und seine Schule. Texte und Untersuchungen I. Tübingen 1904, σσ. 264-265.

** Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 265-267.

haberi apud Hebraeos fateantur nec se debere respondere Porphyrio pro his quae nullam scripturae sanctae auctoritatem praebeant.

167 facere non dicenti: in quadringentis nonaginta annis peccata et omnia, quae ex peccatis oriuntur, uitia comprimenda. post quae uentura sint bona et reconciliandum deo mundum in aduentu Christi filii eius. ab exitu enim uerbi, quando Christus de Maria generatus est uirgine, usque ad quadragesimum nonum annum, id est finem septem hebdomadarum, Israëlis exspectatam poenitentiam. postea uero ab octauo Claudii Caesaris anno, contra Iudaeos Romana arma correpta. tricesimo enim iuxta euangelistam Lucam anno aetatis suae coepit in carne dominus euangelium praedicare, et iuxta Ioannem euangelistam per tria paschata duos postea impleuit annos, et exinde sex Tiberii supputantur anni et quattuor C. Caesaris cognomento Caligulae et octo Claudii, id est simul anni quadraginta nouem, qui faciunt hebdomadas annorum septem. cum autem quadringenti triginta quattuor anni post hoc fuerint euoluti, id est sexaginta duae hebdomadae, tunc ab Elia, qui uenturus est iuxta sermonem domini saluatoris, ut restituat cor patrum ad filios, in ultima hebdomade aedificandam Ierusalem et templum per annos tres et semis, uenturumque antichristum et iuxta apostolum sessurum in templo dei et interficiendum spiritu domini saluatoris postquam contra sanctos dimicauerit. atque ita fieri, ut media hebdomas confirmet testamentum dei cum sanctis et rursum media cessationem uictimarum esse praenuntiet sub antichristo, qui ponet abominationem desolationis, id **267** est idolum et statuam proprii dei in templo et erit extrema uastitas et condemnatio populi Iudaeorum qui spreta ueritate Christi receperunt antichristi mendacium. asserit autem idem Apollinarius, hanc se temrorum capere coniecturam, quia Africanus scriptor temporum, cuius supra expositionem posui, ultimam hebdomadam in fine mundi esse testetur, nec posse fieri, ut iunctae diuidantur aetates, sed omnia sibi iuxta prophetiam Danielis esse tempora copulanda.

ΑΝΤΙΡΡΗΤΙΚΑ

ΛΟΓΟΣ ΣΥΛΛΟΓΙΣΤΙΚΟΣ ΚΑΤΑ ΔΙΟΔΩΡΟΥ ΠΡΟΣ ΗΡΑΚΛΕΙΟΝ*

Σύνοδος Κων/λεως. v. j. (680) act. X Labbé VI 842b Mansi XI 499d. **235**. Καὶ προεκομίσθη τὸ τοιοῦτον βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, ἐπίγραφον «ἐκ τῶν ἀποριῶν Ἀπολλιναρίου οὗ ἡ ἀρχή· ἡ ζωὴ τῶν ζώντων αἰτία». Ἔχει δὲ ἡ χρῆσις οὕτως·

117 Θεὸς ἀναλαβὼν ὄργανον καὶ Θεός ἐστι καθὸ ἐνεργεῖ καὶ ἄνθρωπος κατὰ τὸ ὄργανον. Μένων δὲ Θεὸς οὐ μεταβέβληται· ὄργανον καὶ τὸ κινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν· **236** εἰ δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ οὐσία· μία ἄρα οὐσία γέγονε τοῦ λόγου καὶ τοῦ ὀργάνου.

Λεοντίου Βυζαντίου (145) Τιμόθεος. Καὶ ἐν συλλογιστικῷ λόγῳ οὗ ἡ ἀρχὴ·

118 Ὅσα δύο ὄντα ἑνοῦται ἢ εἴδει ἢ ὁμονοίᾳ δύο μένει φησὶν τάδε· ὄργανον καὶ... τοῦ ὀργάνου.

Doctrina patrum 20b τοῦ αὐτοῦ, (Ἀπολλιναρίου) ἐν τῷ κατὰ Διοδώρου ὄργανον καί... λόγου καὶ τῆς σαρκός.

Ἰουστινιανοῦ, Κατὰ Μονοφυσιτῶν. *Scr. VII 30I f. τοῦ αὐτοῦ Ἀπολλιναρίου αἱρετικοῦ ἐκ τῶν κατὰ Διοδώρου λόγων · ὄργανον... σαρκός.*

Σύνοδος Λατερανοῦ. (649). act. V Labbé VI 313c Mansi X 1113d Ἀπολλιναρίου αἱρετικοῦ ἐκ τῶν κατὰ Διοδώρου· ὄργανον... σαρκός. Πρβλ. Κων/λεως. (680) act. XI Labbé VI 906d Mansi XI 516d. Amvosius, de incarnatione VI 51 Legi enim, quod non crederem, nisi ipse legissem, legi inquam in cuiusdam libris sic positum et organum et eum, a quo mouebatur organum, unius in Christo fuisse naturae. *quod ideo posui, ut ex scriptis nomen deprehendatur auctoris et a-*

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 235-242.

duertant, quamuis exquisitissimis argumentis et phaleratis sermonibus non posse uim ueritatis obduci. 52 et hic mihi frequenter Nicaeni concilii tractatum se tenere commemorat.

Doctrina Patrum 16 τοῦ αὐτοῦ (Ἀπολλιναρίου) ὡς κατὰ Διοδώρου πρὸς Ἡράκλειον·

119 Ἄλλης καὶ ἄλλης οὐσίας μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν ἀθέμιτον, τουτέστι ποιητοῦ καὶ ποιήματος, Θεοῦ καὶ ἀνθρώπου. Μία δὲ ἡ προσκύνησις τοῦ Χριστοῦ. Καὶ κατὰ τοῦτο ἐν τῷ ἑνὶ ὀνόματι νοεῖται Θεὸς καὶ ἄνθρωπος. Οὐκ ἄρα ἄλλη καὶ ἄλλη οὐσία Θεὸς καὶ ἄνθρωπος, ἀλλὰ μία κατὰ σύνθεσιν Θεοῦ πρὸς σῶμα ἀνθρώπινον.

Ἰουστινιανοῦ, Κατὰ Μονοφυσιτῶν 303 γράφει γάρ ὁ αὐτὸς Ἀπολλινάριος ἐν τῷ κατὰ Διοδώρου τάδε· ἄλλης... ἀνθρώπινον.

Doctrina Patrum 17 ἐπισυνάψωμεν δὲ αὐτοῖς τὰ Ἀπολλιναρίου δεικνύντες τὴν συγγένειαν ὅση·

ΑΠΟΛΙΝΑΡΙΟΥ ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ

120 Πῶς γὰρ τὸ πρᾶγμα οὐ δυσσεβές, ἄλλην οὐσίαν κτιστὴν καὶ δουλικὴν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῷ Κτίστῃ καὶ Δεσπότῃ;

237 Ἰουστινιανοῦ, Κατὰ Μονοφυσιτῶν 303 κατακλείων ἐν fr. 119 καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ· πῶς... Δεσπότῃ.

ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ
Ἢ ΤΟ ΚΑΤΑ ΚΕΦΑΛΑΙΟΝ ΒΙΒΛΙΟΝ

Θεοδωρήτου, Ἐρανιστής. I t. IV. σσ. 70-71 Sch. ἕνα γὰρ τῶν τῆς θαυμασίας ὑμῶν αἱρέσεως διδάσκαλον Ἀπολλινάριον εἰς μέσον παράξω καὶ δείξω τοῖς ἁγίοις πατράσι τὸ «ὁ λόγος σὰρξ ἐγένετο»[1] παραπλησίως νενοηκότα· ἄκουσον τοίνυν

1. Φιλιπ. 2,7.

ἐν τῷ κατὰ κεφάλαιον βιβλίῳ, οἷα περὶ τούτου συνέγραψεν. Ἐκ τοῦ κατὰ κεφάλαιον βιβλίου·

121 Εἰ ὃ προσλαμβάνει τις οὐ τρέπεται εἰς τοῦτο, προσέλαβε δὲ σάρκα ὁ Χριστός, ἄρα οὐκ ἐτράπη εἰς σάρκα·

Καὶ πάλιν εὐθὺς ἐπισυνάπτων φησί·

122 Καὶ γὰρ ἑαυτὸν ἡμῖν εἰς συγγένειαν ἐχαρίσατο διὰ τοῦ σώματος, ἵνα σώσῃ. Μακρῷ δὲ κάλλιον τοῦ σωζομένου τὸ σῶζον. Μακρῷ ἄρα κάλλιον ἡμῶν καὶ ἐν τῇ σωματώσει. Οὐκ ἂν δὲ ἦν κάλλιον εἰς σάρκα τραπείς.

καὶ μετ' ὀλίγα δὲ οὕτω λέγει·

123 Τὸ ἁπλοῦν ἕν ἐστι, τὸ δὲ σύνθετον οὐ δύναται ἓν εἶναι. Τροπὴν οὖν λέγει τοῦ ἑνὸς Λόγου ὁ φάσκων αὐτὸν σάρκα γεγενῆσθαι. Εἰ δὲ καὶ τὸ σύνθετον ἕν ἐστιν ὥσπερ ἄνθρωπος, τὸ κατὰ σύνθεσιν ἓν λέγει ὁ διὰ τὴν πρὸ σάρκα ἕνωσιν λέγων «ὁ λόγος σὰρξ ἐγένετο».

Εὐσταθίου Μοναχοῦ, κατὰ Μονοφυσιτῶν Mai Scr. VII 290 καθὼς γὰρ ἔφη αὐτὸς Ἀπολλινάριος ἐν τῷ κατὰ κεφάλαιον βιβλίῳ, ὁ μάλιστα κρατύνων τὴν λέξιν ταύτην· τὸ ἁπλοῦν ἕν ἐστι, τὸ δὲ σύνθετον οὐ δύναται ἓν εἶναι.

Θεοδωρήτου, Ἐρανιτής. I σ. 70 καὶ αὖθις μετὰ βραχέα καὶ ταῦτα εἴρηκε·

124 Σάρκωσις κένωσις· ἡ δὲ κένωσις οὐκ ἄνθρωπον, ἀλλὰ Υἱὸν ἀνθρώπου τὸν κενώσαντα ἑαυτὸν[2] ἀπέφηνε κατὰ τὴν περιβολήν, οὐ κατὰ μεταβολήν.

Ἰδού σοι καὶ τὸ τῆς περιβολῆς ὄνομα προσενήνοχεν ὁ τῶν σῶν δογμάτων διδάσκαλος.

Θεοδωρήτου, Ἐρανιστής. II t. IV σσ. 170-174 Sch. ἵνα δὲ γνῷς ὡς καὶ Ἀπολλινάριος ἀσύγχυτον λέγει γεγενῆσθαι τὴν ἕνωσιν προσοίσω σοι καὶ τὰς τούτου φωνάς· ἄκουσον τοίνυν αὐτοῦ λέγοντος·

2. Ἰω. 1.14.

ΑΠΟΛΙΝΑΡΙΟΥ, ΕΚ ΤΟΥ ΚΑΤΑ ΚΕΦΑΛΑΙΟΝ ΒΙΒΛΙΟΥ

238 125 Ἑνοῦται ἄρα τὰ τοῦ Θεοῦ καὶ σώματος, Δημιουργός, προσκυνητός, σοφία καὶ δύναμις[3] ὑπάρχων αἰώνιος· ἀπὸ θεότητος ταῦτα. Υἱὸς Μαρίας ἐπ' ἐσχάτου χρόνου τεχθεὶς προσκυνῶν Θεὸν σοφίᾳ προκόπτων, δυνάμει κραταιούμενος[4]· ταῦτα ἀπὸ σώματος. Τὸ μὲν ὑπὲρ ἁμαρτίας πάθος καὶ ἡ κατάρα προῆλθεν οὐδὲ παρελεύσεται οὐδὲ εἰς ἀσώματον μεταβληθήσεται.

καὶ αὖθις μετὰ βραχέα·

126 Οἱ ἄνθρωποι τοῖς ἀλόγοις ζώοις ὁμοούσιοι κατὰ τὸ σῶμα τὸ ἄλογον, ἑτεροούσιοι δὲ καθὸ λογικοί. Οὕτω καὶ ὁ Θεὸς ἀνθρώποις ὁμοούσιος ὢν κατὰ τὴν σάρκα, ἑτεροούσιός ἐστι καθὸ Λόγος καὶ Θεός.

καὶ ἑτέρωθι δὲ οὕτω φησί·

127 Τῶν συγκιρναμένων αἱ ποιότητες κεράννυνται καὶ οὐκ ἀπόλλυνται, ὥστε τινὰ καὶ διίσταται ἀπὸ τῶν συγκερασθέντων καθάπερ οἶνος ἀπὸ ὕδατος. Οὐδὲ πρὸς σῶμα σύγκρασις οὐδὲ οἷα σωμάτων πρὸς σώματα, ἀλλ' ἔχουσα καὶ τὸ ἀμιγές, ὥστε καὶ πρὸς τὸ δέον ἑκάστοτε τὴν τῆς θεότητος ἐνέργειαν ἢ ἰδιάζειν ἢ ἐπιμίγνυσθαι· καθὰ γέγονεν ἐπὶ τῆς νηστείας τοῦ Κυρίου[5] ἐπιμιγνυμένης μὲν τῆς θεότητος κατὰ τὸ ἀπροσδεὲς ἡ πεῖνα ἐκωλύετο, οὐκ ἀντιτιθείσης δὲ τῇ ἐνδείᾳ τὸ ἀπροσδεὲς ἡ πεῖνα ἐγένετο πρὸς τὴν τοῦ διαβόλου κατάλυσιν. Εἰ δὲ τῶν σωμάτων ἡ μῖξις οὐκ ἠλλάγη, πόσῳ μᾶλλον ἡ τῆς θεότητος;

καὶ ἐν ἑτέρῳ δὲ χωρίῳ ταῦτά φησιν·

128 Εἰ ἡ πρὸς σίδηρον ἀνάκρασις, πῦρ ἀποδεικνῦσα αὐτὸν ⟨τὸν⟩ σίδηρον ὡς καὶ τὰ πυρὸς ἐργάζεσθαι, οὐ μετέβαλε τὴν φύσιν αὐτοῦ, οὐδὲ ἡ τοῦ Θεοῦ πρὸς τὸ σῶμα ἕνωσις μεταβολὴ σώματός ἐστιν, καίτοι τοῦ σώματος τὰς θείας ἐνεργείας παρεχομένου τοῖς ἐφάψασθαι[6] δυναμένοις.

τούτοις εὐθὺς ἐπισυνάπτει·

3. Πρβλ. Φιλιπ. 2,7. 4. Πρβλ. Α' Κορ. 1,24. 5. Πρβλ. Λουκ. 2,40. 6. Πρβλ. Ματθ. 4,2.

239 129 Εἰ ἄνθρωπος καὶ ψυχὴν ἔχει καὶ σῶμα, καὶ μένει ταῦτα ἐν ἑνότητι ὄντα· πολλῷ μᾶλλον ὁ Χριστὸς θεότητα ἔχων μετὰ σώματος ἔχει ἑκάτερα διαμένοντα καὶ μὴ συγχεόμενα.

καὶ μετ' ὀλίγα πάλιν·

130 Μετέχει μὲν γὰρ ἡ ἀνθρωπίνη τῆς θείας ἐνεργείας καθ' ὅσον ἐφικνεῖται· ἑτέρα δέ ἐστιν ὡς ἐλαχίστη μεγίστης. Καὶ δοῦλος μὲν ἄνθρωπος τοῦ Θεοῦ, ὁ δὲ Θεὸς οὐ δοῦλος τοῦ ἀνθρώπου οὐδὲ ἑαυτοῦ. Καὶ ὁ μὲν ποίημα τοῦ Θεοῦ, ὁ δὲ οὔτε ἀνθρώπου ποίημα οὐδὲ ἑαυτοῦ.

καὶ μετ' ὀλίγα·

131 Εἰ κατὰ θεότητα ἐπὶ Χριστοῦ λαμβάνει τις τὸ ἃ βλέπει τὸν Πατέρα καὶ αὐτὸς ποιεῖ[7]· καὶ μὴ κατὰ σάρκα, καθ' ἣν ἰδιάζει ὁ σαρκωθεὶς παρὰ τὸν μὴ σαρκωθέντα Πατέρα, διαιρεῖ δύο θείας ἐνεργείας· οὐ διαιρεῖται δέ· οὐκ ἄρα θεότητα λέγει.

εἶτ' αὖθις καὶ ταῦτα τέθεικεν·

132 Ὥσπερ ὁ ἄνθρωπος οὐκ ἄλογος προσκειμένου τοῦ λογικοῦ τῷ ἀλόγῳ, οὕτως οὐδὲ ὁ Σωτὴρ κτίσμα προσκειμένου τῷ ἀκτίστῳ Θεῷ κτίσματος.

τούτοις καὶ ταῦτα ἐπισυνάπτει·

133 Τὸ ἀόρατον καὶ συντεθὲν πρὸς σῶμα ὁρατὸν καὶ διὰ τούτου θεωρηθὲν μένει καὶ ἀόρατον· μένει δὲ καὶ ἀσύνθετον, καθὸ οὐ συμπεριορίζεται τῷ σώματι· καὶ τὸ σῶμα μένον ἐπὶ τοῦ ἰδίου μέτρου προσλαμβάνει τὴν πρὸς Θεὸν ἕνωσιν κατὰ τὸ ζωοποιεῖσθαι οὔτε τὸ ζωοποιούμενον ζωοποιεῖ.

καὶ μετ' ὀλίγα πάλιν οὕτως εἴρηκεν·

134 Εἰ μηδὲ ἡ ψυχῆς πρὸς σῶμα κρᾶσις καίτοι ἐξ ἀρχῆς κατὰ συμφυΐαν οὖσα ὁρατὴν αὐτὴν διὰ τὸ σῶμα ποιεῖ μηδὲ εἰς τὰ ἄλλα τοῦ σώματος ἰδιώματα μεταβάλλει, ὥστε καὶ τέμνεσθαι καὶ ἐλαττοῦσθαι· πόσῳ μᾶλλον ὁ μὴ σώματι συμφυὴς Θεὸς ἀμεταβλήτως ἑνοῦται πρὸς σῶμα· καὶ εἰ τὸ σῶμα **240** τοῦ ἀνθρώπου ἐπὶ τῆς ἰδίας φύσεως μένει, καὶ τοῦτό γε ἐψυχω-

7. Πρβλ. Ματθ. 9,20.

μένον, οὐδὲ ἐπὶ τοῦ Χριστοῦ τὸ σῶμα ἡ σύγκρασις μήτε μετέβαλεν ὡς μὴ εἶναι σῶμα —

καὶ μετὰ πλεῖστα, πάλιν ταῦτα τέθεικεν·

135 Ὁ ψυχὴν καὶ σῶμα ὁμολογῶν ὡς ἓν ὑπὸ τῆς Γραφῆς παρίστασθαι ἑαυτῷ μάχεται τὴν τοιαύτην ἕνωσιν τοῦ Λόγου πρὸς σῶμα μεταβολὴν εἶναι φάσκων, ταύτην οὐδὲ ἐπὶ ψυχῆς θεωρουμένην.

ἄκουσον αὐτοῦ πάλιν διαρρήδην βοῶντος·

136 Εἰ οἱ μὴ λέγοντες παραμένειν τὴν σάρκα τοῦ Κυρίου δυσσεβοῦσι, πολλῷ μᾶλλον οἱ μηδὲ τὴν ἀρχὴν σεσαρκῶσθαι ὁμολογοῦντες.

Θεοδωρήτου, Ἐρανιστής. III t. IV σσ. 225-257 Sch. ἄκουσον πάλιν τῶν Ἀπολλιναρίου συγγραμμάτων τῆς θείας φύσεως τὸ ἀπαθὲς κηρυττόντων καὶ τοῦ σώματος εἶναι τὸ πάθος ὁμολογούντων·

ΑΠΟΛΙΝΑΡΙΟΥ, ΕΚ ΤΟΥ ΚΑΤΑ ΚΕΦΑΛΑΙΟΝ ΒΙΒΛΙΟΥ

137 Τὸν λυθέντα ναόν[8], τουτέστι τὸ σῶμα τοῦ ἀνιστάντος αὐτόν, εἶπεν ὁ Ἰωάννης· πάντως δὲ τὸ σῶμα ἕν ἐστι πρὸς αὐτὸν καὶ οὐκ ἄλλος τις παρ' αὐτοῖς· εἰ δὲ ἓν πρὸς τὸν Κύριον γέγονε τὸ σῶμα τοῦ Κυρίου, τὰ ἴδια τοῦ σώματος ἴδια αὐτοῦ κατέστη διὰ τὸ σῶμα.

καὶ πάλιν·

138 Τοῦτο γὰρ τὸ ἀληθές, ὅτι ἡ πρὸς τὸ σῶμα συνάφεια οὐ κατὰ περιγραφὴν τοῦ λόγου, ὥστε μηδὲν ἔχειν πλέον τῆς σωματώσεως· διὸ καὶ ἐν τῷ θανάτῳ μένει ἀθανασία περὶ αὐτόν. Εἰ γὰρ ὑπὲρ τὴν σύνθεσίν ἐστι ταύτην, καὶ ὑπὲρ τὴν διάλυσιν· διάλυσις δὲ ὁ θάνατος· οὔτε γὰρ τῇ συνθέσει περιελήφθη· ἦ γὰρ ἂν ὁ κόσμος κεκένωτο· οὔτε ἐν τῇ διαλύσει τὸ ἐκ τῆς διαλύσεως ἐνδεὲς εἶχεν, ὥσπερ ἡ ψυχή.

καὶ αὖθις·

8. Πρβλ. Ἰω. 5,19.

139 Ὥσπερ ἐκ τῶν μνημάτων τοὺς νεκροὺς προϊέναι φησὶν ὁ Σωτὴρ καίτοι τῶν ψυχῶν ἐκεῖθεν οὐ προϊουσῶν, οὕτως **241** ἑαυτὸν ἀναστήσεσθαί φησιν ἐκ νεκρῶν καίτοι τοῦ σώματος ὄντος τοῦ ἀνισταμένου.

Λεόντιος Βυζαντίου (143-145) Τιμόθεος καὶ ἐν τῷ πρὸς Διόδωρον λόγῳ τῷ πρώτῳ μετὰ τὸν περὶ Τριάδος λόγον ἐν κεφαλαίῳ ιδ' οὕτως φησίν·

140 Τὸ ἐξαίρετον ἦν καὶ τὸ θαυμάσιον καὶ τὸ εἰς ἅπαξ οὐκ ἐκ δευτέρου γινόμενον ἡ πρὸς σάρκα ἕνωσις Θεοῦ· ἣν οὐδαμῶς ἡ σὴ ψυχὴ παραδέχεται οὐδὲ τῶν σὲ προαγόντων εἰς τὴν ἀσέβειαν ταύτην καὶ τὴν ἀντίχριστον ἀπιστίαν· καὶ διαπαίζεις τὴν ἄκραν ἕνωσιν καὶ λέγεις Οὐκέτι μένει τὰ ἴδια τοῦ Θεοῦ καὶ τὰ ἴδια τῆς σαρκὸς ἐὰν ἕνωσις ᾖ, ἀλλὰ λύεσθαι τὴν ἄκραν ἕνωσιν ὁμολογῶμεν τὴν ἐκ Δαβίδ.

καὶ ἐν τῷ κζ' κεφαλαίῳ φησίν·

141 Ἀγανακτεῖς γοῦν ὅτι χάριτι τῇ τοῦ Θεοῦ προσειληφέναι τὴν ἀθανασίαν τὸ ἐκ σπέρματος Δαβὶδ[9] οὐ προσιέμεθα· κἂν τὴν αἰτίαν ἐρωτηθῶμεν λέγομεν διὰ τὴν ἄκραν ἕνωσιν.

πάλιν ἐν τῷ ξα' κεφαλαίῳ·

142 Καὶ αἰσχύνεται φύσιν μὲν τὴν αὐτὴ λέγων, γένεσιν δὲ διάφορον· μάταιον ὂν καὶ περιττὸν τὴν ἐκ Παρθένου γέννησιν εἰσάγεσθαι, εἰ μὴ καὶ τὸ γεννώμενον ἐπάξιον εἴη τῆς γεννήσεως, ἀλλὰ ταὐτὸν τοῖς ἐξ ἀνδρὸς καὶ γυναικὸς γεννωμένοις· χλευάζων τὴν ἄκραν ἕνωσιν ὡς ἄκραν ἀσέβειαν, ἣν αἱ θεῖαι σαφῶς εἰσάγουσιν Γραφαί, οὔτε τὸ ἀνθρώπινον ἀναιρετικὸν τοῦ Θεοῦ ποιοῦσαι οὔτε τῷ θεϊκῷ τὸ ἀνθρώπινον ἀνατρέπουσαι.

καὶ ἐν τῷ β' λόγῳ τῷ πρὸς (τὸν) αὐτὸν Διόδωρον ἐν κεφαλαίῳ κβ' οὕτως φησίν·

143 Καὶ ἐπειδὴ παρακαλεῖς ἡμᾶς ἀποκρίνασθαι, «πῶς σπέρμα τοῦ Δαβὶδ τὸ ἐκ τῆς θεϊκῆς οὐσίας;» ἄκουε ὅτι «κατὰ σάρκωσιν». «Πῶς τὸ κτιστὸν ἄκτιστον;» «ὡς ἑνωθὲν τῷ ἀκτίστῳ». «Πῶς δημιουργὸς τῆς κτίσεως ὁ καρπὸς τῆς Δαβὶδ κοι-

9. Πρβλ. Ἰω. 2,19.

λία;» «ὡς ἑνωθὲν τῷ Δημιουργῷ». «Πῶς τὸ ἐξ Ἀβραὰμ πρὸ Ἀβραάμ;» «ὡς ἑνωθὲν τῷ πρὸ Ἀβραάμ».

242 *καὶ ἐν τῷ λς΄ κεφαλαίῳ τοῦ αὐτοῦ λόγου·*

144 Ἀλλὰ ταῦτα φλυαρῶν λεγέτω. Πῶς ⟨τὸ⟩ τῷ Θεῷ καθ' ἑνότητα προσώπου συναφθὲν οὐχὶ Θεὸς σὺν αὐτῷ; Πῶς τὸ τῷ ἀκτίστῳ καθ' ἑνότητα ζωτικὴν ἑνωθὲν οὐκ ἄκτιστον σὺν αὐτῷ; Εἰ γὰρ οὐ κοινὴ ἡ ἐπωνυμία, οὐδὲν οὕτως ἔσται τὸ συγκεκραμένον· πάντων δ' ἀλογώτατον, εἰ τοῖς μὲν τοῦ σώματος ὀνόμασιν ὀνομάσομεν τὸ ἀσώματον λέγοντες σάρκα γεγενῆσθαι τὸν Λόγον[10]· τῷ δὲ τοῦ ἀσωμάτου μὴ προσαγορεύσομεν τὸ σῶμα κατὰ τὴν ἕνωσιν μέντοι τὴν πρὸς ἐκεῖνο· καὶ εἰ θαυμάζει πῶς τὸ κτιστὸν εἰς τὴν τοῦ ἀκτίστου προσηγορίαν ἑνοῦται, πολλῷ μᾶλλον ἕτερος θαυμάζει δικαίως, πῶς τὸ ἄκτιστον τῇ προσηγορίᾳ τῆς κτιστῆς σαρκὸς ἥνωται.

καὶ ἐν τῇ ἀνακεφαλαιώσει τοῦ αὐτοῦ λόγου φησίν·

145 Εἰ ὁ Λόγος σὰρξ ὠνόμασται διὰ τὴν ἕνωσιν, ἕπεται καὶ τὴν σάρκα Λόγον ὀνομάζεσθαι διὰ τὴν ἕνωσιν· ὡς δὲ Λόγος οὕτως καὶ ἄκτιστος, οὐχ ὅτι μὴ ἔκτισται, ἀλλ' ὅτι Λόγος ἐκ τῆς ἑνώσεως ἀπεφάνθη.

πάλιν ἑξῆς οὕτως φησίν (:fr. 126)·

146 Ὡς ἄνθρωποι τοῖς ἀλόγοις ζώοις ὁμοούσιοι κατὰ τὸ σῶμα τὸ ἄλογον, ἑτεροούσιοι δὲ καθὸ λογικοί, οὕτω καὶ ὁ Κύριος ἀνθρώποις ὁμοούσιος ὢν κατὰ τὴν σάρκα ἑτεροούσιός ἐστιν καθὸ Λόγος καὶ Θεός.

ΠΡΟΣ ΦΛΑΟΥΪΑΝΟΝ*

246 *Λεόντιος. (143) Τιμόθεος καὶ ἐν τῷ πρὸς Φλαουϊάνον λόγῳ οὗ ἡ ἀρχή·* «Ἔτι καὶ νῦν ὑπὸ τῶν εὐτελῶν ἀνθρώπων ῥαπίζεται Χριστὸς» *μετὰ πολλά φησιν·*

147 Πολλῷ δὲ μᾶλλον ἐπὶ τῆς τοῦ ἀσωμάτου πρὸς σῶμα κράσεως μένει τὸ τῆς φύσεως τῶν ἑνωθέντων· καὶ γὰρ καὶ τὸ

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 246-248.

10. Πρβλ. Β΄ Βασ. 22,51.

σῶμα σῶμα καὶ τὸ ἀσώματον ἀσώματον· καὶ τελεωτάτην ἕνωσιν λέγεται Θεὸς σεσωματωμένος καὶ σῶμα τεθεωμένον καὶ καθὸ μὲν Θεὸς ὁ σεσωματωμένος ἄνθρωπος τὸ συναμφότερον, καθὸ δὲ σῶμα τεθεωμένον Θεὸς πάλιν αὖ τὸ συναμφότερον.

ἔπειτα μετὰ βραχέα φησὶν οὕτως·

148 Ἤδη ἀφίσταται τὸ σῶμα τοῦ πλαστὸν εἶναι καὶ ἐν **247** «μορφῇ δούλου»[11], ἀλλὰ δεδόξασται τῇ πρὸς ἄκτιστον ἑνώσει φυσικῇ καὶ κατ' αὐτὴν τὴν γέννησιν τὴν ἐκ τῆς Παρθένου· καὶ κατὰ τοῦτο οὐ μετέπεσεν ἐκ τοῦ πλαστὸν εἶναι εἰς τὸ ἄκτιστον εἶναι, ἀλλ' ἥνωται τῷ ἀκτίστῳ. Καὶ Θεὸς ὢν κατὰ τὴν τοῦ Θεοῦ ἕνωσιν ἄκτιστόν ἐστιν, ᾗ Θεός· καὶ ἐπειδὴ τοῦ Πατρὸς οὐκ ἂν γένοιτο σῶμα (οὐ γὰρ σωματοῦται Πατὴρ) κατὰ τοῦτο οὐκ "ἀγέννητον" ῥηθείη ποτέ, οὔτε "ἰδίᾳ φύσει ἀγέννητον", ὥσπερ οὔτε "γεννητὸν Θεοῦ"· οὔτε "ἑνώσει ἀγέννητον" γενόμενον ὥσπερ "Υἱὸς" καὶ "γέννημα" τῇ πρὸς τὸν γεννητὸν υἱὸν ἑνώσει φυσικῇ τε καὶ ἐξ ἀρχῆς.

ΠΡΟΣ ΠΕΤΡΟΝ

Doctrina Patrum de uerbi incarn., Mai. Scr. VII 16a Ἀπολλιναρίου πρὸς Πέτρον·

149 Φύσει μὲν Θεὸν καὶ φύσει ἄνθρωπον τὸν Κύριον λέγομεν· μιᾷ δὲ συγκράτῳ φύσει σαρκικῇ τε καὶ θεϊκῇ.

ΠΡΟΣ ΙΟΥΛΙΑΝΟΝ

Doctrina Patrum haer. sent. 70a Ἀπολλιναρίου Λαοδικείας ἐκ τοῦ πρὸς Ἰουλιανὸν τὸν ἑαυτοῦ μαθητὴν λόγου, οὗ ἡ ἀρχή· Χαίρω δ' οἷς ὑμῖν γράφω περὶ τῆς γνώσεως τοῦ Χριστοῦ·

150 Δακτύλῳ γλύφουσι πέτραν οἱ δύο νόας ἐπὶ Χριστοῦ δογματίζοντες, θεῖόν φημι καὶ ἀνθρώπινον. Εἰ γὰρ πᾶς νοῦς αὐτοκράτωρ ἐστὶ ἰδικῷ θελήματι κατὰ φύσιν κινούμενος, ἀδύνα-

11. Πρβλ. Φιλιπ. 2,7.

τόν ἐστιν ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ δύο τοὺς τἀναντία θέλοντας ἀλλήλοις συνυπάρχειν ἑκατέρου τὸ θεληθὲν ἑαυτῷ καθ' ὁρμὴν αὐτοκίνητον ἐνεργοῦντος.

τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου·

151 Οὐδὲ τοῦτο συνιδεῖν ἠδυνήθησαν καίτοι πᾶσιν ὂν καταφανές, ὅτι ὁ μὲν θεῖος νοῦς αὐτοκίνητός ἐστι καὶ ταυτο**248**κίνητος, ἄτρεπτος γάρ, ὁ δὲ ἀνθρώπινος αὐτοκίνητος μέν, οὐ ταυτοκίνητος δέ, τρεπτὸς γάρ, καὶ ὅτιπερ ἀτρέπτῳ νῷ τρεπτὸς οὐ μίγνυται νοῦς εἰς ἑνὸς ὑποκειμένου σύστασιν. Στασιασθήσεται γὰρ τοῖς τῶν ἐξ ὧν ἐστι διελκόμενος ἐναντίοις θελήμασι· δι' ἣν αἰτίαν ἡμεῖς ἕνα τὸν Χριστὸν ὁμολογοῦμεν καὶ μίαν ὡς ἑνὸς αὐτοῦ τήν τε φύσιν καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν προσκυνοῦμεν θαύμασιν ὁμοῦ καὶ παθήμασι σώζουσαν.

ἐκ τοῦ αὐτοῦ λόγου·

152 Οἱ γὰρ λέγοντες ἕνα τὸν Χριστὸν καὶ δύο φύσεις αὐτοῦ νοερᾶς αὐτοτελεῖς κατηγοροῦντες, οὐκ ἴσασιν αὐτὸν σάρκα γενόμενον Λόγον καὶ μείναντα τῆς φυσικῆς αὐτοῦ μονάδος ἐντός, ἐκφέροντες αὐτὸν εἰς ἀνομοίους φύσεις καὶ ἐνεργείας τεμνόμενον.

ΔΟΓΜΑΤΙΚΑ

Η ΚΑΤΑ ΜΕΡΟΣ ΠΙΣΤΙΣ*

167 [1105] Ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν Υἱὸν ἐξ οὐκ ὄντων καὶ ἀποστελλομένης ἀρχῆς εἶναι ἐπίκτητον λέγοντες τῷ Πατρὶ καὶ οἱ περὶ τοῦ Ἁγίου Πνεύματος τὰ αὐτὰ διανοούμενοι. Οἱ δόσει καὶ χάριτι θεοποιεῖσθαι λέγοντες τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἁγιάζεσθαι· οἱ τὸ τοῦ Υἱοῦ κοινοποιοῦντες ὄνομα πρὸς τοὺς δούλους καὶ πρωτότοκον τῆς κτίσεως[1] οὕτω λέγοντες, ὡς ὁμοίως ἐκ τοῦ μὴ εἶναι καὶ αὐτὸν ὄντα καὶ ὡς πρῶτον πεποιημένον, καὶ οὐχ ὁμολογοῦντες μονογενῆ Υἱὸν μόνον ὄντα τῷ Πατρί, δεδωκότα δὲ ἑαυτὸν εἰς συναρίθμησιν τῶν θνητῶν καὶ οὕτω πρωτότοκον ἀριθμούμενον· οἱ τὴν γέννησιν τοῦ Υἱοῦ τὴν ἐκ Πατρὸς ἀνθρωπίνως περιγράφοντες διαστήματι μετρουμένῳ, καὶ οὐκ ἄναρχον τὸν αἰῶνα τοῦ γεννήτορος καὶ τοῦ γεννήματος ὁμολογοῦντες· οἱ τρεῖς ἀκοινωνήτους καὶ ξένας εἰσάγοντες λατρείας, μιᾶς καὶ μόνης οὔσης τῆς νομίμου θρησκείας, ἣν ἄνωθεν ἐκ νόμου καὶ προφητῶν παραλαβόντες ἔχομεν καὶ ὑπὸ τοῦ Κυρίου, βεβαιωθεῖσαν καὶ ὑπὸ τῶν Ἀποστόλων κεκηρυγμένην. Ἀλλότριοι δὲ οὐχ ἧττον καὶ οἱ τὴν Τριάδα μὴ κατὰ ἀλήθειαν ἐκ τριῶν προσώπων ὁμολογοῦντες, ἀλλ' ἐν μονάδι τὸ τριπλοῦν **168** ἀσεβῶς κατὰ σύνθεσιν φανταζόμενοι καὶ σοφίαν ἐν Θεῷ τὸν Υἱὸν ὡς ἐν ἀνθρώπῳ τὴν ἀνθρωπίνην ἡγούμενοι, δι' ἧς ὁ ἄνθρωπός ἐστι σοφός, καὶ λόγον ὁμοίως τῷ κατὰ προσφορὰν ἢ διάνοιαν εἰσηγούμενοι οὐδὲ μιᾷ ὑποστάσει οὐδὲ μόνῃ. 2 Ἐκκλησιαστικὴ δὲ ὁμολογία καὶ κοσμοσωτήριος πίστις ἡ περὶ τῆς τοῦ Λόγου σαρκώσεως, δόντος μὲν ἑαυτὸν ἀνθρωπίνῃ σαρκί, ἣν ἐκ Μαρίας προσελάβετο, μείναντος δὲ ἐν ταυτότητι καὶ μηδεμίαν θείαν μετακίνησιν μηδὲ ἀλλοίωσιν ὑποστάντος, συναιρεθέντος δὲ πρὸς τὴν

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 167-185, 294-302, 303-307, (J. P. Migne, PG 10, 1105-1124).

1. Πρβλ. Κολ. 1,15.

σάρκα καθ' ὁμοίωσιν ἀνθρωπίνην, ὥστε τὴν σάρκα πρὸς τὴν θεότητα ἑνωθῆναι, τῆς θεότητος τὸ παθητικὸν τῆς σαρκὸς ἐν τῇ τοῦ μυστηρίου πληρώσει ἀνηρηκυίας. Μετὰ δὲ θανάτου κατάλυσιν περὶ τὴν σάρκα τὴν ἁγίαν ἀπάθεια διηνεκὴς καὶ ἄτρεπτος ἀθανασία, ἀνειλημμένου μὲν τοῦ κατ' ἀρχὴν ἀνθρωπίνου κάλλους ἐν τῇ τῆς θεότητος δυνάμει, χορηγουμένου δὲ ἐπὶ πάντας ἀνθρώπους ἐν τῇ τῆς πίστεως οἰκειώσει. 3 Εἰ δέ τινες καὶ ἐνταῦθα παραχαράττουσι τὴν ἱερὰν πίστιν, ἢ τῇ θεότητι τὰ ἀνθρώπινα προσιδιοποιοῦντες (προκοπάς τε καὶ πάθη καὶ δόξαν τὴν ἐπιγινομένην) ἢ τῆς θεότητος διιστῶντες τὸ προκόπτον καὶ πάσχον σῶμα ὡς ἰδιαζόντως ὑφεστός, καὶ οὗτοι τῆς ἐκκλησιαστικῆς καὶ σωζούσης ὁμολογίας ἐκτός.

4 Οὐδεὶς οὖν δύναται γνῶναι τὸν Θεόν, εἰ μὴ τὸν Υἱὸν ἐπιγνῷ, σοφία γάρ ἐστιν ὁ Υἱός, δι' ἧς τὰ πάντα ἔκτισται. Τὰ δὲ κτίσματα μηνύει τὴν σοφίαν[2] καὶ ὁ Θεὸς ἐν τῇ σοφίᾳ γινώσκεται· οὐ τοιαύτη δὲ ἡ τοῦ Θεοῦ σοφία, οἵαν ἄνθρωπος ἔχει, ἀλλὰ τελεία ἐκ τελείου τοῦ Θεοῦ προελθοῦσα καὶ μένουσα διὰ παντός, οὐχ ὡς νόημα ἀνθρώπου τὸ παρερχόμενον **169** καὶ λόγος λαλούμενος καὶ μὴ ὤν· διὰ τοῦτο οὐ μόνον ἐστὶ Σοφία, ἀλλὰ καὶ Θεός, οὐδὲ μόνον Λόγος, ἀλλὰ καὶ Υἱός· εἴτε οὖν ἀπὸ κτίσεώς τις νοεῖ τὸν Θεὸν εἴτε ἐκ τῶν θείων Γραφῶν διδάσκεται, οὐκ ἄνευ τῆς σοφίας αὐ[**1108**]τοῦ γνῶναι ἢ ἀκοῦσαι περὶ αὐτοῦ δύναται, καὶ ὁ ἐπικαλούμενος ὀρθῶς τὸν Θεὸν ἐπικαλεῖται δι' Υἱοῦ, καὶ ὁ προσερχόμενος οἰκείως διὰ Χριστοῦ ἔρχεται· προσελθεῖν δὲ ἀδύνατον τῷ Υἱῷ χωρὶς τοῦ Πνεύματος· τὸ Πνεῦμα γὰρ καὶ ἡ ζωὴ καὶ ἡ ἁγία μόρφωσις τῶν ὅλων καὶ τοῦτο ἐκπέμπων ὁ Θεὸς δι' Υἱοῦ[3] τὴν κτίσιν ὁμοιοῖ πρὸς ἑαυτόν.

5 Εἷς οὖν ὁ Πατὴρ ὁ Θεός, εἷς Υἱὸς ὁ Λόγος, ἓν Πνεῦμα ζωή, ἡ ἁγιωσύνη τῶν ὅλων. Καὶ οὔτε Θεὸς ἕτερος ὡς Πατὴρ οὔτε Υἱὸς ἕτερος ὡς Λόγος Θεοῦ οὔτε Πνεῦμα ἕτερον ὡς ζωοποιὸν καὶ ἁγιαστικόν, ἀλλ' εἰ καὶ θεοὶ καὶ υἱοὶ καὶ πνεύματα καλοῦνται οἱ ἅγιοι, οὔτε Πνεύματος πληροῦνται οὔτε ὁμοιοῦνται πρὸς τὸν Υἱὸν καὶ Θεόν. 6 Ἐὰν δέ τις οὕτως λέγῃ τὸν Υἱὸν

2. Πρβλ. Ψαλ. 103,24. 3. Πρβλ. Ἰω. 15,26.

εἶναι Θεὸν ὡς πληρωθέντα θεότητος καὶ αὐτόν, καὶ οὐχ ὡς γεννηθέντα ἐκ θεότητος, ἠρνήσατο τὸν Λόγον, ἠρνήσατο τὴν σοφίαν, ἀπώλεσε τὴν γνῶσιν τὴν περὶ Θεοῦ, κατέπεσεν εἰς τὸ σέβειν τὴν κτίσιν, κατέλαβεν Ἑλλήνων ἀσέβειαν, ἐπὶ ταύτην ὑπέστρεψεν, τὴν Ἰουδαίων ἀπιστίαν ἐμιμήσατο, οἳ τὸν ἐκ Θεοῦ Λόγον υἱὸν ἀνθρώπινον ὑπολαμβάνοντες Θεὸν εἶναι τοῦτον οὐκ ἐπίστευσαν οὐδὲ Θεοῦ Υἱὸν ὡμολόγησαν· ἀσεβὲς δὲ τὸν τοῦ Θεοῦ Λόγον ὡς ἀνθρώπινον νοεῖν καὶ τὰ ἔργα τὰ δι' αὐτοῦ μένοντα[4], μὴ μένοντος αὐτοῦ. 7 Ἐὰν δέ τις εἴπῃ κελευόμενον διὰ τοῦ λόγου τὸν Χριστὸν ἐργάζεσθαι τὰ πάντα, καὶ τὸν τοῦ Θεοῦ Λόγον ἀργὸν ποιήσει καὶ τὴν τοῦ Δεσπότου τάξιν εἰς δουλείαν μεταθήσει· δοῦλον **170** γὰρ ἅπαν τὸ κελευόμενον καὶ τὸ κτιστὸν οὐχ ἱκανὸν εἰς τὸ κτίζειν· οὐ γὰρ ἐξισωθήσεται τῷ κτίσαντι αὐτὸ κατ' οὐδένα τρόπον, ἵν' ὡς ὑπ' ἐκείνου ἔκτισται, οὕτω καὶ αὐτὸ κτίσῃ τὰ ἄλλα. 8 Πάλιν δὲ ὅταν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον εἴπῃ τις ἡγιασμένον εἶναι ποίημα, οὐκέτι τὰ πάντα δυνήσεται νοεῖν ἐν Πνεύματι ἁγιαζόμεθα. Ὁ γὰρ ἓν ἁγιάσας ἁγιάζει[5] καὶ τὰ πάντα. Ἀρνεῖται οὖν τὴν τῆς ἁγιωσύνης πηγήν, τὸ Πνεῦμα τὸ Ἅγιον, ὁ ἀφαιρῶν αὐτοῦ τὸ ἁγιάζειν, καὶ συναριθμεῖν αὐτὸ Πατρὶ καὶ Υἱῷ κωλυθήσεται. Καὶ τὸ ἅγιον δὲ Βάπτισμα ἀθετεῖ καὶ οὐκέτι Τριάδα ὁμολογήσει τὴν Ἁγίαν καὶ σεβάσμιον. 9 Ἡ γὰρ ἐν φυσικῇ δόξῃ καὶ ἀληθινῇ τὴν ὅλην Τριάδα νοητέον, ἢ μονάδα καὶ οὐκέτι τριάδα λέγειν ἀναγκασθησόμεθα ἢ μὴ συναριθμεῖν τῷ κτίστῃ τὰ κτιστὰ ποιήματα μηδὲ τῷ Δεσπότῃ τῶν ὅλων τὰ κτίσματα μηδὲ τῷ ἁγιάζοντι τὰ ἁγιαζόμενα, ὥσπερ οὐδὲ τῇ Τριάδι συναριθμεῖταί τι τῶν ποιημάτων. Ἀλλ' ἐπ' ὀνόματι τῆς Ἁγίας Τριάδος τὸ βάπτισμα καὶ ἡ ἐπίκλησις καὶ ἡ λατρεία. Εἰ γὰρ τρεῖς αἱ δόξαι, τρεῖς ⟨καὶ⟩ αἱ λατρεῖαι γινέσθωσαν παρὰ τοῖς ἀσεβῶς τὰ κτίσματα σέβουσιν· εἰ διῃρημένα τὰ τῆς προσκυνουμένης φύσεως, διῃρημένα καὶ τὰ τῆς προσκυνήσεως ἔστω παρ' αὐτοῖς· ἀλλ' οὐδὲ μετὰ τοῦ αἰωνίου τὰ πρόσφατα προσκυνηθήσεται. Πρόσφατον γὰρ ἅπαν τὸ ἀρχὴν εἰληφός, ἐπειδὴ πολὺς καὶ ἄμετρος ὁ πρὸ τῶν αἰώνων. 10 Ὁ τοίνυν ἀρχήν τινα χρόνων τῆς τοῦ Υἱοῦ ζωῆς καὶ τῆς

4. Πρβλ. Ἰω. 14,10. 5. Πρβλ. Ἑβρ. 2,11.

τοῦ Ἁγίου Πνεύματος ὑποτιθέμενος [**1109**] χωρίζει κατὰ ταὐτὸν τῆς μετὰ τοῦ Πατρὸς συναριθμήσεως τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. Δεῖ γάρ, ὥσπερ μίαν τὴν δόξαν ὁμολογοῦμεν, οὕτως καὶ μίαν τὴν οὐσίαν, ἤτοι θεότητα, καὶ μίαν τὴν ἀϊδιότητα τῆς Τριάδος ὁμολογεῖν. 11 Κεφάλαιον δὲ τῆς σωτηρίας **171** ἡμῶν ἡ τοῦ Λόγου σάρκωσις. Πιστεύομεν οὖν, ἀναλλοιώτου μενούσης τῆς θεότητος, τὴν σάρκωσιν τοῦ Λόγου γεγενῆσθαι πρὸς ἀνακαίνωσιν τῆς ἀνθρωπότητος. Οὔτε γὰρ ἄλλαξις οὔτε μετακίνησις οὔτε περικλεισμὸς ἐν πνεύματι γέγονεν περὶ τὴν [ἁγίαν] τοῦ Θεοῦ δύναμιν, ἀλλ' ἡ αὐτὴ διαμένουσα καὶ τὸ τῆς σαρκώσεως ἔργον ἐπλήρωσεν εἰς τὴν τοῦ κόσμου σωτηρίαν καὶ κατὰ τὸ ἀνθρώπινον ἐπὶ γῆς πολιτευσάμενος ὁ τοῦ Θεοῦ Λόγος τὴν θεϊκὴν ἐπὶ πάντα παρουσίαν ὁμοίως διεφύλαξεν, πάντα πεπληρωκὼς ἰδίως τε τῇ σαρκὶ συγκεκραμένος, καὶ τῶν περὶ σάρκα παθῶν γινομένων τὴν ἀπάθεια ἡ δύναμις εἶχεν τὴν ἑαυτῆς. 12 Ἀσεβὴς οὖν ὁ τὸ πάθος ἀνάγων εἰς τὴν δύναμιν. Ὁ γὰρ τῆς δόξης Κύριος ἐν ἀνθρωπίνῳ σχήματι πέφηνε τὴν ἀνθρωπίνην οἰκονομίαν ἀναδεξάμενος ἐπὶ γῆς καὶ ταῖς μὲν πράξεσι τὸν νόμον πληρώσας ὑπὲρ ἀνθρώπων, τοῖς δὲ πάθεσι τὰ παθήματα διαλύσας καὶ τῷ θανάτῳ τὸν θάνατον ἀνελών[6], τῇ δὲ ἀναστάσει τὴν ζωὴν ἀνατείλας· οὗ καὶ τὴν παρουσίαν ἔνδοξον ἀπ' οὐρανοῦ προσδοκῶμεν ἐπὶ τῇ τῶν ὅλων ζωῇ καὶ κρίσει, ἀναστάσεως νεκρῶν ἐσομένης εἰς τὸ πᾶσιν ἀνταποδοθῆναι κατ' ἀξίαν[7].

13 Δεινὸν δὲ μελέτημά τινες κατὰ τῆς Ἁγίας μελετῶσι Τριάδος οἱ τρία πρόσωπα οὐκ εἶναι διισχυριζόμενοι, ὥσπερ ἀνυπόστατον εἰσάγοντες πρόσωπον· δι' ἧς ἀποφεύγομεν τὸν Σαβέλλιον λέγοντα τὸν αὐτὸν Πατέρα, τὸν αὐτὸν Υἱόν. Πατέρα μὲν λέγει εἶναι τὸν λαλοῦντα, Υἱὸν δὲ τὸν Λόγον ἐν τῷ Πατρὶ μένοντα καὶ κατὰ καιρὸν τῆς δημιουργίας φαινόμενον, **172** ἔπειτα μετὰ τὴν ἁπάντων πλήρωσιν τῶν πραγμάτων εἰς Θεὸν ἀνατρέχοντα. [Τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ Πνεύματος λέγει.] 14 Πιστεύομεν γὰρ ἡμεῖς ὅτι τρία πρόσωπα μίαν ἔχοντα τὴν θεότητα δηλοῦνται, Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα. Ἡ γὰρ θεότης μία φυσικῶς ἐν Τριάδι μαρτυρουμένη τὴν ἑνότητα τῆς φύσεως

6. Πρβλ. Α' Κορ. 15,26. Β' Τιμ. 1,10. 7. Πρβλ. Ματθ. 25,31-46.

βεβαιοῖ, ὅτιπερ καὶ ἴδιον μὲν Πατρὸς κατὰ τὸ «εἷς Θεὸς ὁ Πατήρ»[8], πατρῷον δὲ τῷ Υἱῷ κατὰ τὸ «Θεὸς ἦν ὁ Λόγος»[9], καὶ τῷ πνεύματι δὲ παρὸν φυσικῶς τὸ Πνεῦμα Θεοῦ ὑπάρχειν καθὸ λέγει Παῦλος «ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[10]. 15 Πρόσωπον μὲν γὰρ ἑκάστου τὸ εἶναι αὐτὸ καὶ ὑφεστάναι δηλοῖ, θεότης δὲ Πατρὸς ἴδιον, καὶ ὁπότε μία τῶν τριῶν ἡ Θεότης λέγοιτο, τὴν Πατρὸς ἰδιότητα παροῦσαν Υἱῷ τε καὶ Πνεύματι μαρτυρεῖ· ὥστε εἰ μὲν ἐν τρισὶ προσώποις μία ῥηθήσεται ἡ θεότης, καὶ ἡ Τριὰς διαβεβαιοῦται καὶ τὸ ἓν οὐ διακόπτεται καὶ ἡ πρὸς τὸν Πατέρα φυσικὴ Υἱοῦ τε καὶ Πνεύματος ἑνότης ὁμολογεῖται· εἰ δὲ καὶ πρόσωπον ἓν λέγει τις [**1112**] ὥσπερ καὶ τὴν θεότητα μίαν, οὐκ ἔστιν ὡς ἓν τὰ δύο ἐν τῷ ἑνί. 16 Ὁ γὰρ Παῦλος ἕνα ἐπὶ τῆς Θεότητος τὸν Πατέρα βοᾷ, ἕνα δὲ ἐπὶ τῆς κυριότητος τὸν Υἱὸν λέγει· «εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ»[11]. Τοιγαροῦν ⟨εἰ⟩ εἷς μὲν Θεός, Κύριος δὲ εἷς, ἓν δὲ πρόσωπον καθὸ θεότης μιᾶς κυριότητος, καὶ πῶς πιστεύεται τὸ «ἐξ οὗ» καὶ «δι' οὗ» ὡς προείρηται; 17 Καὶ οὐ διακόπτοντες ἡμεῖς τῆς θεότητος τὴν κυριότητα λέγομεν οὐδ' ἀπαλλοτριοῦντες θατέρου θάτερον, ἀλλ' οὕτως ἑνοῦντες ὡς ἔχει τὸ **173** πρᾶγμα καὶ ἡ ἀλήθεια, καὶ Θεὸν μὲν τὸν Υἱὸν τῷ ἰδιώματι τοῦ Πατρὸς καλοῦντες ὡς εἰκόνα καὶ γέννημα, Κύριον δὲ τὸν Πατέρα τῷ τοῦ ἑνὸς Κυρίου προσαγορεύοντες ὀνόματι ὡς τούτου ἀρχὴν καὶ γεννήτορα. Τὰ αὐτὰ δὲ καὶ περὶ τοῦ Πνεύματος, ἑνότητα πρὸς τὸν Υἱὸ ἔχοντος, ἣν ὁ Υἱὸς πρὸς τὸν Πατέρα· ὥστε γνωριζέσθω μὲν ἡ ὑπόστασις τοῦ Πατρὸς τῇ τοῦ Θεοῦ προσηγορίᾳ, μὴ διατετμήσθω δὲ ταύτης ὁ Υἱὸς ὡς ὢν ἐκ Θεοῦ, γνωριζέσθω δὲ καὶ τὸ πρόσωπον τοῦ Υἱοῦ τῇ τοῦ Κυρίου προσηγορίᾳ, μὴ χωριζέσθω δὲ ταύτης ὁ Θεὸς Κύριος ὢν ὡς Κυρίου Πατήρ· καθὸ τῷ μὲν Υἱῷ τὸ κυριεύειν ἴδιον, αὐτῷ δεδημιουργηκότι δι' ἑαυτοῦ καὶ κυριεύοντι τῶν πεποιημένων, τῷ δὲ Πατρὶ ἀνωτέρως ὑπάρχον ὡς Πατρὶ τοῦ κυριεύοντος ὄντι. 18 Οὕτω δὴ καὶ Θεὸν ἕνα φαμὲν τὴν Τριάδα, ἀλλ' οὐχ ὡς ἐκ συνθέσεως τριῶν ἕνα

8. Α' Κορ. 8,6. 9. Ἰω. 1,1. 10. Α' Κορ. 3,16. 11. Α' Κορ. 8,6.

εἰδότες (μέρος γὰρ ἅπαν ἀτελὲς τὸ ἐκ συνθέσεως ὑφιστάμενον), ἀλλ' ὡς, ὅπερ ἐστὶν ὁ Πατὴρ ἀρχικῶς τε καὶ γεννητικῶς, τοῦτο ὄντα τὸν Υἱόν, εἰκόνα καὶ γέννημα τοῦ Πατρός. Ὥστε εἴ τις ἔροιτο Πῶς εἷς Θεός, εἴπερ ἐκ Θεοῦ Θεὸς εἴη ὁ Υἱός; ἐροῦμεν ὅτι Τῷ τῆς ἀρχῆς λόγῳ, καθ' ὃν μία ἀρχὴ ὁ Πατήρ. Καὶ εἴ τις αὐτῶν ⟨πάλιν⟩ πυνθάνοιτο Πῶς εἷς Κύριος, εἴπερ Κύριος ὁ Πατήρ; Τοῦτο πάλιν ἀποκρινώμεθα Καθὸ τοῦ Κυρίου ἐστὶ Πατήρ. Καὶ οὐκέτι ἡμῖν ἀπαντήσεται τὸ ἄπορον τοῦτο. 19 Καὶ πάλιν ἐὰν εἴπωσιν οἱ ἀσεβεῖς Πῶς οὐκ ἂν εἶεν τρεῖς θεοὶ τρία πρόσωπα, εἰ μίαν ἔχοιεν τὴν Θεότητα; ἐροῦμεν Ἐπειδὴ ὁ Θεὸς ἀρχὴ καὶ Πατήρ ἐστιν τοῦ Υἱοῦ, καὶ οὗτος εἰκών ἐστι καὶ γέννημα τοῦ Πατρὸς καὶ οὐκ ἀδελφὸς αὐτοῦ, καὶ τὸ Πνεῦμα ὡσαύτως Πνεῦμα Θεοῦ ἐστιν, ὡς γέγραπται «πνεῦ**174**μα ὁ Θεός»[12]. 20 Καὶ ἄνωθεν δὲ ἐκ τοῦ προφήτου Δαβὶδ τῷ λόγῳ Κυρίου δεδήλωται τοὺς οὐρανοὺς ἐστερεῶσθαι καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαν τὴν δύναμιν αὐτῶν[13]. Καὶ ἐν ἀρχῇ τῆς κοσμοποιίας γέγραπται οὕτως· «καὶ τὸ πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος»[14]. Καὶ Παῦλος δὲ γράφων Ῥωμαίοις φησίν· «ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[15]. 21 Καὶ πάλιν λέγει· «εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν [**1113**] σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν»[16]. Καὶ πάλιν· «ὅσοι πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ εἰσιν· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ Πατήρ»[17]. Καὶ πάλιν· «ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι Ἁγίῳ»[18]. 22 Καὶ πάλιν· «Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι ἐν δυνάμει Πνεύματος Ἁγίου»[19]. Καὶ πάλιν φησὶν τοῖς αὐτοῖς Ῥωμαίοις γράφων· «τολμηροτέρως δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ἀπὸ

12. Ἰω. 4,24. 13. Πρβλ. Ψαλ. 32,6. 14. Γεν. 1,2. 15. Ρωμ. 8,9. 16. Ρωμ. 8,11. 17. Ρωμ. 8,14-15. 18. Ρωμ. 9,1. 19. Ρωμ. 15,13.

τοῦ Θεοῦ εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, λειτουργοῦντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασμένη ἐν Πνεύματι Ἁγίῳ· ἔχω οὖν τὴν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν· οὐ γὰρ τολμῶ τι λαλεῖν ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Ἁγίου»[20]. Καὶ πάλιν· «παρακαλῶ δὲ ὑμᾶς, **175** ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος»[21]. 23 Καὶ ταῦτα μὲν γέγραπται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐν δὲ τῇ πρὸς Κορινθίους πάλιν λέγει ὅτι «ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἀλλ' ἐν δυνάμει Θεοῦ»[22]. Καὶ πάλιν λέγει ὅτι «καθὼς γέγραπται· ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ὁ Θεὸς ἡτοίμασεν τοῖς ἀγαπῶσιν αὐτόν, ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψεν διὰ τοῦ Πνεύματος ⟨αὐτοῦ⟩· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτως καὶ τὰ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[23]. Καὶ πάλιν λέγει· «ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ»[24]. 24 Ὁρᾷς ὅτι πανταχοῦ τῆς Γραφῆς Πνεῦμα κηρύττεται τοῦ Θεοῦ καὶ οὐδαμοῦ κτιστὸν ὀνομάζεται. Τί δ' ἂν εἴπωσιν οἱ ἀσεβεῖς, τοῦ Κυρίου ἀποστέλλοντος τοὺς μαθητὰς βαπτίζειν ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[25]; ἀναντιρρήτως κοινωνίαν καὶ ἑνότητα ἔχοντα, καθ' ἣν οὔτε θεότητες τρεῖς οὔτε κυριότητες οὔτε ἁγιότητες, ἀλλ' ἀληθῶς, τῶν τριῶν προσώπων μενόντων βεβαίως, τῶν τριῶν τὴν ἕνωσιν ὁμολογητέον. Οὕτω γὰρ καὶ τὸ ἀποστέλλον καὶ τὸ ἀποστελλόμενον οἰκείως ἂν πιστεύοιτο, καθὸ Πατὴρ τὸν Υἱὸν ἀπέστειλεν καὶ Υἱὸς τὸ Πνεῦμα ἀποστέλλει· ἓν δὲ πρόσωπον οὐκ ἂν πέμψειεν αὐτὸ ἑαυτό. Οὐκ ἂν γάρ τις εἴποι Πατέρα σαρκωθέντα. Τὰ γὰρ τῆς

20. Ρωμ. 15,15-19. 21. Ρωμ. 15,30. 22. Α' Κορ. 2,4-5. 23. Α' Κορ. 2,9-11. 24. Α' Κορ. 2,14. 25. Πρβλ. Ματθ. 28,19.

πίστεως ὁμολογήματα ταῖς τῶν αἱρέσεων οὐ συνδραμεῖται κακοδοξίαις. Δεῖ δὲ τοῖς θείοις καὶ ἀποστολικοῖς δόγ**176**μασιν ἕπεσθαι [**1116**] τὰς ἡμετέρας ἐννοίας, οὐ τὰς ἡμετέρας ἀδυνάτους φαντασίας τὰ τῆς θείας πίστεως βιάζεσθαι δόγματα. 25 Ἐὰν δὲ εἴπωσι Πῶς τρία πρόσωπα καὶ πῶς μία Θεότης; Ἐροῦμεν αὐτοῖς ὅτι Τρία μὲν πρόσωπα καθὸ ἓν μὲν Θεοῦ Πατρός, ἓν δὲ Κυρίου Υἱοῦ καὶ ἓν τοῦ Ἁγίου Πνεύματος· μία δὲ Θεότης καθὸ τοῦ Πατρός· ἑνὸς ὄντος, Θεοῦ εἰκὼν ἐστιν ὁ Υἱός, τουτέστι Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ὁμοίως καλεῖται τοῦ Θεοῦ, καὶ τοῦτο φυσικῶς κατ' αὐτὴν τὴν οὐσίαν, οὐ κατὰ μετουσίαν Θεοῦ· καὶ μία τῆς Τριάδος οὐσία, ὅπερ ἐπὶ τῶν ποιημάτων οὐκ ἔστιν. 26 Οὐ γὰρ μία οὐσία Θεοῦ καὶ τῶν ποιημάτων, ὅτι οὐδὲν τούτων τῇ οὐσίᾳ Θεός, ἀλλ' οὐδὲ Κύριος οὐδὲν τούτων κατ' οὐσίαν, ἀλλ' εἷς ὁ Θεὸς Πατὴρ καὶ εἷς Κύριος ὁ Υἱὸς καὶ ἓν τὸ Πνεῦμα τὸ Ἅγιον· λέγομεν δὲ καὶ μίαν θεότητα καὶ μίαν κυριότητα καὶ μίαν ἁγιότητα τὴν Τριάδα· ὅτι τοῦ Κυρίου ὁ Πατὴρ ἀρχή, ἀιδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ Πνεύματος ὁ Κύριος· οὕτως γὰρ καὶ ὁ Πατὴρ Κύριος καὶ ὁ Υἱὸς Θεὸς καὶ περὶ τοῦ Θεοῦ εἴρηται ὅτι «Πνεῦμα ὁ Θεός»[26].

27 Ὁμολογοῦμεν οὖν ἕνα Θεὸν ἀληθινόν, μίαν ἀρχήν, καὶ ἕνα Υἱόν, ἀληθινὸν Θεὸν ἐξ ἀληθινοῦ Θεοῦ, φυσικῶς τὴν πατρικὴν θεότητα ἔχοντα, τουτέστιν ὁμοούσιον τῷ Πατρί, καὶ ἓν Πνεῦμα Ἅγιον φύσει καὶ ἀληθείᾳ τῶν πάντων ἁγιαστικὸν καὶ **177** θεοποιὸν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ὑπάρχον. Τοὺς δὲ ἢ τὸν Υἱὸν ἢ τὸ Πνεῦμα τὸ Ἅγιον κτίσμα λέγοντας ἀναθεματίζομεν, τὰ δὲ ἄλλα πάντα ὁμολογοῦμεν ποιήματα καὶ δοῦλα κτισθέντα ὑπὸ Θεοῦ δι' Υἱοῦ ⟨καὶ⟩ ἐν Πνεύματι Ἁγίῳ ἁγιασθέντα. 28 Ἔτι ὁμολογοῦμεν τὸν Υἱὸν τοῦ Θεοῦ Υἱὸν ἀνθρώπου γεγενῆσθαι, οὐκ ὀνόματι ἀλλὰ ἀληθείᾳ, προσλαβόντα σάρκα ἐκ Μαρίας παρθένου, καὶ εἶναι τέλειον αὐτὸν Υἱὸν Θεοῦ καὶ αὐτὸν Υἱὸν ἀνθρώπου, ἓν πρόσωπον καὶ μίαν τὴν προσκύνησιν τοῦ Λόγου καὶ τῆς σαρκὸς ἣν ἀνέλαβεν. Καὶ ἀναθεματίζομεν τοὺς διαφόρους προσκυνήσεις ποιοῦντας, μίαν θεϊκὴν καὶ μία ἀνθρωπίνην καὶ προσκυνοῦντας τὸν ἐκ Μαρίας ἄνθρωπον ὡς ἕτερον ὄντα

26. Ἰω. 4,24.

παρὰ τὸν ἐκ Θεοῦ Θεόν. Οἴδαμεν γὰρ ὅτι «Ἐν ἀρχῇ» μὲν «ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος»[27], **178** γενόμενον δὲ αὐτὸν ἄνθρωπον διὰ τὴν ἡμετέραν σωτηρίαν προσκυνοῦμεν οὐχ ὡς ἴσον ἐν ἴσῳ γενόμενον τῷ σώματι, ἀλλ' ὡς Δεσπότην προσλαβόντα τὴν τοῦ δούλου μορφήν[28]. 29 Ὁμολογοῦμεν τὸ πάθος τοῦ Κυρίου κατὰ σάρκα, τὴν ἀνάστασιν ἐν δυνάμει θεότητος αὐτοῦ, τὴν εἰς οὐρανοὺς ἀνάβασιν, τὴν ἔνδοξον αὐτοῦ παρουσίαν ἐρχομένου ἐπὶ κρίσει ζώντων καὶ νεκρῶν[29] καὶ ζωῇ αἰωνίῳ τῶν ἁγίων.

30 Καὶ ἐπειδή τινες παρηνόχλησαν ἡμῖν, ἀνατρέπειν ἐπιχειροῦντες τὴν πίστιν ἡμῶν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, οὐ Θεὸν σαρκωθέντα ὁμολογοῦντες αὐτὸν ἀλλὰ ἄνθρωπον Θεῷ συναφθέντα, τούτου χάριν ὁμολογίαν ποιούμεθα περὶ τῆς προει[**1117**]ρημένης πίστεως, ἐκβάλλοντες τὴν ἄπιστον ἀντιλογίαν. Θεὸς γὰρ σαρκωθεὶς ἀνθρωπίνῃ σαρκὶ καθαρὰν ἔχει τὴν ἰδίαν ἐνέργειαν, νοῦς ἀήττητος ὢν τῶν ψυχικῶν καὶ σαρκικῶν παθημάτων καὶ ἄγων τὴν σάρκα καὶ τὰς σαρκικὰς κινήσεις θεϊκῶς τε καὶ ἀναμαρτήτως καὶ οὐ μόνον ἀκράτητος θανάτῳ ἀλλὰ καὶ λύων θάνατον[30]. 31 Καὶ **179** ἔστι Θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθείς, τέλειος τῇ ἀληθινῇ καὶ θείᾳ τελειότητι, οὐ δύο πρόσωπα οὐδὲ δύο φύσεις· οὐδὲ γὰρ τέσσαρα προσκυνεῖν λέγομεν, Θεὸν καὶ Υἱὸν Θεοῦ καὶ ἄνθρωπον καὶ Πνεῦμα Ἅγιον. Διὸ καὶ ἀναθεματίζομεν τοὺς οὕτως ἀσεβοῦντας, τοὺς ἄνθρωπον ἐν τῇ θείᾳ δοξολογίᾳ τιθέντας· ἡμεῖς γάρ φαμεν ἄνθρωπον γεγενῆσθαι τὸν τοῦ Θεοῦ Λόγον πρὸς σωτηρίαν ἡμῶν, ἵνα τὴν ὁμοίωσιν τοῦ ἐπουρανίου λάβωμεν καὶ θεοποιηθῶμεν πρὸς ὁμοιότητα τοῦ κατὰ φύσιν ἀληθινοῦ Υἱοῦ τοῦ Θεοῦ, κατὰ σάρκα δὲ Υἱοῦ ἀνθρώπου Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

32 Πιστεύομεν τοίνυν εἰς ἕνα Θεόν, τουτέστιν εἰς **180** μίαν ἀρχήν, τὸν Θεὸν τοῦ νόμου καὶ τοῦ Εὐαγγελίου, δίκαιον καὶ ἀγαθόν, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, Θεὸν ἀληθινόν, τουτέστιν εἰκόνα ἀληθινὴν τοῦ μόνου ἀληθινοῦ Θεοῦ, Δημιουρ-

27. Ἰω. 1,1. 28. Πρβλ. Φιλιπ. 2,7. 29. Πρβλ. Ἰω. 5,29. 30. Πρβλ. Β' Τιμ. 1,10.

νὸν πάντων ὁρατῶν τε καὶ ἀοράτων, Υἱὸν Θεοῦ καὶ γέννημα μονογενὲς καὶ ἀίδιον Λόγον, ζῶντα καὶ ὑφεστῶτα καὶ ἐνεργόν, ἀεὶ συνόντα τῷ Πατρί, καὶ εἰς ἓν Ἅγιον Πνεῦμα, καὶ εἰς παρουσίαν ἔνδοξον τοῦ Υἱοῦ τοῦ Θεοῦ, σάρκα λαβόντος τὴν ἐκ Παρθένου, τοῦ ἀνθ' ἡμῶν ὑπομείναντος πάθη καὶ θάνατον καὶ ἐλθόντος εἰς ἀνάστασιν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντος εἰς οὐρανούς, καὶ εἰς τὴν μέλλουσαν ἔνδοξον [αὐτοῦ] παρουσίαν, καὶ εἰς μίαν ἁγίαν Ἐκκλησίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον. 33 Ὁμολογοῦμεν ὁμοούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα καὶ μίαν τὴν οὐσίαν τῆς Τριάδος, τουτέστιν μίαν θεότητα, φυσικῶς ἀγεννήτου μὲν ὄντος τοῦ Πατρός, γεννηθέντος δὲ τοῦ Υἱοῦ ἐκ Πατρὸς ἀληθινῇ γεννήσει, οὐ ποιήσει τῇ ἐκ βουλήσεως, τοῦ τε Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀιδίως ἐκπεμφθέντος, ἁγιαστικοῦ τῆς ὅλης κτίσεως. 34 Ὁμολογοῦμεν δὲ καὶ σαρκωθέντα τὸν Λόγον καὶ φανερωθέντα ἐν σαρκικῇ γεννήσει τῇ ἐκ Παρθένου, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσαντα. Τοὺς δὲ κοινωνοῦντας τοῖς ἐκβάλλουσι τὸ ὁμοούσιον ὡς ἀλλότριον τῶν Γραφῶν καί τι ἐκ τῆς Τριάδος κτιστὸν λέγουσι καὶ χωρίζουσι τῆς μιᾶς φυσικῆς θεότητος ἀλλοτρίους ἡγούμεθα καὶ οὐδενὶ τῶν τοιούτων κοινωνοῦμεν.

35 Εἷς Θεὸς ὁ Πατήρ, ἡ θεότης ἡ μόνη, Θεὸς δὲ καὶ ὁ Υἱός, εἰκὼν τῆς μιᾶς καὶ μόνης θεότητος ὢν ἀληθὴς κατὰ γέννησιν καὶ φύσιν, ἣν ἐκ τοῦ Πατρὸς ἔχει, Κύριος εἷς ὁ Υἱός, ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα, τὴν τοῦ Υἱοῦ κυριότητα διαπέμπον εἰς τὴν [**1120**] **181** ἁγιαζομένην κτίσιν. Υἱὸς ἐπεδήμησε κόσμῳ σάρκα ἐκ Παρθένου λαβών, ἣν ἐπλήρωσεν Ἁγίου Πνεύματος εἰς τὸν πάντων ἡμῶν ἁγιασμόν, θανάτῳ δὲ παραδοὺς τὴν σάρκα τὸν θάνατον ἔλυσε διὰ τῆς ἀναστάσεως εἰς τὴν πάντων ἡμῶν ἀνάστασιν, ἀνῆλθεν δὲ εἰς οὐρανόν, ὑψῶν καὶ δοξάζων ἀνθρώπους ἐν ἑαυτῷ, ἔρχεται δὲ τὸ δεύτερον, ἀποκαθιστῶν ἡμῖν τὴν αἰώνιων ζωὴν [τοῖς πιστεύουσι καὶ τηροῦσι τὰς ἐντολὰς αὐτοῦ]. 36 Εἷς Υἱός, καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν ὁ αὐτός, ἄνθρωπος καὶ Θεός, ἑκάτερον ὡς ἕν. Καὶ οὐχ ἕτερον μὲν πρόσωπον ὁ Θεὸς Λόγος, ἕτερον δὲ ἄνθρωπος Ἰησοῦς, ἀλλ' αὐτὸς ὁ προϋπάρχων Υἱὸς ἑνωθεὶς σαρκὶ ἐκ Μαρίας κατέστη, τέλειον καὶ ἅγιον καὶ ἀναμάρτητον ἄνθρωπον συνιστὰς ἑαυτὸν

καὶ οἰκονομῶν εἰς ἀνανέωσιν ἀνθρωπότητος καὶ κόσμου παντὸς σωτήριον. 37 Θεὸς ὁ Πατήρ, τέλειον ὢν πρόσωπον, τέλειον ἔχει τὸν Λόγον ἐξ αὐτοῦ γεγεννημένον ἀληθῶς, οὐχ ὡς λόγον λαλούμενον οὐδὲ καθ' υἱοθεσίαν υἱόν, ὡς ἄγγελοι καὶ ἄνθρωποι υἱοὶ Θεοῦ καλοῦνται, ἀλλὰ Υἱὸν φύσει Θεόν· τέλειον δὲ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ Θεοῦ δι' Υἱοῦ χορηγούμενον[31] εἰς τοὺς υἱοθετουμένους, ζῶν καὶ ζωοποιόν, ἅγιον καὶ ἁγιαστικὸν τῶν μεταλαμβανόντων αὐτοῦ, οὐχ ὡς ὑπὸ ἀνθρώπου πνοὴν ἐμπνευσθεῖσαν ἀνυπόστατον, ἀλλ' ἐκ Θεοῦ ζῶσαν, δι' ὅπερ ἡ Τριὰς προσκυνητὴ ⟨καὶ⟩ δοξαστὴ καὶ τιμία καὶ σεβάσμιος, Πατρὸς μὲν ἐν Υἱῷ νοουμένου, καθότι Υἱὸς ἐξ αὐτοῦ, Υἱοῦ δὲ ἐν Πατρὶ δοξαζομένου, καθό ἐστιν ἐκ Πατρός, φανερουμένου ἐν Πνεύματι Ἁγίῳ τοῖς ἁγιαζομένοις.

38 Ὅτι δὲ σεβάσμιός ἐστιν ἡ Ἁγία Τριὰς μὴ χωριζομένη μηδὲ ἀλλοτριουμένη, τοῦτο διδάσκει ἡμᾶς Παῦλος ἐν τῇ πρὸς **182** Κορινθίους ἐπιστολῇ δευτέρᾳ λέγων οὕτως· «ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»[32]. Καὶ πάλιν διὰ τῆς ἐπιστολῆς δηλοῖ λέγων· «ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας Θεὸς καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν»[33]. Ἔτι δὲ σαφέστερον ἐν τῇ αὐτῇ ἐπιστολῇ γράφει οὕτως· «ἡνίκα ἂν ἀναγινώσκηται Μωυσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ Πνεῦμα. ὅπου δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος»[34]. 39 Καὶ πάλιν λέγει Παῦλος· «ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς· ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός, ὁ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος»[35]. Καὶ πάλιν φησίν· «συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις»[36] καὶ τὰ ἑξῆς. Εἶτα ἐπιφέ-

---

31. Πρβλ. Ἰω. 15,26. 32. Β' Κορ. 13,13. 33. Β' Κορ. 1,21-22. 34. Β' Κορ. 3,15-18. 35. Β' Κορ. 5,4-5. 36. Β' Κορ. 6,4.

ρει λέγων· «ἐν χρηστότητι, ἐν Πνεύματι Ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ»[37]. Ἰδοὺ γὰρ καὶ ἐνταῦθα ὥρισεν ὁ ἅγιος τὴν Ἁγίαν Τριάδα, ὀνομάσας Θεὸν καὶ Λόγον καὶ Πνεῦμα Ἅγιον. 40 Καὶ πάλιν λέγει· «οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός»[38]. Καὶ πάλιν· «ἀλλὰ ἀπελούσασθε ⟨ἀλλ' ἡγιάσθητε⟩ ἀλλ' ἐδικαιώθητε ἐν τῷ **183** ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ πνεύματι [**1121**] τοῦ Θεοῦ ἡμῶν»[39]. Καὶ πάλιν· «ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ; δοκῶ γὰρ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν»[40]. 41 Καὶ πάλιν καὶ περὶ τῶν υἱῶν Ἰσραὴλ διαλαλῶν ὡς βαπτισθέντων ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ[41] φησὶν ὅτι «πάντες τὸ αὐτὸ πνευματικὸ ἔπιον πόμα· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός»[42]. Καὶ πάλιν λέγει· «διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα, καὶ διαιρέσεις διακονιῶν εἰσὶν καὶ ὁ αὐτὸς Κύριος, καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν καὶ ὁ αὐτός ἐστι Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ⟨ἄλλῳ χάρισμα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι,⟩ ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ⟨ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν⟩. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἴδια ἑκάστῳ καθὼς βούλεται. Καὶ καθάπερ τὸ σῶμα ἕν ἐστιν καὶ μέλη πολλὰ ἔχει, πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα ἕν ἐστι σῶμα, οὕτως καὶ ὁ Χριστός. Καὶ γὰρ ἐν ἑνὶ πνεύματι πάντες ἡμεῖς εἰς ἓν σῶμα ἐβαπτίσθημεν»[43]. Καὶ πάλιν λέγει· «εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ **184** ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἀνέχεσθε»[44]. Ὁρᾷς ὅτι ἀχώριστόν ἐστι τὸ Πνεῦμα τῆς θεότητος καὶ οὐκ ἄν τις εὐσεβῶς φρονῶν κτίσμα αὐτὸ ὑπολάβοι. 42 Ἐν δὲ τῇ πρὸς Ἑβραίους ἐπιστολῇ πάλιν γράφει οὕτως· «πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι ὑπὸ τοῦ Κυρίου διὰ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς»[45]. Καὶ πάλιν ἐν τῇ αὐτῇ ἐπιστολῇ φησιν· «διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη· διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ καὶ εἶπον Ἀεὶ πλανῶνται τῇ καρδίᾳ αὐτῶν, διότι οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου»[46]. Κἀνταῦθα ἀκουέτωσαν Παύλου μηδαμῶς χωρίζοντος τὸ Πνεῦμα τὸ Ἅγιον τῆς θεότητος τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀλλὰ σαφῶς δηλοῦντος τὴν τοῦ Ἁγίου Πνεύματος διαλαλιάν ἐκ [**1124**] προσώπου τοῦ Θεοῦ ὑπάρχουσαν καὶ οὕτως ὡς ἀπὸ Θεοῦ εἰρημένην, καθὼς ἀποδέδοται ἐν τοῖς προειρημένοις ῥητοῖς. 43 Διὰ τοῦτο γὰρ εἷς Θεὸς ἡ Ἁγία Τριὰς πιστεύεται καὶ προσκυνεῖται κατὰ τὰ ἐκ τῆς θείας Γραφῆς μαρτυρηθέντα, εἰ καὶ τὰ μάλιστα πανταχοῦ ἀπὸ τῶν θείων Γραφῶν ἀναρίθμητοι διδασκαλίαι ἡμῖν ὑπάρχουσι, συμμαρτυροῦσαι τῇ ἀποστολικῇ καὶ ἐκκλησιαστικῇ πίστει.

185 *Θεοδωρήτου, Ἐρανιστής. I. t. IV σ. 70 Schulze: καὶ μέντοι κἀν τῷ περὶ πίστεως λογιδίῳ οὕτω λέγει (Ἀπολλινάριος)·* πιστεύομεν οὖν... Θεοῦ δύναμιν[47] = σ. 171 i-5 *καὶ μετ' ὀλίγα·*

1 προσκυνοῦμεν δὲ Θεὸν σάρκα ἐκ τῆς ἁγίας Παρθένου προσλαβόντα καὶ διὰ τοῦτο ἄνθρωπον μὲν ὄντα κατὰ τὴν σάρκα, Θεὸν δὲ κατὰ τὸ πνεῦμα.

37. Β' Κορ. 6,6-7. 38. Α' Κορ. 3,16-17. 39. Α' Κορ. 6,11. 40. Α' Κορ. 6,19. 41. Πρβλ. Α' Κορ. 10,1. 42. Α' Κορ. 10,4. 43. Α' Κορ. 12,3-13.

44. Β' Κορ. 11,4. 45. Ἑβρ. 2,3-4. 46. Ἑβρ. 3,7-11. Ψαλ. 95, 7-11. 47. Πρβλ. Α' Κορ. 1,24.

ΟΤΙ ΕΙΣ Ο ΧΡΙΣΤΟΣ

294 Ἔδει μὲν τοὺς ἅπαξ ἀποπηδήσαντας ἑλληνικῆς πλάνης καὶ ἐπιγνόντας τὸν ἕνα καὶ μόνον ἀληθῶς τῶν ἁπάντων Θεὸν μηκέτι προσιέναι τῇ κτίσει μηδὲ θεοποιεῖν καὶ λατρεύειν «τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν»[48]. Ὁμοίως δὲ καὶ τοὺς ἰουδαϊκῆς **295** ἀναχωρήσαντας ἀπιστίας καὶ καταγνόντας ἐκείνων ὡς ἀφρόνων καὶ ἀχαρίστων καὶ πιστεύσαντας εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ συνιέντας αὐτὸν Θεὸν μαρτυρούμενον πάντοθεν καὶ ἐπιγινωσκόμενον ἐκ τῆς ἐξουσίας καὶ ἐκ τῶν σημείων καὶ θεϊκῶν ἔργων καὶ τῆς κυριακῆς ἐπιστασίας, μηκέτι καταπίπτειν εἰς κοινὸν καὶ ψιλὸν ἄνθρωπον διὰ τῆς ἔξωθεν ὄψεως, μηδὲ κατὰ τὸ ὁρώμενον σχῆμα καὶ τὴν ἀόρατον αὐτοῦ φύσιν ὁρίζειν μηδὲ διὰ τὸ σῶμα καὶ τὰ σωματικὰ πάθη ψιλὸν αὐτὸν ἄνθρωπον εἶναι νομίζειν καὶ ὡς ἕνα τῶν καθ' ἡμᾶς παθητόν. 2 Ταῦτα γὰρ ἦν τὰ Ἰουδαίων κακά, ταῦτα τὴν πίστιν ἐκείνων ἀφείλετο καὶ θεομάχους ἀπέδειξε, ταῦτα καὶ νῦν ζηλοῦσί τινες ἑλληνικὴν καὶ ἰουδαϊκὴν νόσον νοσοῦντες καὶ μὴ παραδεχόμενοι μηδὲ πιστεύοντες ὅλως σωματοῦσθαι Θεόν, ἀλλὰ λογισμοῖς ἀνθρωπίνοις καὶ σοφίᾳ ἑλληνικῇ γνῶναι καὶ καταλαβεῖν μᾶλλον βουλόμενοι τὰ μεγάλα καὶ ἀκατάληπτα, πῶς γεννᾶται τὸ ἀσώματον, πῶς δὲ καὶ πρόεισι καὶ ποῦ ὁ πανταχῇ ὢν καὶ πάντα περιέχων καὶ τὰ πάντα πληρῶν. Καὶ ἐκ τοῦ πῶς καὶ ὅπως εἰς ἀπιστίαν ἐχώρησαν, καὶ ἀντὶ γεννήσεως ἐπλάσαντο ποίησιν, καὶ ἀντὶ προόδου κτίσιν καὶ πάροδον κατεσκεύασαν.

3 Οὕτω πάλιν καὶ ἐπὶ τῆς σαρκώσεως· πῶς σαρκοῦται Θεός, πῶς σωματοῦται, πῶς συντίθεται πρὸς σῶμα βραχὺ ὁ ἀχώρητος· πῶς δὲ ἑνοῦται τὸ ἄκτιστον τῷ κτιστῷ καὶ τῷ περιγραφομένῳ τὸ ἀπερίγραφον· πῶς καὶ ἐν μέρει ὁ μέγας ἐκεῖ-
296νος καὶ ἀμέτρητος καὶ ἀμέριστος. Ἢ γὰρ τὸ μέγα εἰς μικρὸν συνεστάλη χωρίον, ἢ τὸ μικρὸν γέγονε μέγα, ἢ μέρος τῆς θεότητος καὶ οὐ τὸ πᾶν ὑπεδέξατο, ὅπερ ἐστὶν ἀσεβές. Καὶ ἐχώρησαν ἐκ τοῦ πῶς καὶ ποίῳ τρόπῳ καὶ ποίᾳ ἀκολουθίᾳ εἰς ἀπιστίαν καὶ οὗτοι· καὶ ἐνοίκησιν ἀντὶ σαρκώσεως κατεσκεύα-

48. Ρωμ. 1,25.

σαν, καὶ ἀντὶ ἑνώσεως καὶ συνθέσεως ἐνέργειαν ἀνθρωπίνην, καὶ ἀντὶ μιᾶς ὑποστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο ὑποστάσεις καὶ πρόσωπα, καὶ ἀντὶ τῆς Ἁγίας Τριάδος τετράδα ἀπρεπῶς καὶ παρανόμως φρονήσαντες· ἀπρεπῶς μέν, ὅτι Θεῷ συνάπτουσιν ἄνθρωπον καὶ δοῦλον συναριθμοῦσι Δεσπότῃ καὶ κτιστὸν πρόσωπον ἀκτίστοις προσώποις συντάττουσι· παρανόμως δέ, ὅτι τὴν μίαν ὑπόστασιν δύο ποιοῦσιν, ἐπεισάγοντες τῇ Τριάδι τετάρτην ὑπόστασιν ξένην παντάπασι καὶ ἀλλόφυλον καὶ πάντων τῶν λογικῶν κτισμάτων τὸ τελευταῖον καὶ ἔσχατον καὶ μικρόν. 4 Ἐὰν δὲ ἀκριβῶς πάλιν ἐννοήσῃς καὶ τῷ πράγματι προσέχειν θελήσῃς, εὑρήσεις αὐτοὺς ἔξω τῆς Ἁγίας Τριάδος βάλλοντας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὡς δοῦλον, ὡς ἄνθρωπον ἀπροσκύνητον τὸν προσκυνητόν· προσκυνοῦντα δὲ μᾶλλον καὶ σέβοντα μετὰ πάντων καὶ ὑποτασσόμενον τῇ Ἁγίᾳ Τριάδι, ὡς Μάρκελλος καὶ ὁ Σαμοσατεύς Παῦλος παρεξηγοῦνται, τὸ θεϊκὸν καὶ ἀποστολικὸν γράμμα εἰς τὴν ἰδίαν αὐτῶν ἔλκοντες ἔννοιαν· «ὅταν γάρ»[49], φησίν, «ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱός»[50], τουτέστιν ὁ ἀναληφθεὶς ἄνθρωπος, «ὑπο**297**ταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεός»[51], φησίν, ὡς καὶ πρὸ τῆς σαρκώσεως «ἐν πᾶσιν»[52] ἀσώματος ὢν καὶ σῶμα μὴ ἔχων, καὶ ὁ ἀναληφθεὶς ἄνθρωπος μετὰ πάντων καὶ τοῖς πᾶσι συναριθμούμενος προσιὼν ὑποτασσόμενος καὶ λατρεύων Θεῷ. Σκοπήσατε, εἰς ὅσην κατέπεσον ἀφροσύνην οἱ δοκησίσοφοι, εἰς ὅσην μανίαν καὶ ἀπιστίαν ἐχώρησαν, καὶ ἐπινοεῖν τὰ μὴ ὄντα καὶ πλάττεσθαι καὶ μυθολογεῖν.

5 Οὐ μόνον δὲ τῇ πίστει προσελθεῖν οὐκ ἠθέλησαν, ἀλλὰ καὶ ἀπάτας ἐξεῦρον καὶ κακουργίας ἐμηχανήσαντο, ἐπλάσαντο μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις εἰς πλάνην πολλῶν καὶ ἀποστασίαν παράνομον σκοπήσαντες, τὸ δὲ μέλλον ἀπελπίσαντες. Εἰ γὰρ προσεδόκων τὸ μέλλον, εἰ Θεοῦ ἐπιδημίαν καὶ κρίσιν ἐπίστευον, εἰ κόλασιν ἐφοβοῦντο, τῇ πίστει προσήρχοντο, Εὐαγγελίοις ἐπείθοντο καὶ Ἀποστόλοις ἠκολούθουν μᾶλλον ἢ λογισμοῖς ἀνθρωπίνοις. Χριστὸν γὰρ εὐθέως ἐκήρυξαν ἐξελθόντες οἱ

49. Α' Κορ. 15,28. 50. Ἔνθ' ἀν. 51. Α' Κορ. 15,28. 52. Ἔνθ' ἀν.

Ἀπόστολοι συμφώνως καὶ ἀκολούθως τὸν Υἱὸν τοῦ Θεοῦ. Τοῦτον τὸν ἐν Βηθλεὲμ γεννηθέντα ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα[53], τὸν ὁμοιωθέντα ἀνθρώποις, καὶ σταυρωθέντα ὑπὲρ ἀνθρώπων ἐπὶ Ποντίου Πιλάτου, αὐτὸν εἶπαν Θεόν, αὐτὸν ἄνθρωπον, αὐτὸν εἶπαν Υἱὸν Θεοῦ, αὐτὸν Υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν παθητόν, οὐκ ἄλλον, οὐ **298** πρόσωπα δύο, οὐχ ὑποστάσεις, οὐ προσκυνήσεις δύο. 6 Τίς χρεία ζητεῖν καὶ λογομαχεῖν; πιστεύειν συμφέρει καὶ σέβειν καὶ προσκυνεῖν σιωπῇ. Οἶδα αὐτὸν Θεὸν ἀληθῶς ἐξ οὐρανοῦ ἀπαθῆ· οἶδα αὐτὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, ἄνθρωπον ἀπὸ γῆς παθητόν. Οὐ ζητῶ, πῶς παθητὸς καὶ ἀπαθὴς ὁ αὐτός, πῶς Θεὸς καὶ πῶς ἄνθρωπος, ἵνα μὴ τὸ πῶς περιεργαζόμενος καὶ τὸν τρόπον ἀναζητῶν ἐκπέσω τοῦ προκειμένου ἡμῖν ἀγαθοῦ. Πιστεύειν γὰρ πρῶτον χρὴ καὶ δοξάζειν καὶ δεύτερον ἄνωθεν τὴν σύστασιν τούτων αἰτεῖσθαι καὶ μὴ κάτωθεν ταύτην πορίζεσθαι ἐξ αἵματος καὶ σαρκός, ἀλλ' ἐξ ἀποκαλύψεως Θείας καὶ Οὐρανίου. «Μακάριος»[54] γὰρ «εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς»[55]· καὶ «σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι Ἅδου οὐ κατισχύσουσι αὐτῆς»[56]. Πιστὸς ὁ λόγος, καὶ ἀσάλευτος ἡ ὑπόσχεσις, καὶ ἡ Ἐκκλησία ἀήττητος, κἂν Ἅδου πύλαι ἐπιγένωνται, κἂν οἱ ἐν αὐτῷ «κοσμοκράτορες τοῦ σκότους»[57], θάρσει τῷ εἰρηκότι «θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον»[58] καὶ τοῖς παθήμασιν ὁμοίως νενίκηκα· ἐπειδὴ καὶ ὁ ταύτης Δεσπότης παθὼν μᾶλλον ἐνίκα καὶ σταυρούμενος ἔσωζε καὶ ἀποθνήσκων ἐζωοποίει. Ὁρᾷς καὶ ἀκούεις τὸν αὐτὸν ἅμα Θεὸν καὶ ἄνθρωπον. Εἰ γὰρ Θεὸς μόνον ἦν, πῶς ἔπασχε, πῶς ἐσταυροῦτο καὶ ἀπέθνησκεν; Ἀλλότρια γὰρ ταῦτα Θεοῦ. Καὶ εἰ ἄνθρωπος μόνον, πῶς διὰ πάθους ἐνίκα, ἔσωζεν, ἐζωοποίει; Ταῦτα ὑπὲρ ἄνθρωπον ἦν. Ὁ δὲ αὐτὸς καὶ πάσχει καὶ σώζει καὶ διὰ τοῦ πάθους ἐνίκα. **299** Ὁ αὐτὸς Θεός, ὁ αὐτὸς ἄνθρωπος, τὸ συναμφότερον ὡς ἕν, ἑκάτερον ὡς μόνον.

53. Πρβλ. Ἰω. 7,42. 54. Ματθ. 16,17. 55. Ἐνθ' ἀν. 56. Ματθ. 16,18. 57. Ἐφ. 6,12. 58. Ἰω. 16,33.

7 Ἀλλ' ἴσως ἐρεῖ τις τῶν σοφῶν καὶ γενναίων παρελθὼν ἐν μέσῳ ἀκριβὴς ζητητής. Μέρος οὖν τοῦ Λόγου τὸ σῶμα, συμπληρωτικὸν τῆς τοῦ Υἱοῦ ὑποστάσεως, ἵνα ᾖ εἷς Υἱὸς τοῦ Θεοῦ ἐξ ἀμφοτέρων συγκείμενος, καὶ ἀτελὴς ὢν καθ' ἑαυτὸν καὶ τοῦ σώματος εἰς τελείωσιν προσδεόμενος; ἐπεὶ πῶς εἷς ἢ πῶς μία ὑπόστασις καὶ ἓν πρόσωπον; ἐπεὶ πάλιν, εἰ μία ὑπόστασις τοῦ Λόγου καὶ τῆς σαρκός, πῶς δὲ Υἱὸς αὕτη τοῦ Θεοῦ; Ὁμοούσιος ἔσται ἄρα καὶ ἡ σὰρξ τῷ Θεῷ, ὅπερ ἐστὶν ἀσεβές. Εἰ δὲ τοῦτο, οὐδὲ ὁ Λόγος Υἱὸς ἔσται ὁμοούσιος τοῦ Θεοῦ, ὅπερ ἐστὶν ἄτοπον· ὁ Λόγος γὰρ τέλειος καὶ ὁμοούσιος καὶ ἰδίαν καθ' ἑαυτὸν ἔχων ὑπόστασιν ἀεὶ καὶ μηδενὸς προσδεόμενος. 8 Οἱ ταῦτα κατηγοροῦντες τὴν ἑαυτῶν γνώμην φανερὰν καθιστῶσιν, ὅτι δύο ὑποστάσεις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμᾶς συκοφαντοῦσιν καὶ πειρῶνται ἅμα πανταχόθεν εἰς ἓν τῶν ἀτόπων περιάγειν τοὺς ἡμετέρους λόγους, συμπληρωτικὸν εἰπεῖν τῆς ὑποστάσεως τοῦ Λόγου τὸ σῶμα ἢ ὁμοούσιον τῷ Θεῷ ἢ ξένον καὶ ἀλλότριον παντάπασι τῆς ὑποστάσεως τοῦ Υἱοῦ, ὅπερ αὐτοὶ λέγουσιν, ἄλλην ὑπόστασιν εἰσάγοντες τῆς σαρκός, ἤτοι τοῦ ἀναληφθέντος ἀνθρώπου, ὡς αὐτοί φασι, καὶ ἄλλην τοῦ ἀναλαβόντος Θεοῦ, ἄλλο πρόσωπον τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἄλλο πρόσ**300**ωπον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, τοῦ ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. Ὥστε μήτε τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι Υἱὸν ἀνθρώπου ἑτερούσιον ὄντα τοῦ Δαβίδ· μήτε τὸν κατὰ σάρκα γεννηθέντα εἶναι Υἱὸν τοῦ Θεοῦ, ἑτερούσιον ὄντα τῷ Θεῷ.

9 Ἡμεῖς δὲ ἕνα καὶ τὸν αὐτὸν λέγομεν Θεόν, ἀδελφοί, Προφήταις καὶ Ἀποστόλοις πειθόμενοι, καὶ τῷ Εὐαγγελίῳ πιστεύοντες μᾶλλον ἢ σοφίᾳ ἑλληνικῇ προσέχοντες καὶ λογισμοῖς ἀνθρωπίνοις ταραττόμενοι, καὶ περὶ τῆς ἰδίας διακρινόμενοι σωτηρίας ἕνα Θεὸν ὁμολογοῦμεν τὸ συναμφότερον, μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον, οὐχ ἵνα συμπληρωτικὸν τῆς ὑποστάσεως τὸ σῶμα γένηται· ἀσεβὲς γάρ· ἐπειδὴ τέλειον τὸ Θεῖον, ἀνεπίδεκτον ἐλαττώσεως καὶ ἁπλοῦν καὶ μονοειδὲς καὶ ἀσύνθετον, εἰς μέρη οὐ διαιρεῖται, τουτέστι, καθὸ Θεὸς Λόγος ἐστὶ καὶ μονοειδής, εἰς διαφορὰν μελῶν καὶ πραγμάτων οὐ πίπτει εἵς τε σῶμα καὶ ἀσώματον· ὁ Λόγος γάρ ἐστι τέλειος καὶ διόλου ἀσώματος·

οὐ γὰρ Θεὸς γέγονε σαρκωθεὶς οὐδὲ Υἱὸς Θεοῦ ἀνθρώπινον σῶμα λαβὼν οὐδὲ Κύριος τῆς δόξης τὴν τοῦ δούλου μορφὴν φορέσας· ἀλλ' ἄνθρωπος καὶ Υἱὸς ἀνθρώπου ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ δοῦλος κατὰ τὴν μορφὴν ὁ τῇ φύσει Κύριος. Οὐ τὸ σῶμα οὖν συμπληρωτικὸν γέγονε τῆς θεϊκῆς ὑποστάσεως· ἀλλ' ὁ ἀληθῶς τέλειος καὶ τὸ ἀτελὲς ἐτελείωσεν, ὁ ἀπροσδεὴς τῇ προσδεομένῃ συνῆλθε καὶ συνηνώθη σαρκί, **301** ὁ μηδενὸς χρείαν ἔχων ἑαυτὸν ἔδωκε τῷ χρείαν ἔχοντι σώματι. 10 Οὐδεὶς γὰρ τῶν εὖ φρονούντων ἢ νήφειν ὅλως καὶ νοεῖν δυναμένων εἴποι ἂν ὅτι, ὥσπερ ὁ Λόγος τέλειος ὢν καὶ ἐνυπόστατος, οὐ προσεδεῖτο σαρκός, ἵνα Θεὸς τέλειος γένηται, οὕτως οὐδὲ τὸ σῶμα τοῦ Λόγου ἔχρῃζεν, ἵνα τέλειος καὶ ἐνυπόστατος ἄνθρωπος γένηται· ἀλλ' οὐρανίου τοῦ Σωτῆρος ἐδεόμεθα, οὐρανίου τοῦ ἐλευθεροτοῦ, ἀφαιρέσει τῆς ἐπιγενομένης ἁμαρτίας ἀνακαινοῦντος ἡμᾶς ἐκ τῆς κακώσεως καὶ τὰ ἐκ ταύτης ἀφαιροῦντος δεινά.

11 Εὐθὺς οὖν ἀπὸ γενέσεως ἡ καινότης ἐδείκνυτο, καὶ τὸ οὐράνιον τοῦ γεγεννημένου διὰ τῆς γεννήσεως ἐξεφαίνετο· οὐ κατὰ γέννησιν ἀνθρώπου παλαιοῦ ἐξ ἀνδρὸς καὶ γυναικὸς εἶχε τὴν γέννησιν· καὶ γὰρ ἀδύνατον ἄνευ ἀνδρὸς κυῆσαι γυναῖκα, ὅτι τὴν οὐσίαν τῶν γεννωμένων ἐν τοῖς πατράσι κατεβάλετο ὁ Θεός· ὡς καὶ τὸν Λευΐ φησιν ἡ Γραφὴ ἐν τῇ ὀσφύι τοῦ πατρὸς εἶναι Ἀβραάμ. Ὁ δὲ Λυτρωτὴς οὐ τοῦ Ἀδὰμ τὸ εἶναι λαβών, ἀλλ' ἐκ τοῦ Ἀδὰμ τὸ σχῆμα προσλαβών, τὴν σάρκα λέγω (σάρκα δὲ λέγω τὴν μετὰ ψυχῆς ἀνθρωπίνης), καὶ γενόμενος ἄνθρωπος κατὰ τὸ ὁρατὸν εἰσήγαγεν εἰς τὸν κόσμον τὴν καινότητα κατὰ τὸ ἀόρατον· καθ' ἧς οὐχ ὅρος θανάτου, οὐ τυραννὶς Διαβόλου, ἀλλὰ κοινωνία μὲν [τοῦ Λόγου] πρὸς τοὺς θνητοὺς καὶ τυραννουμένους, διαφορὰ δὲ πολλὴ κατὰ τὸ ἀθάνατον, κατὰ τὸ ἐλεύθερον καὶ ἀτυράννητον. Ἐθαύμαζε καὶ ἡ Παρθένος εὐαγγελισθεῖσα τὴν γέννησιν τοῦ Σωτῆρος **302** τὴν ἐξ αὐτῆς. «Πῶς γὰρ ἔσται μοι τοῦτο», φησίν, «ἐπεὶ ἄνδρα οὐ γινώσκω;»[59]. Εὐηγγελίσθη δὲ θείαν οὐσίαν τοῦ γεννηθέντος ἐξ αὐτῆς ἐν μορφώσει σαρκίνῃ. Καὶ ἦν οὐράνιον τὸ δῶρον, καὶ γήινον τὸ βλάστημα· ἦν εἰρηνοποίησις τῆς γῆς καὶ πρὸς οὐρανοὺς ὁμοίωσις κατὰ τὴν τῶν ἀγγέλων χαρὰν τῶν βοώντων «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη»[60]. Χαίροντες οὖν ἐπὶ τῇ τοῦ Χριστοῦ γεννήσει, οὐκ ἀνθρωπίνην χαρὰν χαίροντες, οἵαν ἐπὶ γεννωμένῳ παιδίῳ χαίρουσιν ἄνθρωποι, καὶ γενεσίων ἐπιτελοῦσιν ἑορτήν· ἀλλ' ἐπιφανείᾳ Χριστοῦ χαίρομεν, καὶ φωτὸς ἐπιλάμψει θεϊκοῦ, οὐ κοινωνὸν τῆς αἰχμαλωσίας, ἀλλὰ Λυτρωτὴν κατὰ τὸν Ἀπόστολον[61]. Τί δὲ ἦν ἐπὶ τούτοις; ἡ χρῖσις, καθ' ἣν γεννώμενος θειότερον ἢ κατὰ ἀνθρώπους, καὶ τραφεὶς θειοτέρως ἢ καθ' ἡμᾶς Χριστός. Τὸ μὲν οὖν σχῆμα κατὰ τὴν σάρκα ἐν ὕδατι βαπτίζεται μετὰ Ἰουδαίων καὶ Ἰωάννης ὁ βαπτίζων[62], καὶ ποταμὸς Ἰορδάνης[63] ὁ λούων σῶμα τὸ Θεῖον, καὶ Πνεύματος[64] ἔφοδος ἐξ οὐρανοῦ εἰς τὸ καθαρὸν σῶμα τοῦ Χριστοῦ, ἐξ οὗ καὶ εἰς ἡμᾶς διαβαίνει καθ' ὁμοίωσιν ἡ κάθαρσις, ἵνα καὶ ἡμεῖς ἀκολουθήσωμεν αὐτῷ πληροῦντες πᾶσαν δικαιοσύνην καὶ καθαιρόμενοι ἐν αὐτῷ τῷ Κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

59. Λουκ. 1,34.

ΠΕΡΙ ΣΑΡΚΩΣΕΩΣ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ

303 Ἐλύπει μὲν τὴν ἁγίαν σύνοδον Παύλου τοῦ Σαμοσατέως ἡ καινοτομία, τὸ μέγα μυστήριον τὸ κατὰ Χριστὸν ἀνατρέπειν ἐπιχειροῦσα· λυπεῖ δὲ καὶ νῦν τοὺς ἀντεχομένους τῆς ἁγίας πίστεως ἡ περὶ τῶν αὐτῶν βλασφημιῶν βλάπτουσα τοὺς πολλούς· μάλιστα τοὺς ἠλαττωμένους περὶ τὴν σύνεσιν. Τὰ γὰρ μεγάλα καὶ δυσκατάληπτα τῶν πραγμάτων πίστει τῇ πρὸς τὸν Θεὸν λαμβάνεται· ὅθεν οἱ περὶ τὴν γνῶσιν ἀδυνατοῦντες ἀποπίπτουσιν, εἰ μὴ πεισθεῖεν ἐμμένειν τῇ πίστει καὶ τὰς περιέργους ζητήσεις ἐκτρέπεσθαι. Διὰ τοῦτο ὁ μακάριος Παῦλος ἔλεγεν «ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ»[65].

Ἐπεὶ τοίνυν ἠκούσαμεν καὶ παρ' ὑμῖν τινας ταράττεσθαι, καὶ ζητεῖν γράμματα παρ' ἡμῶν περὶ τῆς κοινῆς καὶ ἐξ Ἀπο-

60. Λουκ. 2,14. 61. Πρβλ. Τίτ. 2,14. 62. Πρβλ. Ματθ. 3,13. 63. Ἐνθ' ἀν. 64. Πρβλ. Ματθ. 3,16. 65. Α' Τιμ. 3,16.

στόλων εἰσαχθείσης πίστεως, γράφομεν ὅτι τὴν μὲν ἀκρίβειαν ἐπιζητεῖν ὀλίγων ἐστί, τὴν δὲ πίστιν κατέχειν ἁπάντων τῶν πρὸς τὸν Θεὸν εὐπειθῶν, οἳ καὶ μέγιστον ἔπαινον ἀποφέρονται τῆς ἐπιθυμίας. Ὁ μὲν γὰρ ζητῶν τὰ ὑπὲρ ἑαυτὸν ἐπικίνδυνος· ὁ δὲ τοῖς παραδοθεῖσιν ἐμμένων ἀκίνδυνος. Παραινοῦμεν δὲ καὶ ὑμῖν, ὅπερ καὶ ἑαυτοῖς παραινοῦμεν, τὴν παραδοθεῖσαν πίστιν φυλάττειν, ἐκτρέπεσθαι δὲ «τὰς βεβήλους κενοφωνίας»[66], καὶ τοῦτο πᾶσι παρεγγυᾶν φοβεῖσθαι τὴν περὶ τοῦ τηλικούτου μυστηρίου ζήτησιν· ὁμολογεῖν δέ, ὅτι πεφανέρωται Θεὸς ἐν σαρκὶ κατὰ τὴν Ἀποστολικὴν παράδοσιν καὶ **304** τὴν δικαιοσύνην, ἣν ἔσχεν ὁ Κύριος ἐν πνεύματι, τουτέστιν οὐκ ἀνθρωπίνῃ τροπῇ, ἀλλὰ θεϊκῇ τῇ καθαρότητι· ἀδύνατον γὰρ ἑτέρως τὸ καθαρὸν καὶ ἀναμάρτητον ἐπ' ἀνθρωπίνης φύσεως παραδεχθῆναι, εἰ μὴ Θεὸς ἐν σαρκὶ πιστεύοιτο εἶναι ὁ τὴν ἀναμάρτητον δικαιοσύνην εἰς τὸν κόσμον εἰσαγαγών, ἧς μετέχοντες σωζόμεθα. Τὸ γὰρ «οὐκ ἔστι δίκαιος ἐπὶ τῆς γῆς, ὃς ποιήσει τὸ ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται»[67] κοινὸν δήπου κατὰ πάντων ἀνθρώπων ἐστίν· ὅθεν ἐξ οὐρανοῦ καταβέβηκε, φησίν, ὁ τὴν ἄχραντον δικαιοσύνην παρ' ἑαυτοῦ δωρούμενος Λόγος[68]. Καὶ λέγει σαφῶς· «οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου»[69]· καὶ πάλιν, «ἐὰν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον»[70] καὶ «ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ ζῶν καὶ ζωὴν διδοὺς τῷ κόσμῳ»[71]· σαφῶς δήπου διὰ τούτων ἐκδιδάσκων ἡμᾶς τὴν θεότητα τὴν ἑαυτοῦ, οὐκ ἀναιρῶν τὸ κατὰ σάρκα προσειληφέναι, ἀλλ' ἑνῶν ἑαυτὸν πρὸς τὴν σάρκα· ἐπειδὴ κατὰ Παῦλον «ἐν ὁμοιώματι ἀνθρώπων γέγονε, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος»[72]. Ὁ δὲ ἄνθρωπος ἓν πρόσωπον καὶ ζῷον ἓν ἀπό τε πνεύματος καὶ σαρκός· κατὰ δὲ τὸ ὁμοίωμα αὐτοῦ νοητέον τὸν Χριστὸν ἕνα, καὶ οὐ δύο πρόσωπα, ὅπερ ἡ νῦν ἀπιστία βιάζεται σαφῶς ἀπολειπομένη τοῦ μεγέθους τῆς θείας χάριτος, καὶ τῷ ἑλληνικῷ σκανδάλῳ περιπίπτουσα. Ἐπειδὴ γὰρ οὐ πιστεύει δυνατὸν εἶναι τὸν Θεὸν ἄνθρωπον **305** γενέσθαι κατὰ τὴν ἐξ ἀρ-

66. Β' Τιμ. 2,16. 67. Ἐκκλ. 7,20. 68. Πρβλ. Ἰω. 3,13. 69. Ἐνθ' ἀν. 70. Ἰω. 6,62. 71. Ἰω. 6,51. 72. Φιλιπ. 2,7.

χῆς φωνὴν Ἰωάννου λέγοντος ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο»[73], διὰ τοῦτό φησιν ἄνθρωπον μὲν εἶναι ἐκ τῆς Παρθένου τεχθέντα καὶ μηδὲν ἔχειν τῇ φύσει θεϊκόν· Θεὸν δὲ εἰς αὐτὸν καταβεβηκέναι. Οἱ δὲ ταῦτα λέγοντες, αὐτὰ τὰ ἐναντία λέγουσιν, ὥσπερ ἀντιλέγοντες τῷ Λόγῳ, ὅτι οὐχὶ καταβεβηκὼς ἐξ οὐρανοῦ Υἱὸς ἀνθρώπου, ἀλλ' ἐκ γῆς ἀναστὰς ὑπεδέξατο τὸν ἐξ οὐρανοῦ Θεόν.

3 Ἡμᾶς οὖν καλῶς ἔχει τοῖς θείοις ἕπεσθαι ῥήμασι καὶ μὴ λογισμῶν γυμνασίαις προδιδόναι τὰ σαφῶς οὕτως κεκηρυγμένα. Ὅταν οὖν μόνον ἕτερον ἄνθρωπον λέγωσιν οἱ τοῦ Σαμοσατέως, ἕτερον δὲ τὸν Θεόν, μὴ παραδεχώμεθα. Εἰ γὰρ καὶ Θεὸν ἐνοικεῖν ἐν τῷ ἀνθρώπῳ λέγοιεν, μὴ παραδεχώμεθα· ἐνοικεῖ δὲ ἐν ἡμῖν, καθὼς γέγραπται· «ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω»[74]. Οὐδὲν οὖν διαφέρει ἡμῶν κατὰ τὸν αὐτῶν λόγον· ὥστ' εἰ συμπροσκυνεῖς τὸν ἄνθρωπον τῷ Θεῷ Λόγῳ κατὰ τὴν ἐνοίκησιν, συμπροσκύνει καὶ τοὺς ἁγίους διὰ τὸν ἐνοικοῦντα ἐν αὐτοῖς. Καὶ πῶς οὐκ ἄτοπον; Τὸ δὲ καὶ πρὸ Ἁγίου Πνεύματος, τουτέστι πρὸ Θεοῦ, δοξασθῆναι ἄνθρωπον τῆς ἐσχάτης ἐστὶν ἀσεβείας. Ἡμεῖς οὖν τῷ πνεύματι Θεὸν καὶ ἄνθρωπον τῇ σαρκὶ τὸν Κύριον ἡμῶν εἶναι πεπιστεύκαμεν, κἂν χλευάζωσιν οἱ ἄπιστοι τὴν ἐκ γυναικὸς γέννησιν, τῆς σαρκὸς εἶναι ταύτην, καὶ οὐ τῆς θεότητος. Φαμὲν οὖν ἡνῶσθαι τῇ σαρκὶ τὸν Θεὸν καὶ κατὰ τοῦτο ἐκ γυναικὸς πεπλάσθαι καὶ γεγεννῆσθαι, ἕνα ὄντα ὡς ὁ Ἀπόστολος ἐδίδαξεν· «ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γεν **306**νώμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ»[75]. Καὶ τὸν θεῖον Σταυρὸν χλευάζουσιν ὁμοίως Ἕλλησιν[76]. Ἡμεῖς δὲ τῆς σαρκὸς ἕνεκεν τοῦτόν φαμεν, οὐ κεχωρισμένης τοῦ Θεοῦ οὐδ' εἰς ἕτερον πρόσωπον διῃρημένης· οὐ γὰρ δυνατὸν εἶναι Κύριον τῆς δόξης ψιλὸν ἄνθρωπον· «ὁ δὲ Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης»[77]. Κύριον τῶν δυνάμεων φοβούμενοι λέγειν ἄνθρωπον τὸν τὴν αὐτὴν ἡμῖν ἔχοντα φύσιν καὶ μεῖζον οὐδέν, Θεὸν κατὰ τὴν ἀποστολικὴν φωνὴν ὁμολογοῦμεν εἶναι τὸν Κύριον τῆς δό-

73. Ἰω. 1,14. 74. Λευϊτ. 26,12. 75. Γαλ. 4,4. 76. Α' Κορ. 1,22-24. 77. Ψαλ. 23,10.

ξης τὸν ἐσταυρωμένον καὶ τῷ σταυρῷ τροπαίῳ χρώμεθα κατὰ τοῦ Διαβόλου καὶ ἡ σφραγὶς ἡμῶν τοῦ Χριστοῦ δύναμίς ἐστιν εἰς σωτηρίαν. Καὶ τῷ Χριστῷ συνεσταυρῶσθαι τοῦτο σωτήριον ὑπὲρ νόμον καὶ τὴν ἐκ νόμου δικαιοσύνην[78], τοῦτο ἁγιάζει τὸν κόσμον. Καὶ διὰ τοῦτο εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα[79], ὅτι ὁ θάνατος ἐκείνου οὐχ ἁμαρτίας ἦν ἐπιτίμιον οὐδὲ ἴσος τῷ θανάτῳ τοῦ Ἀδάμ, ἀλλὰ λυτήριος τῆς ἁμαρτίας καὶ τοῦ διὰ ταύτην θανάτου.

4 Σαφὲς τοίνυν τὸ κήρυγμα τῶν Ἀποστόλων ἐκκείσθω, καθάπερ καὶ βούλεσθε, ὅπερ καὶ παρὰ τῶν ἁγίων Πατέρων παραδέδοται· περὶ μὲν τῆς θεότητος, ὅτι μία φύσις ἡ Τριὰς καὶ κατὰ τοῦτο μίαν οὐσίαν καὶ αἱ νῦν σύνοδοι γράφουσιν ἀποστολικῶς· ὁ δὲ τοῦ Θεοῦ Λόγος δημιουργὸς ὢν τῶν ἁπάντων, πρὸς ὁμοιότητα τὴν ἑαυτοῦ κτίσας τὸν ἄνθρωπον ἐξ ἀρχῆς[80], εἰς ὁμοίωσιν τὴν πρὸς αὐτὸν ἐπανάγει πάλιν, ὁμοιω**307**θεὶς τῷ ἰδίῳ ποιήματι, διὰ τὸ σεσαρκῶσθαι ἐξ ἁγίας τῆς Θεοτόκου Μαρίας παρθένου, καὶ ἄνθρωπος γεγενῆσθαι μένων Θεός, ἵνα τοὺς ἀνθρώπους θεοὺς ἀποδείξῃ μένοντας ἀνθρώπους. Πρόσωπον ἓν καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν, ἀπερίληπτος σαρκὶ Θεός, ἀμέριστος εἰς σάρκα, ἀπαθὴς ἐν τοῖς παθήμασι τῆς σαρκός, νικήσας θάνατον καὶ ἀναστὰς τῇ ἡμέρᾳ τῇ τρίτῃ[81]· ἀνελθὼν εἰς τὸν οὐρανὸν ἐν δόξῃ φυσικῇ καὶ οὐκ ἐν χάριτι· ἐρχόμενος, ἐν τῇ ἑαυτοῦ θεότητι ἐμφανῶς, ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόρρητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους διδάσκων ἡμᾶς, ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστι καὶ οὐχ ὕστερον ἀποθεωθείς, ὡς ἡ νῦν βλασφημία βιάζεται, οὐδὲ παυσάμενος τοῦ εἶναι Υἱὸς ἀνθρώπου οὐδὲ ἀποθέμενος τὴν σάρκα. Καὶ γὰρ ὅτε ἄρχεται εἶναι Υἱὸς ἀνθρώπου ὁ μονογενής, ἀποστέλλων ἐστὶ τοὺς ἀγγέλους αὐτοῦ, ἀναλλοίωτος ὢν ἀεὶ καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα, κατὰ δὲ τὴν σάρκα συσχηματισθεὶς ἡμῖν καὶ συσχηματίζων ἡμᾶς ἑαυτῷ.

78. Πρβλ. Γαλ. 2,21. 79. Πρβλ. Ρωμ. 6,3. 80. Πρβλ. Γεν. 1,26. 81. Πρβλ. Λουκ. 24,7.

ΠΡΟΣ ΙΟΒΙΑΝΟΝ*

250 Ὁμολογοῦμεν τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν πρὸ αἰώνων ἀϊδίως γεννηθέντα, ἐπ' ἐσχάτων τῶν αἰώνων διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας γεγεννῆσθαι κατὰ σάρκα, ὡς ὁ θεῖος Ἀπόστολος διδάσκει λέγων· «ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός»[82]· καὶ εἶναι τὸν αὐτὸν Υἱὸν Θεοῦ καὶ Θεὸν κατὰ πνεῦμα, Υἱὸν δὲ ἀνθρώπου κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα Υἱόν, μίαν **251** προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει· οὐδὲ δύο υἱούς, ἄλλον μὲν Υἱὸν Θεοῦ ἀληθινὸν καὶ προσκυνούμενον, ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον μὴ προσκυνούμενον, κατὰ χάριν υἱὸν Θεοῦ γενόμενον, ὡς καὶ ἄνθρωποι, ἀλλὰ τὸν ἐκ Θεοῦ, ὡς ἔφην, ἕνα Υἱὸν Θεοῦ καὶ τὸν αὐτὸν καὶ οὐκ ἄλλον καὶ ἐκ Μαρίας γεγεννῆσθαι κατὰ σάρκα ἐπ' ἐσχάτων τῶν ἡμερῶν· ὡς ὁ ἄγγελος τῇ Θεοτόκῳ Μαρίᾳ λεγούσῃ· «πῶς τοῦτο ἔσται, ἐπεὶ ἄνδρα οὐ γινώσκω;»[83] ἔλεγε· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ»[84]. 2 Ὁ τοίνυν γεννηθεὶς ἐκ τῆς παρθένου Μαρίας Υἱὸς Θεοῦ φύσει καὶ Θεὸς ἀληθινός, καὶ οὐ χάριτι καὶ μετουσίᾳ, κατὰ σάρκα μόνον τὴν ἐκ Μαρίας ἄνθρωπος, κατὰ δὲ Πνεῦμα ὁ αὐτὸς Υἱὸς Θεοῦ καὶ Θεός, παθὼν μὲν τὰ ἡμέτερα πάθη κατὰ σάρκα, ὡς γέγραπται· «Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί»[85]· καὶ πάλιν· «ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν»[86]. **252** Ἀπαθὴς δὲ διαμείνας καὶ ἀναλλοίωτος κατὰ τὴν θεότητα, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ Προφήτου· «ἐγὼ Θεὸς καὶ οὐκ ἠλλοίωμαι»[87]. Ἀποθανὼν μὲν τὸν ἡμέτερον θάνατον κατὰ σάρκα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα τὸν θάνατον ἀνέλῃ διὰ τοῦ ὑπὲρ ἡμῶν θανάτου, κατὰ τὸν λέγοντα Ἀπόστολον· «κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ σου θάνατε τὸ νῖκος; ποῦ σου ᾅδη τὸ κέντρον;»[88] καὶ πάλιν· «Χρι-

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 250-253.
82. Γαλ. 4,4. 83. Λουκ. 1,34. 84. Λουκ. 1,35. 85. Α' Πετρ. 4,1. 86. Ρωμ. 8,32. 87. Μαλ. 3,6. 88. Α' Κορ. 15,55.

στὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς»[89]. Ἀθάνατος δὲ καὶ ἀκράτητος τῷ θανάτῳ διαμείνας διὰ τὴν θεότητα, ὡς ἀπαθὴς τοῦ Πατρὸς δύναμις, κατὰ τὸν λέγοντα Πέτρον· «οὐ γὰρ ἦν», φησί, «δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ θανάτου»[90]. Ἀνελθὼν εἰς οὐρανοὺς καὶ καθήμενος ἐκ δεξιῶν τοῦ Πατρὸς κατὰ τὴν ἀπὸ γῆς [εἰς οὐρανοὺς] ὑψουμένην σάρκα τοῦ Λόγου, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ Δαβίδ· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου»[91] καὶ ὑπ' αὐτοῦ τοῦ Κυρίου βεβαιούμενον καὶ τῶν Ἀποστόλων· κατὰ δὲ τὴν θεότητα ἀπερίληπτος πάντα τόπον περιέχων μετὰ τοῦ Πατρὸς ἐξ ἀιδίου ὡς πατρικὴ καὶ ἄρρητος δύναμις, κατὰ τὸν διδάσκοντα Παῦλον· «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[92]· ἐρχόμενος ὁ αὐτὸς Υἱὸς Θεοῦ καὶ Θεός, ὡς ἐπηγγείλατο, «κρῖναι ζῶντας καὶ νεκρούς»[93], ὥς φησιν ὁ Ἀπόστολος τοῦ κρίνοντος τὰ κρυπτὰ **253** τοῦ σκότους καὶ φανεροῦντος τὰ κρυπτὰ τῶν καρδιῶν καὶ τὸν ἔπαινον καὶ τὴν μέμψιν κατ' ἀξίαν φέροντος ἑκάστῳ[94].

3 Εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν θείων Γραφῶν διδάσκει, ἕτερον λέγων τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἕτερον τὸν ἐκ Μαρίας ἄνθρωπον, κατὰ χάριν υἱοποιηθέντα ὡς ἡμεῖς· ὡς εἶναι δύο υἱούς, ἕνα κατὰ φύσιν Υἱὸν Θεοῦ, τὸν ἐκ Θεοῦ, καὶ ἕνα κατὰ χάριν, τὸν ἐκ Μαρίας ἄνθρωπον· ἢ εἴ τις τὴν τοῦ Κυρίου ἡμῶν σάρκα ἄνωθεν λέγει καὶ μὴ ἐκ τῆς παρθένου Μαρίας ἢ τραπεῖσαν τὴν θεότητα εἰς σάρκα ἢ συγχυθεῖσαν ἢ ἀλλοιωθεῖσαν, ἢ παθητὴν τὴν τοῦ Υἱοῦ θεότητα ἢ ἀπροσκύνητον τὴν τοῦ Κυρίου ἡμῶν σάρκα ὡς ἀνθρώπου, καὶ μὴ προσκυνητὴν ὡς Κυρίου καὶ Θεοῦ σάρκα, τοῦτον ἀναθεματίζει ἡ καθολικὴ Ἐκκλησία πειθομένη τῷ [θείῳ] Ἀποστόλῳ λέγοντι· «εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω»[95].

89. Α' Κορ. 15,3. 90. Πράξ. 2,24. 91. Ψαλ. 109,1. Ματθ. 22,44. 92. Α' Κορ. 1,24. 93. Β' Τιμ. 4,1. 94. Πρβλ. Α' Κορ. 4,5. 95. Γαλ. 1,9.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΧΡΙΣΤΩ ΕΝΟΤΗΤΟΣ ΤΟΥ ΣΩΜΑΤΟΣ ΠΡΟΣ ΤΗΝ ΘΕΟΤΗΤΑ*

185 Ἅγιον ἐξ ἀρχῆς γέννημα καλῶς ὁμολογεῖται καὶ κατὰ τὸ σῶμα ὁ Κύριος, καὶ κατὰ τοῦτο διαλλάττει παντὸς σώματος· οὐδὲ γὰρ ὅλως ἐν μήτρᾳ συνελήφθη χωρὶς θεότητος, ἀλλ' ἡνωμένος πρὸς ταύτην, ὡς ὁ ἄγγελός φησιν· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ»[96], καὶ ἦν οὐρανία κάθοδος, οὐ μόνον γέννησις ἡ ἐκ γυναικός. Εἴρηται γὰρ οὐ μόνον τὸ «γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ **186** νόμον»[97], ἀλλὰ καὶ «οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου»[98]. 2 καὶ οὐκ ἔστιν ἰδίως κτίσμα τὸ σῶμα εἰπεῖν, ἀχώριστον ὂν ἐκείνου πάντως οὗ σῶμά ἐστιν, ἀλλὰ τῆς τοῦ ἀκτίστου κεκοινώνηκεν ἐπωνυμίας καὶ τῆς τοῦ Θεοῦ κλήσεως, ὅτι πρὸς ἑνότητα Θεῷ συνῆπται, καθὰ λέγεται ὅτι «ὁ λόγος σὰρξ ἐγένετο»[99] καὶ παρὰ τῷ Ἀποστόλῳ «ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν»[100]. 3 Δεῖ δὲ ἡμᾶς, ὥσπερ τὰ ἔνδοξα τῷ σώματι προσάπτομεν ἐκ τῆς θείας συλλήψεως καὶ τῆς πρὸς Θεὸν ἑνότητος, οὕτω καὶ τὰ ἄδοξα τὰ ἀπὸ τοῦ σώματος μὴ ἀρνεῖσθαι, ἅπερ ἐστὶ τὸ «γενέσθαι ἐκ γυναικὸς»[101] κατὰ τὸν Ἀπόστολον, καὶ τὸ «πλασθῆναι ἐκ κοιλίας δοῦλον Θεῷ»[102] κατὰ τὸν προφήτην, τὸ ὅλως ἄνθρωπον ὀνομάζεσθαι καὶ Υἱὸν ἀνθρώπου, τὸ ἀριθμεῖσθαι μετὰ Ἀβραὰμ πολλὰς γενεὰς μεθ' ἃς γέγονεν ἄνθρωπος. 4 Ἀνθρωπίνως μέντοι καὶ λέγειν καὶ ἀκούειν χρή, ὥσπερ, ὅτε ὅλον ἄνθρωπος καλεῖται, μή τις ἀρνήσηται τὴν θείαν οὐσίαν, τὴν τῷ ὀνόματι μετὰ τοῦ σώματος δηλουμένην, καὶ ὅτε δοῦλος κατὰ τὸ σῶμα ὀνομάζεται, μή τις ἀρνήσηται τὴν κυριευτικὴν φύσιν, δουλείας ὀνόματι μετὰ τοῦ σώματος δηλουμένην, καὶ πάλιν, ὅτε καταβεβηκὼς ἐξ οὐρανοῦ

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 185-193.
96. Λουκ. 1,35. 97. Γαλ. 4,4. 98. Ἰω. 3,13. 99. Ἰω. 1,14. 100. Α' Κορ. 15,45. 101. Πρβλ. Γαλ. 4,4. 102. Πρβλ. Ἡσ. 49,5.

κηρύσσεται ἄνθρωπος **187** ἐπουράνιος[103], μή τις ἀρνήσηται τὴν τοῦ σώματος ἀπὸ γῆς πρὸς θεότητα συμπλοκήν. Οὐ διατέμνεται μὲν γὰρ οὐδὲ πράγματι οὐδὲ ὀνόματι, ὅτε δοῦλος ὁ Κύριος καλεῖται καὶ ὅτε πλαστὸς ὁ ἄκτιστος ὀνομάζεται τῇ συναφείᾳ τῇ πρὸς τὴν τοῦ δούλου μορφὴν καὶ πρὸς τὸ πλασσόμενον σῶμα. 5 Ὁμολογεῖται δὲ ἐν αὐτῷ τὸ μὲν εἶναι κτιστὸν ἐν ἑνότητι τοῦ ἀκτίστου, τὸ δὲ ἄκτιστον ἐν συγκράσει τοῦ κτιστοῦ, φύσεως μιᾶς ἐξ ἑκατέρου μέρους συνισταμένης, μερικὴν ἐνέργειαν καὶ τοῦ Λόγου συντελέσαντος εἰς τὸ ὅλον μετὰ τῆς θεϊκῆς τελειότητος, ὅπερ ⟨καὶ⟩ ἐπὶ τοῦ κοινοῦ ἀνθρώπου ἐκ δύο μερῶν ἀτελῶν γίνεται, φύσιν μίαν πληρούντων καὶ ἑνὶ ὀνόματι δηλουμένων, ἐπεὶ καὶ σὰρξ τὸ ὅλον καλεῖται, μὴ περιαιρουμένης ἐν τούτῳ τῆς ψυχῆς, καὶ ψυχὴ τὸ ὅλον προσαγορεύεται, οὐ περιαιρουμένου τοῦ σώματος, εἰ καὶ ἕτερόν τι ἐστὶ παρὰ τὴν ψυχήν. 6 Ὁ Θεὸς οὖν ὁ ἐνανθρωπήσας, ὁ Κύριος καὶ προὔχων τῆς γεννήσεως, εἰ καὶ γεγέννηται ἀπὸ γυναικός, Κύριος ὤν, εἰ καὶ μεμόρφωται κατὰ τοὺς δούλους, πνεῦμα ὤν, εἰ καὶ σὰρξ κατὰ τὴν ἕνωσιν τῆς σαρκὸς ἀποδέδεικται, οὐκ ἄνθρωπος ὢν κατὰ τὸν Ἀπόστολον, εἰ καὶ ἄνθρωπος ὑπὸ τοῦ αὐτοῦ κηρύσσεται, καὶ (τὸ ὅλον εἰπεῖν) ἀόρατος Θεὸς ὁρατῷ σώματι μεταμορφούμενος, ἄκτιστος Θεὸς κτιστῇ περιβολῇ φανερού**188**μενος, κενώσας μὲν ἑαυτὸν κατὰ τὴν μόρφωσιν ⟨δούλου⟩[104], ἀκένωτος δὲ καὶ ἀναλλοίωτος καὶ ἀνελάττωτος κατὰ τὴν θείαν οὐσίαν (οὐδεμία γὰρ ἀλλοίωσις περὶ τὴν θείαν φύσιν) οὐδὲ ἐλαττοῦται οὐδὲ αὐξάνεται. 7 Καὶ ὅτε λέγει ὅτι «δόξασόν με», ἀπὸ σώματος ἡ φωνὴ καὶ περὶ σῶμα ὁ δοξασμός, ἐπὶ τοῦ ὅλου λεγόμενος, διότι τὸ ὅλον ἐστὶν ἕν. Καὶ πάλιν ἐπάγων «τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί»[105], τὴν ἔνδοξον ἀεὶ θεότητα δηλοῖ, εἰ καὶ ἰδίως θεότητι προσήκει τοῦτο, καίτοι κοινῶς ἐπὶ τοῦ ὅλου ῥηθέν. 8 Οὕτως καὶ Θεῷ ὁμοούσιος κατὰ τὸ πνεῦμα τὸ ἀόρατον, συμπεριλαμβανομένης τῷ ὀνόματι καὶ τῆς σαρκός, ὅτι πρὸς τὸν Θεῷ ὁμοούσιον ἥνωται, καὶ πάλιν ἀνθρώποις ὁμοούσιος, συμπεριλαμβανομένης καὶ τῆς θεότητος τῷ σώματι, ὅτι πρὸς τὸ ἡμῖν ὁμοούσιον ἠνώθη, οὐκ ἀλλαττομένης τῆς τοῦ σώματος φύ-

103. Πρβλ. Α' Κορ. 15,48. 104. Πρβλ. Φιλιπ. 2,7. 105. Ἰω. 17,5.

σεως ἐν τῇ πρὸς τὸν Θεῷ ὁμοούσιον ἑνώσει καὶ τῇ κοινωνίᾳ τοῦ ὁμοουσίου ὀνόματος, ὥσπερ οὐδὲ ἡ τῆς θεότητος ἤλλακται φύσις ἐν τῇ κοινωνίᾳ τοῦ ἀνθρωπείου σώματος καὶ τῇ ὀνομασίᾳ τῆς ἡμῖν ὁμοουσίου σαρκός.

9 Καὶ γὰρ ὁ Παῦλος λέγων «τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα»[106], τὸν Υἱὸν εἶπεν τοῦ Θεοῦ τὴν γέν**189**νησιν ταύτην ἀναδεδέχθαι καὶ οὐχὶ τὴν σάρκα χωρὶς ὀνομάσας εἴρηκεν. Ἡ σὰρξ ἐγένετο ἐκ σπέρματος Δαβίδ. Καὶ ὅτε λέγει «τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»[107], οὐ χωρίσας εἶπεν Οὗ ἡ θεότης ἐν μορφῇ Θεοῦ † λέγει οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, καίτοι ἡ θεότης οὔτε Ἰησοῦς ὠνόμασται πρὸ τῆς ἐκ Παρθένου γεννήσεως οὔτε τὴν ἐν Ἁγίῳ Πνεύματι χρῖσιν ἔσχηκεν, ὅτι δοτὴρ τοῦ πνεύματος ὁ τοῦ Θεοῦ Λόγος, οὐχ ἁγιαζόμενος ἐν Πνεύματι. 10 Καὶ λέγει· «ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ»[108], οὐ χωρίζων καὶ λέγων Ἁγιάζω τὴν σάρκα, ἀλλὰ συναπτων καὶ λέγων Ἁγιάζω ἐμαυτόν, καίτοι τῷ σκοποῦντι μετὰ ἀκριβείας οὐ δυνατὸν αὐτὸν ὑφ' ἑαυτοῦ ἁγιάζεσθαι. Εἰ γὰρ ὅλος ἁγιάζει, τί τὸ ἁγιαζόμενον; εἰ ὁ σύμπας ἁγιάζεται, τί τὸ ἁγιάζον; ἀλλ' ὅμως φυλάττων τὸ ἓν πρόσωπον καὶ τὴν ἀμέριστον ἑνὸς ζῴου δήλωσιν τό τε ἁγιάζειν καὶ τὸ ἁγιάζεσθαι καθ' ὅλου τέθεικεν, ἵν' ἀκριβὲς ἡμῖν ᾖ καὶ σαφές, ὅτι οὐ κατὰ τὸν προφητικὸν οὐδὲ κατὰ τὸν ἀποστολικὸν τρόπον ἄλλος ἄλλον ἁγιάζει, καθάπερ τὸ Πνεῦμα τοὺς προφήτας καὶ τοὺς Ἀποστόλους, ὥσπερ ὁ Παῦλός φησι περὶ τῆς **190** πάσης Ἐκκλησίας «κλητοῖς ἁγίοις καὶ ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ»[109] καὶ αὐτὸς ὁ Σωτὴρ περὶ τῶν Ἀποστόλων «ἁγίασον αὐτοὺς ἐν ἀληθείᾳ»[110]. 11 Ὅλη γὰρ ἡ ἀνθρωπίνη φύσις ἐν τῷ ἁγιάζεσθαι καὶ οὐκ ἐν τῷ ἁγιάζειν. Καὶ τὸ ἀγγελικὸν τάγμα ὡσαύτως καὶ πᾶσα ἡ κτίσις ἁγιαζομένη ἐστὶ καὶ φωτιζομένη, ἁγιάζον δὲ τὸ Πνεῦμα καὶ φωτίζον. Ἁγιάζων [δὲ] ὁ Λόγος διὰ τοῦ Πνεύματος καὶ φωτίζων, ἁγιαζόμενος δὲ οὐδαμῶς, κτίστης γὰρ καὶ οὐ κτίσμα. Ἀλ-

106. Ρωμ. 1,3. 107. Φιλιπ. 2,5-6. 108. Ἰω. 17,19. 109. Α' Κορ. 1,2. 110. Ἰω. 17,17.

λὰ ἐνταῦθα τὸ ἁγιάζεσθαι, ἔνθα καὶ τὸ σεσωματῶσθαι, καὶ διήρηται μὲν τὰ πράγματα, ἥνωται δὲ κατὰ τὴν τῆς σαρκὸς πρὸς θεότητα ἕνωσιν, ὥστε μὴ διαστέλλεσθαι ἕτερον τὸν ἁγιάζοντα καὶ ἕτερον τὸν ἁγιαζόμενον, καὶ αὕτη δὲ ὅλως ἡ σάρκωσίς ἐστιν ἁγιασμός. 12 Ὁ γὰρ Σωτὴρ πρὸς τοὺς λέγοντας «σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν»[111] ἀποδέδωκεν τῆς ἰδίας ἀνθρωπότητος τὸν Λόγον λέγων· «ὃν ὁ Πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέγετε ὅτι βλασφημεῖς ὅτι εἶπον Υἱὸς τοῦ Θεοῦ εἰμι»;[112] τίνα λέγων ἐνταῦθα ἁγιασμὸν ἢ τὸν τῆς σαρκὸς ὑπὸ τῆς θεότητος; οὕτω γὰρ ἔζησεν τὸ σῶμα θεότητος ἁγιασμῷ καὶ οὐκ ἀνθρωπίνης ψυχῆς κατασκευῇ καὶ ὅλως τὸ ὅλον ἐν συναφείᾳ. Καὶ ἐνταῦθα «ὃν ὁ πατήρ», φησίν, «ἡγίασεν καὶ ἀπέστειλεν»[113] τὸ ἁγιάζον ἅμα καὶ τὸ ἁγιαζόμενον ἁγιάζεσθαι λέγει, τῷ ἁγιαζομένῳ **191** συνάψας τὸ ἁγιάζον. 13 Καὶ ἑρμηνεύει γε ἀλλαχοῦ τὸν ἁγιασμὸν τοῦτον ὅτι γέννησις ἦν ἡ ἐκ Παρθένου. «Ἐγὼ γὰρ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ»[114], ἐκ θελήματος μὲν γὰρ σαρκὸς καὶ ἐκ θελήματος ἀνδρὸς[115] ὁ κοινὸς ἄνθρωπος ψυχοῦται καὶ ζῇ, τῆς ἐκπεμπομένης σπερματικῆς ὕλης ἐπιφερούσης τὴν ζωοποιὸν δύναμιν εἰς τὴν ὑποδεχομένην μήτραν· ἐκ δὲ Πνεύματος ἐφόδου καὶ δυνάμεως ἐπισκιασμοῦ τὸ ἅγιον ἐκ τῆς Παρθένου συνίσταται βρέφος, οὐ σπερματικῆς ὕλης ἐργαζομένης τὴν θείαν ζωήν, ἀλλὰ πνευματικῆς καὶ θεϊκῆς δυνάμεως ἐνδιδούσης τῇ Παρθένῳ τὴν θείαν κύησιν καὶ χαριζομένης τὸν θεῖον τοκετόν.

14 Οὕτω δὴ κατὰ τὸν τῆς ἑνότητος τρόπον καὶ τὸ ὑψοῦσθαι Χριστὸν καὶ τὸ χαρισθῆναι αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα[116], καίτοι τῆς ὑψώσεως ἰδίως οὔσης ἐπὶ τῆς κάτωθεν ἀναβαινούσης σαρκός· ἀλλ' ὅτι οὐκ ἰδιαζόντως ἀναβαίνει, διὰ τοῦτο κοινῶς ὀνομάζεται τὸ ὅλον ὑψούμενον, καὶ τὸ κεχαρίσθαι δὲ αὐτῷ περὶ τὴν ἐξ ἀδοξίας δοξαζομένην σάρκα συνίσταται. Οὐ γὰρ τῷ ἀεὶ τὴν δόξαν ἔχοντι Λόγῳ προστίθεται δόξα διὰ χάριτος· ὅπερ γὰρ ὑπῆρχεν καὶ μεμένηκεν, ἐν μορφῇ Θεοῦ ὑπῆρχεν καὶ ἦν ἴσος Θεῷ. 5 Ἴσον εἶναι Θεῷ καὶ ἐν τῇ σαρκὶ λέγει, κατὰ τὸν Ἰωάννην, πατέρα ἴδιον **192** αὐτοῦ λέγων εἶναι τὸν Θεὸν καὶ ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ[117]· Οὐκ ἄρα μετέπεσεν ἡ πρὸς Θεὸν ἰσότης, ἀλλ' ἀναλλοίωτος ἡ θεότης ἔμεινεν ἐν ταὐτότητι. Ἃ δὲ ἔχει, λαμβάνειν οὐ δυνατόν, ὥσπερ τῆς σαρκὸς ὅπερ οὐκ ἔχει λαμβανούσης (τὸ ἀπαθὲς ἐκ τῶν παθημάτων, τὸ οὐράνιον ἐκ τῆς κατὰ γῆν διατριβῆς, τὸ βασιλικὸν ἐκ τῆς ὑπ' ἀνθρώποις δουλείας, τὸ προσκυνεῖσθαι ὑπὸ πάσης τῆς κτίσεως ἐκ τοῦ προσκυνεῖν) ἐπὶ τοῦ ὅλου λέγεται τὸ κεχαρίσθαι αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα[118]. 16 Καὶ εἴ τις χωρίζειν τολμᾷ τὸ τῆς χάριτος ῥῆμα καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, οὐδέτερον οἰκείως λεχθήσεται. Εἰ γὰρ τῷ Λόγῳ κεχάρισται ὡς οὐκ ἔχοντι, οὐδέποτε διὰ χάριτος δίδοται τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Καὶ εἰ οὐκ ἀπὸ δόσεως ἀλλ' ἀπὸ φύσεως ἔχει τοῦτο (ὥσπερ ἔχει κατὰ θεότητα), οὐ δυνατόν ἐστι τοῦτο δοθῆναι αὐτῷ. 17 Ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθ' ὅλου καὶ τὸ θεϊκὸν καθ' ὅλου λέγεται καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόροις εἰδέναι, τί τὸ ἴδιον ἑκατέρου, ἐναντιώμασιν ἀσυμφώνως περιπεσεῖται, ὁ δὲ καὶ τὰ ἴδια γινώσκων καὶ τὴν ἕνωσιν φυλάσσων οὔτε τὴν φύσιν ψεύσεται οὔτε τὴν ἕνωσιν ἀγνοήσει.

111. Ἰω. 10,33. 112. Ἰω. 10,36. 113. Ἔνθ' ἀν. 114. Ἰων. 18,37. 115. Πρβλ. Ἰω. 1,13. 116. Πρβλ. Φιλιπ. 2,9.

ΛΟΓΟΣ ΠΕΡΙ ΠΙΣΤΕΩΣ, ΔΗΛ. ΠΕΡΙ ΤΗΣ ΣΑΡΚΩΣΕΩΣ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ, ΠΑΡΑ ΤΩ ΙΟΥΛΙΩ ΡΩΜΗΣ*

193. 1. Μεγάλων μυστικῶν μᾶς ἠξίωσε Χριστὸς ὁ Κύριός μας, ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ· μεγάλων, τὰ ὁποῖα οὐδεὶς ἄνθρωπος γνωρίζει νὰ διηγηθῇ, πῶς εἶναι αὐτά· μυστικῶν, τὰ ὁποῖα μόνον ἡ πίστις εἶναι εἰς θέσιν νὰ ἀντιληφθῇ. Ἦταν μεγάλα καὶ τέτοια, ὥστε δὲν εἴμεθα ἄξιοι αὐτῶν, ἀλλὰ ἦταν καθ' ἑαυτὰ ἄξια ὥστε νὰ μᾶς δοθοῦν[119]. Γιατὶ ἂν παρατηρήσῃ. κάποιος τὴν ἔλλειψιν τῆς πίστεώς μας, τότε δὲν θὰ εἴμεθα μόνον

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 193-203. Αἱ παράγραφοι 1,2,8 καὶ 9 εἶναι μετάφρασις ἐκ τῆς Συριακῆς εἰς τὴν Γερμανικὴν καὶ ἐξ αὐτῆς εἰς τὴν Ἑλληνικήν. Ἡ μετάφρασις εἶναι τοῦ Ἀποστόλου Νικολαΐδη.

117. Πρβλ.Ἰω. 5,18. 118. Πρβλ.Φιλιπ. 2,9. 119. Πρβλ. Ἑβρ. 11,38.

τῆς δωρεᾶς τῶν λαμπρῶν μυστικῶν ἀνάξιοι, ἀλλὰ θὰ εἴμεθα ἄξιοι τιμωρίας καὶ ἔνοχοι βασάνου. Ἐπειδὴ ὅμως Ἐκεῖνος εἶναι ἀγαθὸς καὶ Υἱὸς (διάβασε: Δημιουργὸς) τοῦ ἀγαθοῦ, δὲν μᾶς ἠλευθέρωσε μόνον ἀπὸ τὴν τιμωρίαν, ἀλλὰ μᾶς ἔδωσε καὶ ζωὴν αἰώνιον[120], ἡ ὁποία εἶναι πολυτιμωτέρα καὶ λαμπροτέρα ἀπὸ ὅ,τι αὐτὸ τὸ πρῶτον, καὶ μᾶς ἐπέτρεψε νὰ εἰσέλθωμεν εἰς ἕνα ἄλλον κόσμον καὶ μᾶς ἔπλασεν εἰς μίαν ἄλλην δημιουργίαν.

2. Αὐτός, λοιπόν, ὁ ὁποῖος εἶναι ἐν Χριστῷ, αὐτὸς εἶναι καινὴ κτίσις[121]: τί εἶναι ἡ καινὴ κτίσις, ἂν δὲν εἶναι τὸ γεγονός, ὅτι μᾶς ἀνέβασεν εἰς τὸν οὐρανόν; Εἰς αὐτὰ τὰ πρῶτα (πράγματα) ὅμως δὲν εὑρέθημεν (ἤδη) ὡς πιστοί, καὶ Ἐκεῖνος (παρόλα αὐτὰ) ἔβαλεν εἰς χεῖρας μας μεγαλύτερα ἀπὸ ἐκεῖνα. Πρὸ ἑνὸς μοναδικοῦ δένδρου δὲν κατωρθώσαμεν νὰ προφυλάξωμεν τὴν ψυχήν μας, καὶ βλέπε, Ἐκεῖνος μᾶς ἔδωσεν αἰώνιον ἀγαλλίασιν. Εἰς τὸν Παράδεισον δὲν ἐκυριαρχήσαμεν εἰς τὸν ἑαυτό μας, καὶ μᾶς ἤνοιξεν Ἐκεῖνος τὸν οὐρανόν, καὶ μᾶς ἔδωσε τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ κάτι τὸ ὁποῖον εἶναι ὑπεράνω ὅλων αὐτῶν· Ἐκεῖνος ἦλθε πρὸς ἡμᾶς, ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον[122], ὁ Κύριος πρὸς τοὺς δούλους του, ὁ πλούσιος πρὸς τοὺς πτωχούς, ὁ ζῶν καὶ ὁ Ζωοδότης πρὸς τὸν οἶκον τῶν νεκρῶν[123], πρὸς ἐκείνους, οἱ ὁποῖοι εἶχον ὑποτάξει ὁλόκληρον τὴν ζωήν των εἰς τὴν δουλείαν τοῦ θανάτου[124]· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ μᾶς ἔδωσε τὸ σῶμα καὶ τὸ αἷμά Του[125].

194. 3 Μηδεὶς κατευτελιζέτω τὴν δεσποτικὴν καὶ σωτήριον σάρκα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προφάσει τοῦ ὁμοουσίου. Οὔτε γὰρ ἡμεῖς οὔτε ἡ ἡμετέρα σύνοδος οὔτε τις τῶν ἀνθρώπινον λογισμὸν ἐχόντων σῶμα καθ' ἑαυτὸ ὁμοούσιον λέγει ἢ φρονεῖ, ἀλλ' οὐδὲ ἐξ οὐρανοῦ τὴν σάρκα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγομεν, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου Μαρίας ὁμολογοῦμεν σεσαρκῶσθαι τὸν Θεὸν Λόγον καὶ οὐ διαιροῦμεν αὐτὸν ἀπὸ τῆς αὐτοῦ σαρκός, ἀλλ' ἔστιν ἓν πρόσωπον, μία ὑπόστασις, ὅλος ἄνθρωπος, ὅλος Θεός. 4 Εἰ οὖν **195** καθ' ὁμοιότητα τοῦ ἀνθρώπου πιστεύομεν ἐληλυθέναι τὸν Δεσπότην ἡμῶν

120. Πρβλ. Ἰω. 3,15. 121. Πρβλ. Γαλ. 6,15. 122. Πρβλ. Ἰω. 1,14. Γαλ. 4,4. 123. Πρβλ. Ἐφ. 2,4-6. 124. Πρβλ. Ρωμ. 5,17. 125. Πρβλ. Ματθ. 26,27-29. Μάρκ. 14,23-25. Λουκ. 22,19-21.

Ἰησοῦν Χριστόν, ἐξ αὐτῆς τῆς παρθενικῆς συλλήψεως, καθ' ἣν καὶ Θεοτόκος ἀποδέδεικται ἡ Παρθένος (καὶ τοῦτό ἐστι τὸ μυστήριον τῆς σωτηρίας ἡμῶν, τὸ σαρκωθῆναι τὸν τοῦ Θεοῦ Λόγον), ἀχώριστός ἐστι καὶ ἀμέριστος τῆς ἑαυτοῦ σαρκός, καὶ [κατὰ τὴν πρὸς Θεὸν Λόγον ἕνωσιν] τῆς κατὰ φύσιν ὁμοουσιότητος τοῦ Λόγου τῆς πρὸς τὸν Πατέρα ἐπικοινωνεῖ τῷ ὀνόματι ἡ σὰρξ αὐτοῦ, οὗ καὶ σάρξ ἐστιν, εἴγε ἀληθῶς σάρκα ὁμολογοῦμεν γεγενῆσθαι τοῦ Θεοῦ Λόγον· εἰ δὲ μὴ ἐπικοινωνεῖ, πάντη ἀπηλλοτρίωται. Οὔτε γὰρ σωτηρία ἐκ τῆς σαρκώσεως ἐπηκολούθει τοῖς πιστοῖς, ἐκτὸς τῆς θείας Τριάδος ὑπαρχούσης. 5 Οὐδὲν γὰρ προσκυνητὸν οὐδὲ σωτήριον ἐκτὸς τῆς θείας Τριάδος, ἀλλὰ πε**196**ριττή τις καὶ ἄκαιρος αὐτοῖς ἀποδειχθήσεται ἡ σάρκωσις, ψεῦδος δὲ εὑρεθήσεται κατ' αὐτοὺς καὶ τὰ τῶν θείων Γραφῶν, οἷον τὸ «ὁ Λόγος σὰρξ ἐγένετο»[126] καὶ τὸ «ἐτέχθη ἡμῖν σήμερον Σωτὴρ Χριστὸς Κύριος ἐν πόλει Δαβίδ»[127]· ψεῦδος δὲ καὶ τὸ «Θεὸς ἰσχυρὸς» καὶ τὸ «παιδίον»[128] καὶ πάντα τὰ τούτοις ὅμοια, ἀλλ' οὐδὲ Θεοτόκος ἡ παρθένος ἔτι πιστευθήσεται, ὅπερ ἀθέμιτον καὶ ἀσεβὲς τὸ τοιοῦτον καὶ ἀλλότριον πάσης θεοσεβοῦς ψυχῆς· ἀνατραπήσεται γὰρ αὐτοῖς πᾶσα ἐλπὶς Χριστιανῶν καὶ αὐτὸς ὁ Χριστιανισμὸς εἰς οὐδὲν λογισθήσεται. Οὐδὲ γὰρ τὸ μέγα καὶ τίμιον δῶρον τῶν Χριστιανῶν, τὸ εἰς τὸν θάνατον τοῦ Χριστοῦ τελούμενον λουτρόν, θεῖόν τι **197** λογισθήσεται ἀλλὰ ἀνθρώπινον, εἴγε οὐδὲ ἐναρίθμιός ἐστι τῇ θείᾳ Τριάδι ἡ σάρκωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

6 Ἡμῖν δὲ ὁμολογητέον Υἱὸν Θεοῦ καὶ ἀληθινὸν τὸν πρὸ αἰῶνος, τὸν ὁμοούσιον τῷ Πατρὶ Χριστὸν Ἰησοῦν, τὸν Κύριον ἡμῶν, ὃν ἡ Παρθένος ἐγέννησε Σωτῆρα καὶ Λυτρωτήν. Καὶ τούτῳ τὴν προσκύνησιν ὀφειλόντως προσφέρομεν καὶ οὐκ ἀφορίζεται τῆς προσκυνήσεως ἡ σὰρξ αὐτοῦ. Ἀδύνατον γὰρ μὴ διοριζομένης τῆς θείας ζωῆς διορίζεσθαι τὰ τῆς προσκυνήσεως· οὗ γάρ τις τὴν σάρκα οὐ προσκυνεῖ, τοῦτον οὐ προσκυνεῖ· [οὐκοῦν ἐν τῇ ἑνώσει τοῦ Λόγου πρὸς τὴν ἔμψυχον καὶ λογικὴν αὐτοῦ σάρκα ὡς ἑνὶ Υἱῷ μία καὶ προσκύνησις προσφέρεται **198** παρ' ἡμῶν] ὡς ὁ εὐαγγελιστὴς μίαν ζωὴν τοῦ Λόγου καὶ τῆς

126. Ἰω. 1,14. 127. Λουκ. 2,11. 128. Ἡσ. 9,5.

σαρκὸς εὐαγγελιζόμενος «ὁ Λόγος» φησὶ «σὰρξ ἐγένετο»[129]. Οὐκοῦν εἰ σὰρξ ὁ Λόγος γέγονεν, τὸν Λόγον προσκυνῶν τις τὴν σάρκα προσκυνεῖ καὶ τὴν σάρκα προσκυνῶν τις τὴν θεότητα προσκυνεῖ καὶ οἱ προσκυνοῦντες τὸν Χριστὸν Ἰησοῦν Ἀπόστολοι τῷ σώματι προσκυνοῦντες τὸν Θεὸν Λόγον προσεκύνουν. Καὶ ἄγγελοι δὲ αὐτῷ διηκόνουν ὡς ἂν ἰδίῳ δεσπότῃ τῷ σώματι προσιόντες, καὶ ἡ Παρθένος ἀπ' ἀρχῆς σάρκα τεκοῦσα τὸν Λόγον ἔτικτεν καὶ ἦν Θεοτόκος, καὶ Ἰουδαῖοι τὸ σῶμα σταυρώσαντες τὸν Θεὸν ἐσταύρωσαν, καὶ οὐδεμία διαίρεσις τοῦ Λόγου καὶ τῆς σαρκὸς αὐτοῦ ἐν ταῖς θείαις προ**199**φέρεται Γραφαῖς, ἀλλ' ἔστι μία φύσις, μία ὑπόστασις, μία ἐνέργεια, ἓν πρόσωπον, ὅλος Θεός, ὅλος ἄνθρωπος ὁ αὐτός.

7 Οὐσία γὰρ αὐτοῦ κατὰ μὲν τὸ ἀόρατον ἡ θεότης, κατὰ δὲ τὸ ὁρατὸν ἡ σάρξ. Οὔτε οὖν ἠλλοτρίωται οὔτε μεμέρισται τῆς θείας Τριάδος ἡ σάρκωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ γὰρ ἐν τῇ τῆς Τριάδος ἐξαριθμήσει ἔφη τὸ Βάπτισμα τὸ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ σαρκὸς ἀνάστασιν διδόμενον, ὅπερ ἐστὶ θεότητος ἔργον καὶ οὐ κτιστῆς φύσεως. Ἓν γὰρ καὶ ταὐτὸν τὸ σῶμα καὶ ὁ Θεός, οὗ τὸ σῶμα, οὐ μεταβληθείσης τῆς σαρκὸς εἰς τὸ ἀσώματον, ἀλλ' ἐχούσης καὶ τὸ ἴδιον τὸν ἐξ ἡμῶν κατὰ τὴν ἐκ Παρθένου γέννησιν καὶ τὸ ὑπὲρ ἡμᾶς κατὰ τὴν τοῦ Θεοῦ Λόγου [σύγκρασιν ἤτοι] ἕνωσιν.

200 8 Θέλομεν λοιπὸν νὰ πιστεύωμεν καὶ νὰ μὴ ἀμφιβάλλωμε, ἀγαπητοί μου, εἰς τὴν ἕλευσιν τοῦ Θεοῦ Λόγου, καὶ νὰ μὴ μεταβαλλώμεθα. Αὐτὸς δηλ., ὁ ὁποῖος ὁμολογεῖ μὲ τὸ στόμα του τὴν ἕλευσιν τοῦ Θεοῦ, ἀλλὰ νομίζει εἰς τὴν σκέψιν του, ὅτι Ἐκεῖνος ἦτο ἕνας ἄνθρωπος ὅπως ἡμεῖς, καὶ ὅτι ἦτο ἐκ γυναικός[130], καὶ λέγει, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ δὲν ἐγεννήθη ἐκ γυναικός, αὐτὸς εἶναι κατὰ τῶν πιστῶν καὶ ὑπολογίζεται μεταξὺ τῶν ἀπίστων. Εἰς ἡμᾶς ὅμως ἁρμόζει νὰ προστατεύωμεν τὰ ἀφορῶντα εἰς τὴν θεότητα σύμφωνα μὲ τὴν παράδοσιν τῶν ἁγίων Πατέρων μας. Καὶ δὲν λαμβάνομεν ὑπόψιν μας τὰς ἀνθρωπίνους φιλονικίας, διότι δὲν ἐγίναμεν πιστοὶ ἀπὸ τὰς φιλονικίας, ἀλλὰ μέσῳ τῶν θείων λόγων, οἱ ὁποῖοι ἦλθον πρὸς ἡμᾶς

129. Ἰω. 1,14. 130. Πρβλ. Γαλ. 4,4.

μέσῳ τῆς μαρτυρίας διὰ τῶν μακαριστῶν (ἁγίων) Ἀποστόλων, οἱ ὁποῖοι **201** ἦσαν αὐτόπται μάρτυτες τῆς λαμπρότητος τοῦ Κυρίου μας[131], ἡ ὁποία ἦτο ὑπεροχωτέρα τῆς ἀνθρωπίνης φύσεως, καὶ ἐπίσης μέσῳ τῆς μαρτυρίας, τὴν ὁποίαν ἤκουσαν ἐκεῖνοι ἀπὸ τὸν οὐρανὸν καὶ διεκήρυξαν εἰς τὸν κόσμον, (διὰ) τὸν Θεόν, ὅτι ἐσαρκώθη, καὶ (διὰ) τὸν Λόγον, ὅτι ἔγινε σάρξ[132], (διὰ) τὸ ζωοπάροχον Πνεῦμα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ὅτι Αὐτὸς ἦτο ἄνευ πατρὸς κατὰ τὴ γέννησίν Του ἐπὶ τῆς γῆς, ἐπειδὴ ἦτο Θεός, ὁ ὁποῖος κατῆλθεν ἀπὸ τὸν οὐρανόν, καὶ ὄχι ἄνθρωπος, ὁ ὁποῖος ἐκβλάστησεν ἀπὸ ἀνθρώπινον σπόρο[133]. Ὡνομάστηκε βεβαίως υἱὸς ἀνθρώπου, ἔδειξεν ὅμως τὴν θείαν του κυριότητα ὡς Θεός, καὶ μέσῳ τοῦ αἵματος τῆς ὑποστάσεώς του ἔσωσεν ὅλην τὴν κτίσιν, καὶ κυριαρχεῖ τῶν οὐρανίων καὶ τῶν ἐπιγείων[134]. Καὶ ἔχει Αὐτὸς ἕνα θρόνον ὑπὲρ τὸν οὐρανόν[135], καὶ προσκυνεῖται ὑπὸ τῶν Ἀγγέλων[136] καὶ δοξάζεται μετὰ τοῦ Ἁγίου Πνεύματος[137].

9 Ἂν ὅμως κάποιος πλανᾶται καὶ σκέπτεται διαφορετικὰ ἢ διδάσκει διαφορετικὰ ἀπὸ αὐτό, τὸ ὁποῖον ἐδίδαξαν οἱ Προφῆται καὶ οἱ Ἀπόστολοι καὶ οἱ ἅγιοι Πατέρες μας, οἱ ὁποῖοι συνῆλθον εἰς τὴν πόλιν τῆς Νικαίας ἀπὸ ὁλόκληρον τὸν κόσμον, αὐτοῦ ὁ κίνδυνος εἶναι μεγάλος, διότι Ἐκεῖνος εἶπε· «μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί»[138]. Σκανδαλίζεται ὅμως ἐξαιτίας τοῦ σώματος, καὶ ἐξαιτίας τοῦ πάσχοντος (μέρους)· ἀλλάζει αὐτὸς τὸν Σωτῆρά μας καὶ τὸν σκέπτεται ὡς ἄνθρωπον ἀντὶ ὡς Θεόν. Διότι αὐτὸς ὁ ὁποῖος ὀνομάζει ἄνθρωπον Ἐκεῖνον, ὁ ὁποῖος ἐγεννήθη ἐκ τῆς Μαρίας, καὶ ἄνθρωπον Ἐκεῖνον, ὁ ὁποῖος ἐσταυρώθη, αὐτὸς τὸν παρουσιάζει ὡς ἕνα ἄνθρωπο ἀντὶ ὡς ἕνα Θεόν. Καὶ ἕνας ἄνθρωπος δὲν ἠμπορεῖ νὰ χορηγήσῃ τὴν ζωήν, ἡ ὁποία δίδεται ἀπὸ τὸν Θεόν. Διότι ἦτο χορηγὸς τῆς ζωῆς Ἐκεῖνος, ὁ ὁποῖος ἐσαρκώθη ἐκ γυναικός, ἐπειδὴ αὐτὴ ἔδωσεν εἰς τὸν κόσμο τοὺς καρποὺς τοῦ θανάτου, καὶ ἐκ τοῦ ὅτι Ἐκεῖνος ἦτο ἄνθρωπος, ἔφερε πλησίον τῆς κοινωνίας τῆς

131. Πρβλ. Β' Πέτρ 1,16. 132. Πρβλ. Ἰω. 1,14. 133. Πρβλ. Λουκ. 1,35. 134. Πρβλ. Φιλιπ. 2,10. 135. Πρβλ. Ἐφ. 4,10. Ἑβρ. 7,26. 136. Πρβλ. Ματθ. 4,11. Ἑβρ.1,6. 137. Πρβλ. Ἰω. 16,14. 138. Ματθ. 11,6.

ζωῆς του τὸν ἄνθρωπον, καὶ μέσῳ τοῦ θανάτου του κατέλυσε τὴν ἐξουσίαν τοῦ θανάτου[139] καὶ μᾶς ἐπανέφερεν εἰς τὴν ζωὴν διὰ τῆς ἀναστάσεως ἐκ τῶν νεκρῶν[140]. Διὰ τοῦτο, ἂν ζωὴ καὶ λύτρωσις εἶναι (μία πρᾶξις) τοῦ Θεοῦ, τὸ ὅτι ἠλευθέρωσε τὸν κόσμον δὲν εἶναι πρᾶξις ἑνὸς ἄλλου. Ἑπομένως, ἐὰν χορηγῇ ζωὴν καὶ λύτρωσιν Ἐκεῖνος, ὁ ὁποῖος ἐγεννήθη καὶ ἐσταυρώθη, δὲν εἶναι ἕνας ἄνθρωπος, τὸν ὁποῖον ἐγέννησεν ἡ Μαρία, καὶ ἕνας ἄνθρωπος, τὸν ὁποῖον ἐσταύρωσαν οἱ Ἰουδαῖοι, Ἐκεῖνος, ὁ ὁποῖος ἐσαρκώθη χάριν τῆς σωτηρίας τοῦ ἀνθρώπου καὶ ἔγινεν ἄνθρωπος· εἰς τὸν Πατέρα τοῦ ὁποίου καὶ εἰς Ἐκεῖνον καὶ εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει δόξα καὶ εὐχαριστία καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τέλος (τοῦ λόγου περὶ τῆς ἐνανθρωπήσεως).

ΠΡΟΣ ΔΙΟΝΥΣΙΟΝ Α΄ *

256 Θαυμάζω πυνθανόμενος περί τινων ὁμολογούντων μὲν Θεὸν ἔνσαρκον τὸν Κύριον, περιπιπτόντων δὲ τῇ διαιρέσει τῇ κακῶς ὑπὸ τῶν παυλιανιζόντων εἰσαχθείσῃ. Ἐκεῖνοι μὲν γὰρ **257** Παύλῳ τῷ Σαμοσατεῖ δουλεύοντες ἄλλον μὲν τὸν ἐξ οὐρανοῦ λέγουσι, Θεὸν δ' ὁμολογοῦντες αὐτόν, ἄλλον δὲ τὸν ἐκ γῆς ἄνθρωπον, λέγοντες τὸν μὲν ἄκτιστον, τὸν δὲ κτιστόν, τὸν μὲν αἰώνιον, τὸν δὲ χθεσινόν, τὸν μὲν Δεσπότην, τὸν δὲ δοῦλον, ἀσεβοῦντες, ἄν τε προσκυνῶσιν, ὃν λέγουσι δοῦλον καὶ κτιστόν, ἄν τε μὴ προσκυνῶσι τὸν ἐξαγοράσαντα ἡμᾶς τῷ ἰδίῳ αἵματι[141]. 2 Οἱ δὲ τὸν ἐξ οὐρανοῦ Θεὸν ὁμολογοῦντες ἐκ τῆς Παρθένου σεσαρκῶσθαι καὶ ἕνα εἶναι μετὰ τῆς σαρκὸς μάτην ταράσσουσιν, εἰς τὰ ῥήματα τῆς ἐκείνων ἀσεβείας ἐκφερόμενοι. Λέγουσι γὰρ καὶ αὐτοί, ὡς ἀκούω, δύο φύσεις, καίτοι τοῦ Ἰωάννου σαφῶς ἕνα ἀποδείξαντος τὸν Κύριον ἐν τῷ λέγειν «ὁ Λόγος σὰρξ ἐγένετο»[142] καὶ τοῦ Παύλου ἐν τῷ λέγειν «εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[143]. Εἰ γὰρ «εἷς» ὁ ἐκ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 256-262.

139. Πρβλ. Ἑβρ. 2,14. 140. Πρβλ. Α΄ Πέτρ. 1,3. 141. Πρβλ. Γαλ. 3,13. 142. Ἰω. 1,14. 143. Α΄ Κορ. 8,6.

τῆς ἁγίας Παρθένου τεχθεὶς ὠνόμασται καὶ αὐτός ἐστι δι' οὗ τὰ πάντα γέγονε, μία φύσις ἐστίν, ἐπειδὴ πρόσωπον ἓν οὐκ ἔχον εἰς δύο διαίρεσιν, ἐπεὶ μηδὲ ἰδία φύσις τὸ σῶμα καὶ ἰδία φύσις ἡ θεότης κατὰ τὴν σάρκωσιν, ἀλλ' ὥσπερ ἄνθρωπος μία φύσις, οὕτω καὶ ὁ «ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος»[144] Χριστός. 3 Εἰ δὲ οὐκ ἐπιγιγνώσκουσιν τὸ καθ' ἕνωσιν ἕν, δύνανται καὶ εἰς πολλὰ μερίζειν τὸν ἕνα καὶ πολλὰς λέγειν φύσεις, ἐπειδὴ πολυειδὲς τὸ σῶμα ἐξ ὀστέων καὶ νεύρων καὶ φλεβῶν καὶ σαρκὸς καὶ δέρματος, ὀνύχων τε **258** καὶ τριχῶν, αἵματός τε καὶ πνεύματος, ἅπερ ἅπαντα διαφορὰν μὲν ἔχει πρὸς ἄλληλα, μία δὲ φύσις ἐστίν, ὥστε καὶ ἡ τῆς θεότητος ἀλήθεια μετὰ τοῦ σώματος ἓν ἐστι καὶ εἰς δύο φύσεις οὐ μερίζεται. 4 Οὔτε γὰρ οἷόν τε ἦν τὸ ὅλον Υἱὸν ἀνθρώπου καλεῖσθαι καταβεβηκότα ἐξ οὐρανοῦ καὶ Υἱὸν Θεοῦ γεννηθέντα ἐκ γυναικός, εἰ δύο φύσεων διαίρεσιν ἐπιδέχεται· ἀλλὰ τὸ μὲν καταβεβηκὸς ἐξ οὐρανοῦ ἐκαλεῖτο ἂν Υἱὸς Θεοῦ καὶ οὐχ Υἱὸς ἀνθρώπου, τὸ δὲ γεννηθὲν ἐκ γυναικὸς ἐκαλεῖτο ἂν υἱὸς ἀνθρώπου καὶ οὐχ Υἱὸς Θεοῦ· καὶ τοῦτο ἔπεται τῇ παυλιανικῇ διαιρέσει. 5 Ἡμᾶς δὲ αἱ θεῖαι Γραφαὶ διδάσκουσιν ὡς περὶ ἑνὸς τοῦ Κυρίου φρονεῖν κατὰ τὴν ἐξ οὐρανοῦ κατάβασιν καὶ τὴν [ἐκ γυναικὸς] ἐπὶ γῆς γέννησιν. Οἱ τοίνυν οὕτω φρονοῦντες μὴ εἰς ὁμοφωνίαν τῶν πάντα ἐναντία φρονούντων ἐκβαινέτωσαν, ἵνα μὴ τῇ διανοίᾳ εὐφημοῦντες τοῖς ῥήμασι δυσφημῶσιν. 6 Ἀνάγκη γὰρ αὐτοὺς δύο λέγοντας φύσεις τὴν μὲν μίαν προσκυνεῖν, τὴν δὲ ἑτέραν μὴ προσκυνεῖν, καὶ εἰς μὲν τὴν θεϊκὴν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι. Εἰ δὲ εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτιζόμεθα[145], μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς **259** θεότητος καὶ τῆς παθητῆς σαρκός, ἵνα οὕτως εἰς Θεὸν ᾖ τὸ βάπτισμα ἡμῶν καὶ εἰς τὸν θάνατον τοῦ Κυρίου τελούμενον. 7 Καὶ γὰρ οὐ φοβούμεθα τοὺς συκοφάντας τοὺς διαιροῦντας εἰς δύο πρόσωπα τὸν Κύριον, ἐάν, ἡμῶν τὴν ἕνωσιν πρεσβευόντων τὴν εὐαγγελικὴν καὶ ἀποστολικήν, βλασφημῶσιν ἡμᾶς ὡς τὴν σάρκα λέγοντας ἐξ οὐρανοῦ, ὅταν ἀναγινώσκωμεν τὰς θείας Γραφὰς υἱὸν ἀνθρώπου λεγούσας τὸν ἐξ οὐρανοῦ[146]. Οὐδὲ γάρ, ὅτε λέγομεν τὸν Υἱὸν τοῦ Θεοῦ

---

144. Φιλιπ. 2,7. 145. Πρβλ. Ρωμ. 6,3. 146. Πρβλ. Ἰω. 3,13.

«γενόμενον ἐκ γυναικός»[147], δυνάμεθα βλασφημεῖσθαι ὡς τὸν Λόγον ἐκ γῆς λέγοντες καὶ μὴ ἐξ οὐρανοῦ. Λέγομεν δὲ τὰ ἀμφότερα, καὶ ἐξ οὐρανοῦ τὸ ὅλον διὰ τὴν θεότητα καὶ ἐκ γυναικὸς τὸ ὅλον διὰ τὴν σάρκα, οὐκ εἰδότες διαίρεσιν τοῦ ἑνὸς προσώπου οὐδὲ ἀποτέμνοντες τοῦ οὐρανίου τὸ γήινον οὐδὲ τοῦ γηίνου τὸ οὐράνιον· ἀσεβὴς γὰρ ἡ διατομή. 8 Μὴ οὖν τοῖς διατέμνουσι πρόφασιν διδότωσαν οἱ δύο λέγοντες φύσεις· οὔτε γὰρ τὸ σῶμα καθ' ἑαυτὸ φύσις [ἐπὶ τοῦ ἑνὸς Χριστοῦ], ἐπεὶ μηδὲ ζωοποιὸν καθ' ἑαυτὸ μηδὲ διατέμνεσθαι δυνάμενον ἄνευ τοῦ ζωοποιοῦ [Λόγου]· οὔτε ὁ Λόγος καθ' ἑαυτὸν εἰς ἰδίαν μερίζεται φύσιν, ἣν ἔχει κατὰ τὸ ἄσαρκον, ἐπειδὴ ἐν σαρκὶ ὁ Κύριος καὶ οὐκ ἀσάρκως ἐπεδήμησε τῷ κόσμῳ· οὔτε τὸ κτιστὸν σῶμα ἔζη χωρὶς τῆς ἀκτίστου θεότητος, ἵνα χωρίζῃ τις φύσιν κτιστήν· οὔτε μὴν ὁ ἄκτιστος Λόγος ἐπεδήμησεν χωρὶς σώματος, ἵνα μερίζῃ τις ἀκτίστου φύσιν. 9 Εἰ δὲ ἕν **260** ἑκάτερόν ἐστι κατὰ τὴν ἕνωσιν καὶ τὴν σύνοδον καὶ τὴν σύνθεσιν τὴν ἀνθρωποειδῆ, ἓν καὶ τὸ ὄνομα τῷ συνθέτῳ προεφαρμόζεται, ἀπὸ μὲν τῆς θεότητος τὸ ἄκτιστον, ἀπὸ δὲ τοῦ σώματος τὸ κτιστόν, ἀπὸ μὲν τῆς θεότητος τὸ ἀπαθές, ἀπὸ δὲ τοῦ σώματος τὸ παθητόν. Καὶ ὥσπερ ἀκούοντες τοῦ Παύλου τὸν Χριστὸν παθητὸν[148] οὐ μερικῶς ἠκούσαμεν οὔτε τὴν θεότητα παθητὴν ἐνομίσαμεν, οὕτω καὶ τὸ κτιστὸν καὶ δοῦλον οὔτε μερικῶς λέγεται οὔτε τὴν θεότητα ποιεῖ κτιστὴν οὔτε δούλην. Καὶ πάλιν τὸ ἄκτιστον οὔτε τὴν σάρκα ἄκτιστον ποιεῖ οὔτε μερικῶς ἐπὶ τῆς θεότητος μόνης λέγεται. Ταῦτα δὲ οὕτως φρονοῦντες μενέτωσαν ἐν ἡσυχίᾳ τὰς περιττὰς ζητήσεις ἐκκλίνοντες, καὶ ῥημάτων ἕνεκα μὴ διαιρῶμεν τὰ δόγματα.

10 Συμπεφώνηται καὶ συμφώνως ὡμολόγηται τὸ σῶμα ἐκ τῆς Παρθένου, ἡ θεότης ἐξ οὐρανοῦ τὸ σῶμα πέπλασται ἐν κοιλίᾳ, ἡ θεότης ἄκτιστος αἰώνιος [ἔν τε τῇ συνθέσει μένει καὶ τὸ σῶμα σῶμα καὶ ἡ θεότης θεότης], ἵνα ἑνωθέντος τοῦ Λόγου τῷ σώματι ἀδιαίρετος μείνῃ ἡ θεότης. Εἰ δὲ τῇ Γραφῇ σύνηθες καὶ τὸ ὅλον θεολογεῖν καὶ τὸ ὅλον ἀνθρωπολογεῖν, ἐπώμεθα καὶ ἡμεῖς τοῖς ῥήμασι τοῖς θείοις καὶ μὴ μερίζωμεν τὰ ἀμέριστα

147. Γαλ. 4,4. 148. Πρβλ. Πράξ. 26,23.

μήτε τὴν θεότητα διαιροῦντες τοῦ σώματος ὡς δι' εὐφημίαν, ὅταν τὸ σῶμα πεπλασμένον ἐκ κοιλίας λέγηται· μήτε τὸ σῶμα μερίζοντες τῆς θεότητος ὡς δι' ὁμολογίαν τῆς παρουσίας, ὅταν ἡ θεότης ἄκτιστος **261** δοξάζηται. Κοινωνεῖ γὰρ τὸ ἕτερον τῷ ἑτέρῳ τῆς ὀνομασίας κατὰ τὴν μίαν ζωὴν, οὐ μεταπίπτον οὔτε τὸ ἀσώματον εἰς σῶμα οὔτε τὸ σῶμα εἰς ἀσώματον. 11 Πῶς οὖν οὐ λυπηρὸν τοὺς ταῦτα καλῶς οὕτως ὁμολογοῦντας ἢ φρονοῦντας (καθὼς καὶ παρέλαβον) διαστασιάζειν πρὸς ἀλλήλους διὰ ῥήματα; Ὅταν οἱ μὲν τῷ τοῦ σώματος ὀνόματι χρῶνται ἐπὶ τοῦ Λόγου, καθάπερ ὁ Ἰωάννης σάρκα λέγων γεγενῆσθαι τὸν Λόγον[149], οἱ δὲ τὸ τῆς θεότητος ὄνομα λαμβάνωσιν ἐπὶ τοῦ [ὅλου] δούλου, ὥσπερ ὁ Παῦλος λέγων «ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν»[150]. 12 Προσκυνεῖν ὁμολογεῖ Χριστὸς κατὰ τὴν σάρκα τὸν Πατέρα λέγων· «ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν»[151] καὶ οὐ χωρίζεται ἡ θεότης. Προσκυνεῖται κατὰ τὴν θεότητα καὶ οὐ μερίζεται τὸ σῶμα τῇ τῆς θεότητος προσκυνήσει. Οὔτε ἀφιστῶμεν τὸ σῶμα, ὅτε προσκυνοῦμεν, οὐδὲ γὰρ δυνατόν, τοῦ σώματος τὸ πεπονθέναι καὶ οὐ χωρίζεται ἡ θεότης· ἥνωται γάρ. Ἔδει γὰρ νικηθῆναι τὸν θάνατον ὑπὸ τοῦ Θεοῦ καὶ νενίκηται.

13 Παραινεῖτε δὲ τοῖς μάτην περὶ ταῦτα διαφερομένοις καὶ φυλασσέσθω ἡ κατὰ τὸ δόγμα ὁμολογία μὴ διαιρουμένη διὰ τὰ ῥήματα. Τὸ μὲν γὰρ τοῖς δόγμασιν διαφωνοῦντας τοῖς ῥήμασι προσποιεῖσθαι συμφωνεῖν ἀσεβές, τὸ δὲ τοῖς δόγμασι συμφωνοῦντας τοῖς ῥήμασι διαφέρεσθαι μάταιον καὶ μωρόν. Τοῦτο δὲ συμφωνούμενον ἔχοντες, ὅτι Θεὸς ἔνσαρκος ὁ Χριστὸς καὶ ἐξ οὐρανοῦ καὶ γῆς ὁ αὐτὸς **262** τῇ μορφῇ δοῦλος καὶ τῇ δυνάμει Θεός, μενέτωσαν ἐν ὁμονοίᾳ καὶ μὴ μάτην διαφερέσθωσαν μηδὲ εἰς τὴν τῶν αἱρετικῶν λογομαχίαν ἐκπιπτέτωσαν, ἀλλὰ τῆς Ἐκκλησίας τὴν ἁπλότητα μᾶλλον ζηλωσάτωσαν. Ἐρρωμένως διάγοις κύριε.

149. Πρβλ. Ἰω. 1,14. 150. Α' Κορ. 15,45. 151. Ἰω. 4,22.

ΑΠΟΔΕΙΞΙΣ ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΣΑΡΚΩΣΕΩΣ ΤΗΣ ΚΑΘ' ΟΜΟΙΩΣΙΝ ΑΝΘΡΩΠΟΥ*

208 *Παρὰ Γρηγορίῳ Νύσσης, Ἀντιρρητικός. σ 125* ὡς δ' ἂν μὴ δοκοίη λοιδορία τὸ λεγόμενον εἶναι, ἕνα τῶν παρ' αὐτοῦ περιφερομένων λόγων προθήσομεν, οὗ ἡ ἐπιγραφή ἐστιν αὕτη· ἀπόδειξίς φησι περὶ... ἀνθρώπου. Τάχα δ' ἄν τις δι' ἀκριβείας τὸν τῆς ἐπιγραφῆς νοῦν ἀπογυμνώσας, οὐκ ἂν δεηθείη δι' αὐτῆς τῆς λογογραφίας ἐλέγξαι τὴν ἀτοπίαν τοῦ δόγματος· ἀπόδειξίς φησι περί... ἀνθρώπου. 3 σ. 128 Ἀπόδειξίς φησι περὶ... ἀνθρώπου. Τί τοῦτο πάλιν ἐνδείκνυται τὸ καθ' ὁμοίωσιν ἀνθρώπου; 44 σ. 241 νῦν ἀποκαλύπτει σαφῶς τὸ ἐν τῇ ἐπιγραφῇ τοῦ λόγου δηλούμενον, ἐν ᾗ διδάσκειν καταγγέλλεται περὶ... ἀνθρώπου.

13 4 σ. 130 Καιρὸς δ' ἂν εἴη καὶ αὐτὸν προθεῖναι τῇ ἐξετάσει τὸν λόγον τὸν ὑπὸ τῆς ἐπιγραφῆς ταύτης δηλούμενον· γράψω δὲ τὰ πρῶτα τῇ ἐμαυτοῦ λέξει δι' ὀλίγων ἐπιδραμὼν τὴν διάνοιαν, ἐν οἷς ἀκίνδυνόν ἐστι τὸ παραδρομεῖν τῶν γεγραμμένων τι ἀνεξέταστον. Μόνον, φησί, τὴν εὐσεβῆ πίστιν ἀγαθὸν δεῖν νομίζεσθαι· μηδὲ γὰρ τῇ Εὔᾳ συνεγκεῖν τὴν ἀνεξέταστον πίστιν, ὥστε προσῆκε καὶ τὴν τῶν Χριστιανῶν ἐξητασμένην εἶναι, μή που λάθῃ ταῖς τῶν Ἑλλήνων ἢ τῶν Ἰουδαίων συμπεσοῦσα δόξαις. Ταῦτα διὰ πλειόνων προοιμιασάμενος ἐπάγει τὸν λόγον εἰπὼν ὅτι

14 παρὰ τοῖς ἀπίστοις καὶ ταῖς αἱρέσεσι προτεθρύλληται τὸ μὴ δυνατὸν εἶναι Θεὸν ἄνθρωπον γενέσθαι καὶ πάθεσιν ὁμιλῆσαι, ὃ καὶ παρὰ ταῖς αἱρέσεσιν ἐπὶ σχήματι πίστεως **209** εἰσάγεται ἄνθρωπον ἔνθεον διὰ τὴν ἐκ γυναικὸς γέννησιν καὶ διὰ τὰ πάθη λεγούσαις τὸν Χριστόν.

15 6 σ. 135 Ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προέλθωμεν. Λέξω δὲ πάλιν τῇ ἑαυτοῦ φωνῇ συνελὼν ἐν βραχεῖ τὴν διάνοιαν. Φησὶ γὰρ τὸ ἄνθρωπον ἔνθεον τὸν Χριστὸν

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 208-232. (Αἱ ἀριθμήσεις 13 ἕως 107 ὡς καὶ αἱ ἀκολουθοῦσαι [ἰδὲ σ. ...] ἀναφέρονται εἰς τὰ ἐν τῇ ἐκδόσει τοῦ H. Lietzmann παρατιθέμενα ἀποσπάσματα).

ὀνομάζειν ἐναντίον μὲν εἶναι ταῖς ἀποστολικαῖς διδασκαλίαις, ἀλλότριον δὲ τῶν συνόδων· Παῦλον δὲ καὶ Φωτεινὸν καὶ Μάρκελλον τῆς τοιαύτης διαστροφῆς κατάρξαι.

9 σ. 143 Λέγει δὲ τοῦτο ὁ κελεύων ἔνθεον ἄνθρωπον μὴ λέγειν τὸν Χριστὸν Θεὸν ἔχοντα ἐν ἑαυτῷ ὡς ἄλλον ἐν ἄλλῳ, αὐτὸς πρὸ τῶν ἄλλων τοῦτο κατασκευάζων.

6 σ. 135 Εἶτα κατὰ τοὺς δεινοὺς τῶν ἀγωνιστῶν ὥσπερ συμπλακεὶς τῷ προσδιαλεγομένῳ καὶ εὑρὼν τὸν αὐθέντην τοῦ ῥήματος τοῦτό φησιν·

16 Πῶς ἐρεῖς ἐκ γῆς ἄνθρωπον τὸν ἐξ οὐρανοῦ καταβεβηκέναι μαρτυρούμενον ἄνθρωπον, καὶ Υἱὸν ἀνθρώπου τὸν Θεὸν καὶ Θεοῦ Υἱὸν ἀναγορευόμενον[152];

6 σ.135 Ἐπειδὴ ὅλως τῇ γῇ συγγενῶς ἔχειν τὸ κατὰ θάνατον πάθος

17 Οὐκ ἔστι (φησὶν) ἐκ τῆς ἄνθρωπος ὁ ἐξ οὐρανοῦ καταβὰς ἄνθρωπος· ἄνθρωπος μέντοι καὶ εἰ ἐξ οὐρανοῦ καταβέβηκεν· οὐ γὰρ ἀρνεῖται τὴν τοιαύτην προσηγορίαν ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος.

6 σ. 136 Ἀλλὰ συναγαγὼν ἑαυτῷ πρὸς τὸ κεφάλαιον τὰ εἰρημένα ἐν τούτῳ συμπεραίνει τὸν λόγον·

18 Εἰ δὲ καὶ ἐξ οὐρανοῦ Υἱὸς ἀνθρώπου καὶ ἐκ γυναικὸς Υἱὸς Θεοῦ, πῶς οὐχ ὁ αὐτὸς Θεὸς καὶ ἄνθρωπος;

19 7 σ. 137 Ἀλλὰ Θεὸς μέν (φησι) τῷ πνεύματι τῷ σαρκωθέντι, ἄνθρωπος δὲ τῇ ὑπὸ τοῦ Θεοῦ προσληφθείσῃ σαρκί.

7 σ. 138 εἶτα ἐπάγει τοῖς εἰρημένοις ὅτι·

20. τὸ μυστήριον ἐν σαρκὶ ἐφανερώθη
καλῶς τοῦτο λέγων, οὗτος ὁ ἡμέτερος λόγος· καὶ ὅτι
21 «ὁ λόγος σὰρξ ἐγένετο»[153] κατὰ τὴν ἕνωσιν.

22 Ἀλλ' οὐκ ἄψυχος ἡ σάρξ· στρατεύεσθαι γὰρ κατὰ τοῦ πνεύματος εἴρηται καὶ ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοός[154]· ἔμψυχα δέ φαμεν καὶ τῶν ἀλόγων τὰ σώματα.

210 *7 σ. 138 ἀλλ' οὐκ ἄψυχός φησιν... νοός. Υπέρευγε τῆς ἀγνωμοσύνης. Οὐκ ἄψυχον τῷ Θεῷ περιπλάσσει*

152. Πρβλ. Ἰω. 3,13. 153. Ἰω. 1,4. 154. Πρβλ. Ρωμ. 7,23.

τὴν σάρκα. Οὐκοῦν ἐρωτήσωμεν, εἰ ἔμψυχος προσελήφθη παρὰ τοῦ Θεοῦ Λόγου ἡ σάρξ, καθώς φησιν ὁ λογογράφος· ἔμψυχα δὲ... σώματα. Ὁ ἀνθρωπίνην σάρκα, καὶ ταύτην ἔμψυχον, προσοικίζων τῷ Λόγῳ οὐδὲν ἕτερον ἢ ὅλον συνάπτει τὸν ἄνθρωπο.

23 8 σ. 141 Τὰ δὲ τούτων ἐχόμενα τῆς λογογραφίας ἀπόδειξιν δῆθεν περιέχει διὰ πλειόνων μαρτυριῶν τοῦ ἐκ τριῶν συνεστάναι τὸν ἄνθρωπον· ἀπό σαρκός τε καὶ ψυχῆς καὶ νοῦ, ἅπερ οὐ πόρρω τοῦ καθ' ἡμᾶς ἐστι λόγου.

24 9 σ. 141 Ἀλλ' ἐάσθω ταῦτα, ὡς ἂν μὴ τοῖς καθ' ἕκαστον ἐπεξιόντες εἰς ἀμετρίαν ἐκτείνωμεν τὴν ἀντίρρησιν. Πρὸς δὲ τὰ ἐφεξῆς τοῦ λόγου προΐωμεν· κατασκευάσας γὰρ διὰ πολλῶν τὸ τριφυὲς ἢ τριμερὲς ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν τὸ ἀνθρώπινον σύγκριμα μέμνηταί τινων καὶ δογμάτων συνοδικῶν τῶν τε κατὰ Παύλου τοῦ Σαμοσατέως συνειλεγμένων λέγοντος ἐξ οὐρανοῦ ἀποτεθεῶσθαι τὸν Κύριον καὶ τοῦ κατὰ Νίκαιαν ἐκφωνηθέντος, οὗ τὴν ῥῆσιν ἐπὶ λέξεως τοῦτον τὸν τρόπον εἰρημένην παρέθετο τὸ «ἐξ οὐρανοῦ καταβάντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα» καὶ ταῦτα εἰπὼν ὡς προκατασκευάσας τὸν μέλλοντα ῥηθήσεσθαι λόγον οὕτως ἀπογυμνοῖ τοῦ ἰδίου βουλήματος τὴν διάνοιαν καὶ φησιν οἱονεὶ προσοικειῶν τοῖς προαποδεδειγμένοις οὕτως κατὰ τὴν λέξιν·

25 τὸ δὴ πνεῦμα τουτέστι τὸν νοῦν Θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος εἰκότως «ἄνθρωπος ἐξ οὐρανοῦ»[155] λέγεται.

9 σ. 142 f. Ποῦ τοίνυν ἐν τοῖς εἰρημένοις ἐστὶν ὅτι τὸ πνεῦμα τουτέστι τὸν νοῦν Θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος «ἐξ οὐρανοῦ ἄνθρωπος» λέγεται; 9 σ. 143 Φησὶν οὗτος τὸν σαρκωθέντα τῇ ἀνθρωπίνῃ σαρκὶ Χριστὸν ἐν ἑαυτῷ Θεὸν τὸ πνεῦμα τουτέστι τὸν νοῦν ἔχειν. Λέγει δὲ τοῦτο ὁ κελεύων ἔνθεον ἄνθρωπον μὴ λέγειν τὸν Χριστόν, Θεὸν ἔχοντα ἐν ἑαυτῷ ὡς ἄλλον ἐν ἄλλῳ, αὐτὸς πρὸ τῶν ἄλλων τοῦτο κατασκευάζων. 10 σ. 144 Ποῦ τοίνυν ἐν τούτοις φησὶν ὁ λόγος, ὅπερ τῷ Ἀπολιναρίῳ δοκεῖ, τὸ πνεῦμα τουτέστι τὸν νοῦν Θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος εἰκότως «ἐξ οὐρανοῦ ἄνθρωπος» λέγεται;

155. Α' Κορ. 15,47.

211 10 σ. 145 *φησὶ γὰρ ὅτι*

26 καὶ ὁ Παῦλος τὸν πρῶτον Ἀδὰμ ψυχὴν καλεῖ μετὰ σώματος οὖσαν[156].

11 σ. 146 Ἀλλά φησιν ὁ λογογράφος ὅτι

27 «ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ»[157] πνευματικὸς λέγεται *καὶ τοῦτο σημεῖον ποιεῖται τοῦ ἄνουν εἶναι τὸν τῷ Θεῷ συγκραθέντα ἄνθρωπον·*

12 σ.147 πάλιν τοίνυν τῶν παρ' αὐτοῦ ῥηθέντων ἐπιμνησθησόμεθα·

28 Καθὸ καὶ τὸν πρότερον Ἀδὰμ ὁ Παῦλος ψυχὴν καλεῖ μετὰ σώματος οὖσαν[158] καὶ οὐκ ἄνευ σώματος, τῷ δὲ ὅλῳ τὴν ἐπωνυμίαν διδοῦσαν, κἂν ἀφ' ἑαυτῆς καὶ αὕτη κατὰ σύλληψιν τοῦ πνεύματος καλῆται ψυχή.

Ὁ ταῦτα λέγων ὁμολογεῖ τὰ τρία κατὰ σύλληψιν τῷ τῆς ψυχῆς καλεῖσθαι ὀνόματι ὡς περιειλημμένης τῆς τε τοῦ σώματος καὶ τῆς τοῦ πνεύματος ἐν τῷ αὐτῷ σημασίας.

129 Ἀλλὰ τὸν ἔσχατόν (φησι) «πνεῦμα ζωοποιοῦν»[159] ὁ Παῦλος καλεῖ.

30 12 σ. 148 Ἀλλ' οὐ καταδέχεται τὴν τοιαύτην διάνοιαν· φησὶ γὰρ ἐκεῖνον μὲν ἐκ γῆς χοϊκόν, διότι τὸ σῶμα ἐκ τοῦ χοῦ πλασθὲν ἐψυχώθη.

31 12 σ. 148 Τίς δὲ ἡ ἐκ τοῦ θείου προσφυσήματος ἀπορροή, εἰ μὴ ὁ νοῦς ταῦτα εἶναι πιστεύοιτο; τοῦτον δέ φησιν ἐξ οὐρανοῦ διὰ τοῦτο καλεῖσθαι διότι τὸ πνεῦμα τὸ οὐράνιον ἐσαρκώθη.

32 12 σ. 149 Καὶ προϋπάρχει (φησὶν) ὁ ἄνθρωπος Χριστὸς οὐχ ὡς ἑτέρου ὄντος παρ' αὐτὸν τοῦ πνεύματος, τουτέστι τοῦ Θεοῦ, ἀλλ' ὡς τοῦ Κυρίου ἐν τῇ τοῦ Θεοῦ ἀνθρώπου φύσει θείου πνεύματος ὄντος.

Ταῦτα μὲν ἐπὶ λέξεως τοῦ λογογράφου τὰ ῥήματα· 13 σ.

156. Πρβλ. Α' Κορ. 15,45. 157. Α' Κορ. 15,47. 158. Πρβλ. Α' Κορ. 15,45. 159. Α' Κορ. 15,45.

*149 προϋπάρχει φησὶν ὁ ἄνθρωπος Χριστός... φησὶ γὰρ ὅτι οὐχ ἕτερόν ἐστι παρ' αὐτὸν τὸ πνεῦμα, κατασκευάζων διὰ τούτου, αὐτὴν τοῦ Υἱοῦ τὴν θεότητα ἐξ ἀρχῆς ἄνθρωπον εἶναι. Ὅπερ σαφέ***212***στερον διὰ τοῦ ἐφεξῆς δείκνυται λόγου. Φησὶ γὰρ ὅτι ὁ Κύριος ἐν τῇ τοῦ Θεοῦ ἀνθρώπου φύσει θεῖον πνεῦμα ἦν. Μίαν ἐποίησε τοῦ Θεοῦ τε καὶ τοῦ ἀνθρώπου τὴν φύσιν καὶ πνευμάτων δύο τὴν συναλοιφὴν κατωνόμασεν.*

33 13 σ. 150 ἐπάγει γὰρ τοῖς εἰρημένοις εἰς τὴν τῆς τοιαύτης ὑπολήψεως μαρτυρίαν τὸ «πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι»[160] καὶ τὴν τοῦ Ἰωάννου φωνὴν τὸ «πρῶτός μου ἦν»[161] καὶ εἷς Κύριος δι' οὗ τὰ πάντα[162] καὶ «αὐτός ἐστι πρὸ πάντων»[163] καί τινα τοῦ Ζαχαρίου φωνήν, ἣν ὡς βεβιασμένως πρὸς τὸν σκοπὸν τοῦτον ἐπισυρεῖσαν παρήσομεν.

34 15 σ. 154 Εἰ οὖν ἡ θεία σάρκωσις, καθὼς ὁ Ἀπολλινάριος λέγει, οὐ τὴν ἀρχὴν ἐκ τῆς Παρθένου ἔσχεν, ἀλλὰ καὶ πρὸ τοῦ Ἀβραὰμ καὶ πρὸ πάσης κτίσεως ἦν, τοιαύτη πάντως ἦν οἵα τοῖς μαθηταῖς ἑωρᾶτο. Ἑωρᾶτο δὲ στερρὰ καὶ ἀντιτυπής, σαρκί τε καὶ ὀστέοις διειλημμένη.

35 16 σ. 155 Ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι τὴν ἐφ' ἑκάστῳ τῶν εἰς τοῦτο παρατεθέντων αὐτῷ θείων λογίων πεπλανημένην ὑπόληψιν. Τὰ γὰρ ἐκ τοῦ προχείρου ὄντα καταφανῆ περιττὸν ἂν εἴη διεξετάζοντα μηκύνειν τὸν λόγον. Εἰς γὰρ μαρτυρίαν τοῦ ἀεὶ αὐτὸν ἐν σαρκί τε καὶ αἵματι εἶναι τὴν ἀποστολικὴν παρέθετο ῥῆσιν τὴν λέγουσαν· δι' αὐτοῦ ἡμᾶς εἰληφέναι τὴν ἀπολύτρωσιν, διὰ τοῦ αἵματος αὐτοῦ· τὴν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ τῆς σαρκὸς αὐτοῦ[164].

36 17 σ. 160 Δοκιμαζέτω δὲ ὁ κρίνειν ἐπεσκεμμένος τὸν εὐσεβέστερον (sc. λόγον), εἴτε καθὼς ἡμεῖς φαμεν ἡ δόξα οἰκονομικῶς κατασκηνοῖ ἐν τῇ γῇ ἡμῶν, εἴτε καθὼς ἐκεῖνός φησιν· οὐχὶ ἐπίκτητος ἐπὶ τῇ εὐεργεσίᾳ γίνεται ἡ σὰρξ τῇ θεότητι, ἀλλὰ συνουσιωμένη καὶ σύμφυτος.

160. Ἰω. 8,58. 161. Ἰω. 1,15. 162. Πρβλ. Α' Κορ. 8,6. 163. Κολ. 1,17. 164. Πρβλ. Ἐφ. 1,17.

37 18 σ. 161 Ἀπολλινάριος δέ φησι κατὰ τοῦ Κυρίου τὴν ῥομφαίαν ἐγείρειν διὰ τὴν τοῦ νομέως προσηγορίαν[165] (zu Zach. 13, 7).

18 σ. 161 ἐπειδὴ γὰρ γέγραπται ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν υἱῷ ἐλάλησεν ἡμῖν ὁ Θεὸς ὁ πολυμερῶς καὶ πολυτρόπως ἐν τοῖς προφήταις λαλήσας τοῖς πατράσι τὸ πρότερον[166], ἀπόδειξίς ἐστί φησι τοῦ τὸ ἀνθρώπινον τοῦ φανέντος ἡμῖν Θεοῦ προαιώνιον εἶναι. Φησὶ γὰρ οὕτω κατὰ τὴν λέξιν ἐφερμηνεύων δῆθεν τὸν ἀπόστολον·

213 38 *Ἔστι δὲ τούτοις καταφανές, ὅτι αὐτὸς ὁ ἄνθρωπος ὁ λαλήσας ἡμῖν τὰ τοῦ Πατρός, Θεός ἐστι ποιητὴς τῶν αἰώνων, «ἀπαύγασμα δόξης, χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»[167], ἅτε δὴ τῷ ἰδίῳ πνεύματι Θεὸς ὢν καὶ οὐ Θεὸν ἔχων ἐν ἑαυτῷ ἕτερον παρ' αὐτόν, αὐτὸς ὁ δι' ἑαυτοῦ, τουτέστι διὰ τῆς σαρκὸς καθαρίσας κόσμον ἁμαρτιῶν.*

Ταῦτά φησιν ὁ Ἀπολλινάριος ἐπὶ λέξεως καὶ οὐδὲν παρ' ἡμῶν ἐν τοῖς εἰρημένοις παραπεποίηται. Εἰ οὖν ὁ ἄνθρωπος ὁ λαλήσας ποιητής ἐστι τῶν αἰώνων, καθὼς τῷ λογογράφῳ δοκεῖ, καὶ ἡ σάρξ ἐστι τὸ ἀπαύγασμα καὶ ἡ τοῦ δούλου μορφὴ χαρακτηρίζει τοῦ Θεοῦ τὴν ὑπόστασιν, οὐκέτι μοι δοκεῖ καλῶς ἔχειν μάχεσθαι πρὸς τὸ εἰρημένον, θρηνεῖν δὲ μᾶλλον... ἄνθρωπος ὁ λαλήσας ἡμῖν ἀνθρωπικῶς... οὗτος κατ' αὐτὸ τὸ σαρκῶδές τε καὶ ἀνθρώπειον τῆς τῶν ὄντων προεπινοεῖται συστάσεως, καὶ Θεὸς ἡ τῆς σαρκὸς φύσις λέγεται ἡ σύνθετος καὶ στερρὰ καὶ ἀντίτυπος. σ. 163 Εἰ οὖν ἡ θεία φύσις, καθώς φησιν ὁ λογογράφος, σάρξ ἐστιν... σ. 163 εἰ γὰρ καθώς φησιν αὐτὸς ὁ ἄνθρωπος ὁ λαλήσας ποιητὴς τῶν αἰώνων ἐστὶν αὐτὸς ὁ δι' ἑαυτοῦ, τουτέστι διὰ σαρκός, καθὼς ὁ Ἀπολλινάριος ἑρμηνεύει, τὰ πάντα ποιῶν... σ. 164 λέγει γὰρ τὸν ἄνθρωπον εἶναι τῆς τοῦ Θεοῦ δόξης ἀπαύγασμα καὶ ἐν τῷ σαρκίνῳ Θεῷ... τὴν τοῦ Θεοῦ ὑπόστασιν χαρακτηρίζεσθαι[168]. σ. 167 Καὶ πῶς φησιν ὅτι αὐτὸς ὁ ἄνθρωπος

165. Πρβλ. Ζαχ. 13,7. 166. Πρβλ. Ἑβρ. 1,1. 167. Ἑβρ. 1,3. 168. Πρβλ. Ἐνθ' ἀν.

ὁ λαλήσας ἡμῖν τὰ τοῦ Πατρός, ἐκεῖνός ἐστι Θεὸς ποιητὴς τῶν αἰώνων;

39 19 σ. 165 ἀλλὰ καὶ τοῦ κατὰ Νίκαιαν μέμνηται δόγματος, ἐν ᾧ τὸ «ὁμοούσιον» ἡ κοινὴ τῶν πατέρων ἐξεφώνησε σύνοδος.

40 19 σ. 166 Ἀλλ' ὥσπερ διορθούμενος τὴν ἀτοπίαν ταύτην ἐν τοῖς πρὸ τούτου φησὶ τοῦ Ζαχαρίου τὴν ῥῆσιν πρὸς τὸ δοκοῦν ἑρμηνεύων ὡς ἐκ προσώπου τοῦ Πατρὸς περὶ τοῦ Υἱοῦ λέγων εἰρῆσθαι τὸ σύμφυτον, ὅπερ ἐστὶ συμφυῆ τε καὶ ὁμοούσιον. Εἰ μὲν οὖν ὀρθῶς ἢ μὴ τοῦτο ὑπείληφεν, ἑτέρου λόγου. Ὅ δ' οὖν κατασκευάζει τοῦτό ἐστι·

41 δηλοῖ (φησι) διὰ τούτων ὁ προφητικὸς λόγος, ὅτι οὐ κατὰ τὴν σάρκα ὁμοούσιος τῷ Θεῷ, ἀλλὰ κατὰ τὸ πνεῦμα τὸ ἡνωμένον τῇ σαρκί.

214 42 ἰδοὺ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ ἡ πρὸς Πατέρα ἰσότης προϋπάρχουσα, ἡ πρὸς ἀνθρώπους ὁμοιότης ἐπιγινομένη· καὶ τί τούτων σαφέστερον εἰς τὸ μὴ ἕτερον μεθ' ἑτέρου εἶναι, Θεὸν τέλειον μετὰ τελείου ἀνθρώπου;

22 σ. 174 Νυνὶ δὲ καθεξῆς τοῖς γεγραμμένοις κατὰ λέξιν διευθῦναι τὸν λόγον πειράσομαι, ὅσαπερ ἂν ὑπαίτια κατὰ τὸ πρόχειρον ᾖ. Φησὶ γὰρ μὴ εἶναι Θεὸν τέλειον μετὰ ἀνθρώπου τελείου. *22 σ. 172* Ἀλλ' ἔοικεν οἷον ἐπερυθριῶν αὐτὸς ἑαυτῷ καὶ τῇ ἀτοπίᾳ τῶν εἰρημένων ἐπαισχυνόμενος, ἀνατίθεσθαι τρόπον τινὰ τὰ κατεσκευασμένα καὶ ἐπιγεννητικὴν τοῦ Υἱοῦ τὴν πρὸς τοὺς ἀνθρώπους ὁμοιότητα βούλεσθαι κατασκευάζειν· φησὶ γάρ· ἰδοὺ τοῦ... ἐπιγινομένη. *22 σ. 173* φησὶ δὲ οὕτως κατὰ τὴν λέξιν· καὶ τί τούτων... τελείου ἀνθρώπου· ὅτι μὲν οὖν οὐδὲ μίαν κοινωνίαν ὁ λόγος οὗτος ἔχει πρὸς τὰ προάγοντα φανερὸν ἂν εἴη πᾶσι τοῖς ἐπισταμένοις ἕπεσθαι λόγῳ· πῶς γὰρ ἀποδείκνυσιν ἡ πρὸς Πατέρα ἰσότης προϋπάρχουσα καὶ ἡ πρὸς ἀνθρώπους ὁμοιότης ἐπιγινομένη, καθὼς αὐτός φησι, τὸ μὴ εἶναι ἄνθρωπον τέλειον, δι' οὗ ὁ τέλειος Θεὸς ἐνηθρώπησεν;

43 22 σ. 174 Τέως ἐνταῦθα ὁπότερον ἀτελῆ τῶν εἰρημένων ὠνόμασεν ἀφῆκεν ἀμφίβολον... αὐτὸν εἶναί φησι Θεὸν μὲν πνεύματι τὴν τοῦ Θεοῦ δόξαν ἔχοντα· ἄνθρωπον δὲ σώματι τὴν τῶν ἀνθρώπων ἄδοξον φορέσαντα μορφήν. *23 σ. 176* Ἀλλ' ἄνθρωπος ἦν τῷ σώματί φησιν ὁ τὴν τῶν ἀνθρώπων ἄδοξον φορέσας μορφήν. Ταῦτα μὲν οἴκοθεν καὶ οὐκ ἐκ τῆς γραφικῆς ἡμῖν διδασκαλίας προβάλλεται. ebenda τὴν ἄδοξόν φησιν ἐφόρεσε τῶν ἀνθρώπων μορφήν ebenda ἀλλὰ μήν φησι τὸν Θεὸν ὁ Ἀπολλινάριος τὴν ἄδοξον τῶν ἀνθρώπων ὑπελήλυθέναι μορφήν.

44 23 σ. 177 Κύριόν φησιν ἐν δουλικῷ φανέντα σχήματι·

45 *23 σ. 177* οὐκ ἄνθρωπός (φησιν), ἀλλ' ὡς ἄνθρωπος, διότι οὐχ ὁμοούσιος τῷ ἀνθρώπῳ κατὰ τὸ κυριώτατον.

23 σ. 178 Οὐ γὰρ ἦν φησιν ὁμοούσιος τῷ ἀνθρώπῳ κατὰ τὸ κυριώτατον.

46 23 σ. 178 εἶτά φησι ταπεινώσαντα ἑαυτὸν σαρκί, ὑπερυψωθέντα δὲ ὑπὸ Θεοῦ τὴν θείαν ὑψωσιν. *σ. 178* Ἡ σάρξ **215** φησι τεταπείνωται καίτοι οὐδὲν τοῦ ταπεινωθῆναι προσδεομένη ἢ τὸ ταπεινὸν ἐκ φύσεως ἔχουσα, τὴν δὲ θεότητα ὑπερυψοῦσθαι λέγει.

47[228] Δοξάζεται μὲν ὡς ἄνθρωπος ἐξ ἀδοξίας ἀναβαίνων· ἔχει δὲ τὴν δόξαν πρὸ τοῦ κόσμου ὡς Θεὸς προϋπάρχων τῶν αἰώνων.

24. σ. 179 Διακρίνει γὰρ τὸ δοξαζόμενον καὶ τὸν τὴν δόξαν ἔχοντα. δοξάζεται γάρ φησιν ὡς ἄνθρωπος· δόξαν δὲ ἔχει πρὸ τοῦ κόσμου ὡς Θεὸς προϋπάρχων τῶν αἰώνων[169]. *24 σ. 182f.* Ἀλλὰ κατ' ἀνάγκην τὰς ἐμπαθεῖς ταύτας καὶ ταπεινοτέρας φωνάς τε καὶ διαθέσεις τῷ ἀνθρωπίνῳ προσμαρτυρήσει ἄτρεπτόν τε καὶ ἀπαθῆ τοῦ Θεοῦ τὴν φύσιν καὶ ἐν τῇ κοινωνίᾳ τῶν ἀνθρωπίνων παθημάτων διαμεμενηκέναι συνθήσεται. Καὶ τούτων μάρτυς αὐτὸς ὁ εἰπὼν περὶ αὐτοῦ ὅτι δοξάζεται μὲν ὡς ἄνθρωπος ἐξ ἀδοξίας ἀναβαίνων, ἔχει δὲ τὴν δόξαν πρὸ τοῦ κό-

169. Πρβλ. Ἰω. 17,5.

σμου ὡς Θεὸς προϋπάρχων· ἡ γὰρ ἀδοξία πάντως ἡ παθητὴ τῆς σαρκὸς φύσις ἐστί. Δόξα δὲ ἄρα αἰώνιος ἡ ἀπαθής τε καὶ ἀκήρατος δύναμις.

48 24 σ. 179 Νυνὶ δὲ... πάλιν ἐπὶ τὸ τῆς πλάνης ἐπανατρέχει στάδιον καὶ πολλαῖς καθ' ἡμῶν λοιδορίαις χρησάμενος καὶ Ἰουδαίοις καὶ Ἕλλησι τὸ καθ' ἡμᾶς παρισώσας αὖθις ἐπαναλαμβάνει τῷ λόγῳ τὸν ἔμετον, ὃν ἐν τοῖς προλαβοῦσι φθάσας ἐξήμεσε, τὴν προαιώνιον ἐκείνην σάρκα διὰ τῆς ματαιότητος τῶν λόγων τῷ Χριστῷ περιπλάσσων καὶ λέγων, νοῦν ἔνσαρκον ὄντα τὸν Υἱὸν ἐκ γυναικὸς τεχθῆναι, οὐκ ἐν τῇ Παρθένῳ σάρκα γενόμενον, ἀλλὰ παροδικῶς δι' αὐτῆς διεξελθόντα, οἷος πρὸ τῶν αἰώνων ἦν, τότε φανερωθῆναι αὐτὸ τὸ φαινόμενον σάρκινον ὄντα Θεὸν ἤ, καθὼς αὐτὸς ὀνομάζει, ἔνσαρκον νοῦν. Διό φησιν αὐτὸν «Κύριον δόξης»[170] τὸν ἐσταυρωμένον κατονομάζεσθαι καὶ «Κύριον δυνάμεων»[171] παρὰ τῆς προφητείας λέγεσθαι καὶ τὰς αὐθεντικὰς ἐκείνας καὶ δεσποτικὰς ποιεῖσθαι φωνὰς τό «ἐγὼ λέγω σοι» καὶ «ἐγὼ ἐπιτάσσω σοι»[172] καὶ «ἐργάζομαι ἐγὼ»[173] καὶ ὅσα ἄλλα τῆς ὑψηλοτέρας ἐμφάσεως ἔχεται.

25. σ. 183 ὡς δ' ἂν μὴ συκοφαντεῖν ἐν τοῖς εἰρημένοις δοκοίημεν αὐτῶν τῶν κατὰ τὸν νοῦν ἡμῖν προεξετασθέντων (=fr. 48) καὶ τὴν λέξιν ἐκθήσομαι·

216 49 Ἕλληνες μὲν γάρ (φησι) καὶ Ἰουδαῖοι προφανῶς ἀπιστοῦσι μὴ καταδεχόμενοι Θεὸν ἀκούειν τὸν ἐκ γυναικὸς τεχθέντα.

50 25 σ. 183 Ἀλλ' ἐπειδὴ βούλεται αὐτὴν τὴν τεχθεῖσαν σάρκα θεότητα εἶναι καὶ κατασκευάσαι οὐκ ἐν σαρκὶ πεφηνέναι τὸν Θεὸν λέγει, ἀλλὰ Θεὸν ἔνσαρκον πρὸ αἰώνων ὄντα μετὰ ταῦτα διὰ γυναικὸς τετέχθαι καὶ πρὸς τὴν τῶν παθημάτων πεῖραν κατὰ τὴν τῆς φύσεως ἀνάγκην ἐλθεῖν.

51 25 σ. 184 Ἀλλ' ἐδέξαντο ἄν (φησιν) Ἕλληνες καὶ Ἰουδαῖοι, εἴπερ ἄνθρωπον ἔνθεον εἶναι τὸν τεχθέντα ἐλέγομεν ὥσπερ Ἡλίαν.

26. σ.185 Εἶτα ἐφ' ἡμᾶς στρέφει τὴν λοιδορίαν τοὺς μὴ παραδεχομένους αὐτοῦ τὸν ἀναπλασθέντα μῦθον καί φησιν·

52 οἱ δὲ ἐν σχήματι πίστεως ἄπιστοι τῷ ἐκ γυναικὸς τεχθέντι Θεῷ καὶ σταυρωθέντι πρὸς Ἰουδαίων ὁμοίως ἐκείνοις ἐπαισχύνονται· διὸ καὶ αὐτὸς ἐπαισχυνθήσεται αὐτούς·

τὸ μὲν οὖν ἀραῖς κατὰ τῶν ὑπεναντίων χρῆσθαι τίς οὐκ οἶδεν ὅτι τῶν ἀτονούντων ἐστί. σ. 186 Τίς οὖν ἐν σχήματι πίστεως ἄπιστος, ἑρμηνεύων τὸ ἐκ τῆς Παρθένου μυστήριον; σ. 188 Ὁ συνετὸς ἀκροατὴς ἀφ' ἑαυτοῦ κρινέτω τίς ὁ σχήματι πίστεως ἄπιστος.

53 26 σ. 186 Προθήσω γὰρ τῷ κοινῷ τήν τε κωμῳδουμένην ἡμῶν παρὰ τοῦ λογογράφου πίστιν καὶ τὴν ἐκείνου ὑπόληψιν... σ. 187 οὗτος ὁ ἡμέτερος λόγος· ὁ δέ φησιν ἔνσαρκον εἶναι τὸ κατ' ἀρχὰς τὸν Θεὸν καὶ οὕτως ἐπ' ἐσχάτων ἡμερῶν[174] τὸ τεχθὲν ἐκεῖνο τὸ ὁρατὸν καὶ ψηλαφητὸν σῶμα, τὸ διὰ τῆς ἀνθρωπίνης τροφῆς ταῖς κατ' ὀλίγον προσθήκαις αὐξανόμενον, ἐκεῖνο εἶναι, ὃ τῶν ὄντων ἁπάντων ἦν, ὃ καὶ τοὺς ἀνθρώπους ἐποίησε καὶ πᾶσαν κτίσιν ὁρατήν τε καὶ ἀόρατον, ὃ καὶ τοῦ κόπου αἰσθάνεται καὶ ἐν ἀδημονίᾳ θανάτου[175] δέχεται πεῖραν.

54 27 σ. 188 Ἀλλά φησι λέγειν ἡμᾶς ὅτι ὁ σταυρωθεὶς οὐδὲν εἶχε θεϊκὸν ἐν τῇ ἑαυτοῦ φύσει οὐδὲ αὐτὸ τὸ κυριώτατον ὅ ἐστι πνεῦμα. σ. 189 Οὐκοῦν οὐ πρὸς ἡμᾶς ἂν βλέποι ἡ λοιδορία ὡς τὸν ἄνθρωπον ἐκεῖνον οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ πνεῦμα, ὅ ἐστιν ὁ νοῦς, γεγενῆσθαι **217** λέγοντας. 27 σ. 189 Ἀλλὰ τί τὸ ἐπαγόμενον ἔγκλημα; φησὶν ἐκεῖνος ἀδικεῖν ἡμᾶς τοῦτο λέγοντας, ὅτι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ὁ ἄνθρωπος ἔσχε τι μεῖζον ἕτερον, τὴν ἐν ἀνθρώπῳ κατοικοῦσαν θεότητα. σ. 190 οὐκοῦν... εἶχέ τι ἐν ἑαυτῷ ἑαυτοῦ τιμιώτερον, ὅπερ ὁ λογογράφος ἔγκλημα ποιεῖται κατὰ τῆς πίστεως.

55 28 σ. 191 f. Τὰ δὲ διὰ μέσου παρείς, δι' ὧν ἀρνήσασθαι τὰ κατὰ τὸ μυστήριον οἴεται τοὺς μὴ τὰ αὐτὰ φρονοῦντας αὐτῷ, ἑνὸς τῶν ἐν τῇ καταφορᾷ πρὸς διαβολὴν ἡμετέραν εἰρη-

170. Α' Κορ. 2,8. 171. Ἀμὼς 6,15. 172. Μάρκ. 9,25. 173. Ἰω. 5,17. 174. Πρβλ. Ἰω. 6,39. 11,24. 175. Πρβλ. Ματθ. 26,37-38.

μένων ἐπιμνησθήσομαι· φησὶ γὰρ ἡμᾶς εἰ μὴ ἐκεῖνο λέγομεν μήτε προϋπάρχειν τῆς ἐν γῇ γεννήσεως μήτε πρὸ πάντων εἶναι λέγειν μήτε «σύμφυτον εἶναι Θεοῦ»[176]. Ἀλλὰ τὸ μὲν προϋπάρχειν αὐτὸν τῆς γηίνης αὐτοῦ γεννήσεως ὁμολογοῦμεν... τὸ δὲ σύμφυλον εἶναι Θεοῦ ἄπαγε. Μηδεὶς οὕτως ἐν Χριστιανοῖς ταπεινά... ὀνοματοποιήσειε ῥήματα, ὥστε τὸν ὄντως ὄντα Θεὸν σύμφυλον Θεοῦ καὶ μὴ ἀληθινὸν ἀνακηρύσσειν Θεόν.... εἴποι γὰρ ἂν καὶ ἐκεῖνος (Εὐνόμιος)... τὸ σύμφυλον αὐτὸν εἶναι Θεοῦ.

28 σ. 192 Εἶτα εἰς κατασκευὴν τοῦ εἶναι τὴν σάρκα θεότητα καὶ ταῦτα τοῖς εἰρημένοις προστίθησι·

56 Τίς γάρ (φησι) ὁ ἅγιος ἐκ γεννητῆς;

28 σ. 193 ἀλλ' ἐπάγει καὶ τοῦτο τοῖς εἰρημένοις·

57 τίς ἀδίδακτος σοφός;

58 28 σ.193 Τίς (φησιν) ἐν ἐξουσίᾳ τὰ τοῦ Θεοῦ ἐργαζόμενος; πῶς κατασμικρύνει τοῖς βρεφικοῖς ἐπιχερήμασι τὴν ἄφραστον τοῦ Κυρίου μεγαλειότητα· τὸ γὰρ ἐν ἐξουσίᾳ τὰ τοῦ Θεοῦ ποιεῖν καὶ ἀνθρώπων ἐστίν... σ. 194 ὥστε οὐδὲν ὑπὲρ ἄνθρωπον τὸ ἐν ἐξουσίᾳ τοῦ Θεοῦ ποιεῖν τι τῶν θαυμάτων ἐκ θείας δυνάμεως.

29 σ.194 Τὴν δὲ ἀδιανοήτως αὐτοῦ προστεθεῖσαν τοῖς εἰρημένοις διαίρεσιν, ὡς οὐ πρέπον ἡμῖν ὂν τὸ κατὰ σπουδὴν διελέγχειν, ταῖς ἐννοίαις τῶν ἐπιστημόνων παρήσομεν. Τί γὰρ βούλεται αὐτῷ τὸ

59 διαιρῶν μὲν τὴν ἐνέργειαν κατὰ σάρκα, ἐξισῶν δὲ κατὰ πνεῦμα

ὅπερ ἐπήγαγε τῇ εὐαγγελικῇ φωνῇ τῇ λεγούσῃ ὅτι «ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι»[177], εἴ τις ἔχει δύναμιν πρὸς τὴν **218** τῶν ἀνοήτων συνηγορίαν, συνιστάσθω τῷ λόγῳ καὶ λεγέτω, τί νοῶν ἐπάγει τοῖς εἰρημένοις πάλιν τὸ ὅμοιον οὑτωσὶ κατὰ τὴν λέξιν ἔχον·

60 ὅπερ ἔχει (φησὶ) τὴν ἐν δυνάμει πάλιν ἰσότητα καὶ τὴν κατὰ σάρκα τῆς ἐνεργείας διαίρεσιν, καθ' ἣν (φησιν) οὐ πάντας ἐζωοποίησεν, ἀλλά τινας, οὓς ἠθέλησεν[178].

176. Ζαχ. 13,7 (Ἀκύλα). 177. Ἰω. 5,17. 178. Πρβλ. Ἰω. 5,21.

σ. 195... καθὼς φησιν ὁ Ἀπολλινάριος ὅτι τινὰς ἠθέλησεν, οὐ πάντας ζωοποιηθῆναι.

29 σ. 196 Ὁ δὲ προστίθησι ταῖς κατασκευαῖς ὅτι

61 οὐδεὶς κατ' ἐξουσίαν ἀπέθανεν καὶ ἀνέστη καὶ τοῦτο εἰπὼν ἐπάγει τὴν τοῦ Εὐαγγελίου φωνὴν τὸ «οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»[179].

62 30 σ. 197 Ταῦτα εἰπὼν ὅσα περὶ τοῦ κόκκου φησὶ τοῦ ἀποθνήσκοντος καὶ οὕτως μετὰ πλειόνων κόκκων ἀναβλαστάνοντος[180], ἐπειδὴ πρὸς ἡμᾶς ἐστι καὶ τὸν ἡμέτερον βεβαιοῖ λόγον, ἑκὼν ὑπερβήσομαι. Τίς γὰρ ὁ ἀποθνήσκων κόκκος καὶ τῷ ἰδίῳ τῆς ἀναστάσεως στάχυϊ σωρείαν κόκκων ἐν ἑαυτῷ συνεγείρων; σ. 197 f. Σαρκὶ σὰρξ συναποθνήσκει καὶ συνεγείρεται· θεότητος δὲ τοῦτο παθούσης, καθὼς Ἀπολλινάριος βούλεται, ἄλλας θεότητας ἐπιζητεῖν προσήκει.

63 Ἀλλὰ ταράσσονται τὴν τῶν ἀπίστων ταραχὴν καὶ οὐ μνημονεύουσιν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ τοῦ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ, τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον.

31 σ.199 f. Ἀλλὰ ταράσσονταί φησι τὴν τῶν ἀπίστων ταραχήν. Καθ' ἡμῶν χρῆται τῇ λοιδορίᾳ ταρασσομένους καὶ ἀπίστους ἀποκαλῶν τοὺς τῇ εὐαγγελικῇ φωνῇ ἀνεξετάστως προσέχοντας, ἥ φησιν «εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ ἐμὸν ἀλλὰ τὸ σὸν γενέσθω θέλημα»[181]· τούτοις δὲ προστίθησι τὴν ἰδίαν λέξιν ἐχουσαν οὕτως· καὶ οὐ μνημονεύουσί φησιν ὅτι τὸ θέλημα...οὐρανοῦ. σ. 200 Ὁ Θεὸς ἐξ οὐρανοῦ καταβὰς τὸ ἴδιον τῆς θεότητος θέλημα παραγράγεται καὶ οὐ βούλεται εἰς ἔργον ἐλθεῖν ὅπερ **219** βούλεται. 32 σ. 201 Παλιν δὲ τὸ παρ' αὐτοῦ ῥηθὲν ἀναλάβωμεν· οὐ μνημονεύουσι... ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. Ποῖον θέλημά φησιν ὁ λογογράφος; ὃ βούλεται δηλαδὴ μὴ γενέσθαι ὁ Κύριος λέγων πρὸς τὸν Πατέρα «μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν

179. Ἰω. 10,18. 180. Πρβλ. Ἰω. 12,24. 181. Ματθ. 26,39.

γενέσθω»[182]. 33 σ. 204 Ἀλλ' οὐκ ἦν φησιν ὁ Ἀπολλινάριος ἀνθρώπου τοῦ ἐκ γῆς ὡς αὐτοὶ νομίζουσιν, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον... οὐκ ἀνθρώπου φησὶ τοῦ ἐκ γῆς εἰσὶν αἱ περιπαθεῖς ἐκεῖναι φωναί, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. Μέρχι τούτου δῆλον ἐκ τῶν εἰρημένων τὸ βούλημα, ὅτι τὴν θεότητα ἐμπαθῆ εἶναι κατασκευάζει. Εἶτα συγχεῖ τῇ ἀτοπίᾳ τῆς λέξεως τὴν διάνοιαν. Εἰπὼν γὰρ ὅτι Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανῶν προστίθησι τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον· ὡς ἄν τις ἐπὶ τὸ σαφέστερον μεταβαλὼν εἴποι τὸν λόγον, ὅτι οὐκ ἄνθρωπος ἦν ὁ λαλῶν, ἀλλὰ Θεὸς διὰ τοῦ ἀνθρώπου ἐφθέγγετο ὁ εἰς τὴν ἑαυτοῦ ἕνωσιν προσλαβὼν τὸ φαινόμενον... ἀλλ' ἐξ ὧν παρέθετο λόγων, ἐξ οὐρανοῦ καταβεβηκέναι τὸν ἄνθρωπον λέγει.

Κῶδ. Λατερ. vom jahre 649 actio V (Labbé VI 313c Mansi X 1113e) τοῦ αὐτοῦ (Ἀπολλιναρίου) ἐκ τοῦ λόγου τοῦ περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου· καὶ οὐ μνημονεύουσιν... οὐρανῶν.

Κῶδ. Κ/πόλεως III v. j. 680 actio XI (Labbé VI 906a Mansi XI 516b) Ἀπολλιναρίου αἱρετικοῦ· καὶ οὐ... οὐρανοῦ.

Μάξιμος Ὁμολογητής, spirit. tomus II 89 Comb. Migne 91, 169 Ἀπολλινάριος μὲν γὰρ ὁ δυσσεβὴς οὕτως φησὶν ἐν τῷ ἐπιγεγραμμένῳ αὐτῷ λόγῳ «ἀπόδειξις περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου»· καὶ οὐ μνημονεύουσιν... οὐρανοῦ.

64 34 σ. 205 f. Ἀλλ' ὅσας διὰ μέσου λοιδορίας τοῖς λόγοις συμπλέκων διὰ τούτων οἴεται κρατύνειν τὴν ἀτοπίαν τοῦ δόγματος, δι' ὧν ἂν σφοδρότερον ἡμῶν ταῖς βλασφημίαις καθικνῆται παριδεῖν οἶμαι χρῆναι τόν γε νοῦν ἔχοντα καὶ τῇ ἀκοῇ τῶν ἐντυγχανόντων ἐπιτρέψαι τὴν κρίσιν, τίνες οἱ παραχαράκται τῆς ἀποστολικῆς εἰσι πίστεως.

65 34 σ. 206 Προστίθησι δὲ τὴν παρὰ τῶν Ἰουδαίων

182. Ματθ. 26,39.

γεγενημένην κατ' αὐτοῦ βλασφημίαν τὸ «φάγον» αὐτὸν λέγεσθαι παρ' ἐκείνων καὶ «οἰνοπότην»[183] καί φησιν ἀναγκαῖα εἶναι ταῦτα ἐπὶ τοῦ ἀνθρώπου.

220 66 34 σ. 207 Τῶν γὰρ ἐν ἡμῖν τὸ ὑπερέχον ἐστὶν ἡ διάνοια, ἧς ἄμοιρον εἶναι τὴν σάρκα λέγει ἐν ᾗ ὁ Θεὸς ἐφανερώθη, καὶ τοῦτο σαφῶς διὰ τῶν ἐφεξῆς ἀγώνων κατασκευάζων, ἐφ' ὧν, εἰ μή τις περιττὸν ἡγοῖτο τὴν ἐπιμελῆ τῶν ματαίων ἐξέτασιν, δι' ὀλίγων τοῖς εἰρημένοις ἐπιδραμούμεθα. Πάλιν γὰρ πλῆθος ὕβρεων ἐπαντλήσας τῇ συγγραφῇ τοιοῦτον καθ' ἡμῶν λόγον προτείνεται ἀδικεῖν λέγων τοὺς ταὐτὸν εἶναι φάσκοντας σαρκὸς ἕνωσιν καὶ ἀνθρώπου πρόσληψιν... τί γὰρ διαφέρει σαρκὸς ἕνωσις καὶ ἀνθρώπου πρόσληψις οὕτωσὶ κατὰ τὸ πρόχειρον ἑρμηνεύειν οὐκ εὔπορον... τίς οὖν ἐστιν ἡ σαρκὸς ἕνωσις... ἥ τε τοῦ ἀνθρώπου πρόσληψις πῶς γίνεται;

67 35 σ. 209 Ἀλλ' ἡμᾶς φησι δύο πρόσωπα λέγειν, τὸν Θεὸν καὶ τὸν παρὰ τοῦ Θεοῦ προσληφθέντα ἄνθρωπον· αὐτὸν δέ φησι μὴ οὕτως ἔχειν, ἀλλὰ φάσκειν τὸν σαρκωθέντα καὶ ὄντα οὐχ ἕτερον παρὰ τὸν ἀσώματον, ἀλλὰ τὸν αὐτὸν καθ' ὁμοίωσιν ἡμετέρας ἐν σαρκὶ ζωῆς.

58 σ. 285 Τίς ὢν ὁ Σωτὴρ (πέπονθεν); «Θεός» φησιν ἐν τοῖς πρὸ τούτου· οὐ δύο γὰρ πρόσωπα ὡς ἑτέρου μὲν ὄντος Θεοῦ ἑτέρου δὲ ἀνθρώπου.

68 35 σ. 209 Ἀλλ' οὕτως εἶναι τὸ ἓν λέγει ὡς καὶ ἡμῶν ἕκαστον ἐκ πνεύματός φησι καὶ ψυχῆς καὶ σώματος. 35 σ. 210 Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ ὁ ἄνθρωπος εἷς ἐστιν ἐκ πνεύματος καὶ ψυχῆς καὶ σώματος...

69 35 σ. 211 Οὐ γὰρ ἄν (φησιν) ἐν ὁμοιώματι ἀνθρώπου γεγονὼς εἴη, εἰ μὴ τυγχάνοι καθάπερ ἄνθρωπος νοῦς ἔνσαρκος ὤν.

35 σ. 212 Ἀλλ' οὐκ ἄνθρωπον αὐτὸν εἶναί φησιν, ἀλλὰ καθάπερ ἄνθρωπον νοῦν ἔνσαρκον ὄντα.

70[230] Εἰ μὴ νοῦς ἔνσαρκός ἐστιν ὁ Κύριος, σοφία ἂν εἴη

183. Ματθ. 11,19.

φωτίζουσα νοῦν ἀνθρώπου. Αὕτη δὲ καὶ ἐν πᾶσιν ἀνθρώποις· εἰ δὲ ταῦτα, οὐκ ἦν ἐπιδημία Θεοῦ ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀνθρώπου γέννησις.

36 σ. 213 Ἀλλ' ἴδωμεν τὰς ἀφύκτους αὐτοῦ τῶν συλλογισμῶν ἀνάγκας, δι' ὧν ἡμᾶς πρὸς συγκατάβασιν τοῦ ἔνσαρκον εἶναι νοῦν τὸν μονογενῆ Θεὸν συναναγκάζει. Εἰ μὴ νοῦς φησιν ἔνσαρκός ἐστιν ὁ Κύριος, σοφία ἂν εἴη. σ. 214 Εἰ γὰρ ὡς ἀληθὲς προτείνεται **221** τὸ εἰ μὴ νοῦς ἐστιν ἔνσαρκος σοφία ἂν εἴη... 36 σ. 214 τοιαύτη ἡ πρότασις, τοιαύτη καὶ ἡ διὰ μέσου κατασκευή· ἄξιον ἀμφοτέρων καὶ τὸ συμπέρασμα· τί λέγει; Οὐκ ἦν ἐπιδημία Θεοῦ ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀνθρώπου γέννησις. σ. 215 Τίς γὰρ οὐκ ἂν εἰκότως γελάσειεν ἐπὶ τῇ ἀσυναρτήτῳ τοῦ συλλογισμοῦ πλοκῇ· ἐκθήσομαι δὲ τὴν λέξιν αὐτὴν κατὰ τὸ ἀκόλουθον οὕτως ἔχουσαν· εἰ μὴ νοῦς... ἀνθρώπου γέννησις. 36 σ. 216 Ἐὰν γὰρ σοφία φησὶν πιστευθῇ εἶναι ὁ Κύριος ἡ ἐν πᾶσι γινομένη, δηλαδὴ τοῖς δεχομένοις τὴν χάριν, οὐκέτι ἐπιδημίαν Θεοῦ τὴν Χριστοῦ παρουσίαν ὁμολογήσομεν ὡς ἠλλοτριωμένης τοῦ Θεοῦ τῆς σοφίας·... ἐὰν σοφίαν φησὶν εἶναι πιστεύσωμεν, οὐκ ἔσται Θεοῦ ἐπιδημία ἡ Χριστοῦ παρουσία, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, ἀλλὰ ἀνθρώπου γέννησις.

71[231] Εἰ μὴ νοῦς ἔνσαρκος γέγονεν ὁ Λόγος, ἀλλὰ σοφία ἦν ἐν τῷ νῷ, οὐ κατέβη ὁ Κύριος οὐδὲ «ἐκένωσεν ἑαυτόν»[184].

37 σ. 217 Ἕτερον ἐπιχείρημα· εἰ μὴ νοῦς ἔνσαρκός φησι γέγονεν ὁ Λόγος, ἀλλὰ σοφία. ebenda διό φησιν εἰ μὴ νοῦς ἔνσαρκος ἦν, σοφία ἦν ebenda τίς οὖν ἡ κατασκευή; εἰ σοφία φησὶν ἦν ἐν τῷ νῷ, οὐ κατέβη ὁ Κύριος οὐδὲ ἐκένωσεν ἑαυτόν.

37 σ. 218 Εἶτα ἐπάγει διὰ τῆς ἀσυναρτήτου ἀκολουθίας τῇ προτάσει ταύτῃ τὴν ἐκ τῶν μὴ τεθέντων κατασκευὴν ἔχουσαν οὕτως·

72 διὰ τοῦτο καὶ ἄνθρωπος ἦν· ἄνθρωπος γὰρ νοῦς ἐν σαρκὶ κατὰ τὸν Παῦλον.

184. Φιλιπ. 2,7.

Παραιτοῦμαι δὲ τοὺς ἐντυγχάνοντας μὴ παρ' ἡμῶν οἴεσθαι κατά τινα παιδιὰν ἐπὶ γέλωτι τὰ τοιαῦτα ὡς ἐκ προσώπου τοῦ Ἀπολλιναρίου συμπλάσσεσθαι. Ἔξεστι γὰρ καὶ ἐξ αὐτῶν τῶν αὐτοῦ γεγραμμένων μαθεῖν, ὅτι κατὰ τὴν λέξιν ὁ παρ' ἐκείνου προενήνεκται λόγος οὕτως ἔχων. Κατὰ ποῖον τοίνυν Παῦλον νοῦς ἔνσαρκος ἄνθρωπος λέγεται;

37 σ. 218 f. Πάλιν ἕτερον τοῖς εἰρημένοις ἐπάγει νόημα·

73 ἐπειδὴ ἄνθρωπός (φησιν) ἦν καὶ ἐπουράνιος οὗτος ὁ χοϊκός.

σ. 219 Τῷ ὁρωμένῳ ἄνθρωπος, τῷ νοουμένῳ Θεός. Ὁ δὲ οὐ τοῦτό φησιν ἐν τῷ συμπεράσματι τῷ φαινομένῳ τὸ θεῖον, οὐ τῷ νοητῷ ὁριζόμενος.

222 *38 σ. 220 f.* Ἀλλὰ πρὸς τὸ ἐφεξῆς ἐπιχείρημα τῷ λόγῳ μετέλθωμεν· εἰ μετὰ τοῦ Θεοῦ φησι νοῦ ὄντος καὶ ἀνθρώπινος νοῦς ἦν ἐν Χριστῷ· τοῦτο ἡ πρότασις... πλὴν ὡς ἂν μὴ ἀτελὴς μένοι ἡ πρότασις τὸ συμπέρασμα μόνον ἐπάγειν δέον· τὸν δὲ διὰ μέσου συρφετὸν ὑπερβήσομαι·

74 εἰ μετὰ τοῦ Θεοῦ (φησι) νοῦ ὄντος καὶ ἀνθρώπινος ἦν ἐν Χριστῷ νοῦς —οὐκ ἄρα ἐπιτελεῖται ἐν αὐτῷ τὸ τῆς σαρκώσεως ἔργον· εἰ δὲ μὴ ἐπιτελεῖται τὸ τῆς σαρκώσεως ἔργον ἐν τῷ αὐτοκινήτῳ καὶ μὴ ἀναγκαστῷ νοΐ, ἐν τῇ ἑτεροκινήτῳ καὶ ὑπὸ τοῦ θείου νοῦ ἐνεργουμένῃ σαρκὶ τελεῖται τὸ ἔργον, ὅ ἐστι λύσις ἁμαρτίας· μεταλαμβάνει δὲ τῆς λύσεως ὁ ἐν ἡμῖν αὐτοκίνητος νοῦς, καθ' ὅσον οἰκειοῖ ἑαυτὸν Χριστῷ.

σ. 221 Τί σημαίνει ἡ τῶν ῥημάτων τούτων καινοφωνία ὁ αὐτοκίνητος νοῦς καὶ ἑτεροκίνητος σὰρξ ἡ ἐπιτελοῦσα τὸ ἔργον τῆς λύσεως;

38 σ. 221 Ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προΐωμεν·

75 εἴ τι πλέον (φησὶν) ἕτερος κομίζεται, τοῦτο δι' ἄσκησιν γίνεται· οὐδεμία δὲ ἄσκησις ἐν Χριστῷ· οὐκ ἄρα νοῦς ἐστι ἀνθρώπινος.

76 Οὐκ ἄρα σώζεται τὸ ἀνθρώπινον γένος δι' ἀναλήψεως νοῦ καὶ ὅλου ἀνθρώπου, ἀλλὰ διὰ προσλήψεως σαρκός, ἣ φυσικὸν μὲν τὸ ἡγεμονεύεσθαι· ἐδεῖτο δὲ ἀτρέπτου νοῦ μὴ ὑποπίπτοντος αὐτῇ διὰ ἐπιστημοσύνης ἀσθένειαν, ἀλλὰ συναρμόζοντος αὐτὴν ἀβιάστως ἑαυτῷ.

39 σ. 221 Ἀλλὰ σιγάσθω καὶ τοῦτο τὸ ἐπιχείρημα, μάλιστα διὰ τὸ προσφυὲς τοῦ προτεθέντος αὐτῶ συμπεράσματος, οὑτωσὶ κατὰ τὴν λέξιν ἔχοντος· οὐκ ἄρα σώζεται... σαρκός· τὸ μὲν συμπέρασμα τοῦτο. ib. Περὶ γὰρ τοῦ αὐτοῦ τὰ δύο λέγει, ὥστε τί βούλεται ὁ λέγων οὐκ ἀναλήψει, ἀλλὰ προσλήψει τῷ μονογενεῖ τὸ κατὰ τὸν ἄνθρωπον οἰκονομεῖσθαι μυστήριον, οὐδ' ἂν εἴποι τάχα.

223 *40 σ. 225 Πάλιν δὲ τὸν αὐτὸν ἐπαναλήψομαι λόγον ἐκθέμενος τὴν ῥῆσιν αὐτοῦ ἐπὶ λέξεως· οὐκ ἄρα, φησί, σώζεται... ἀβιάστως ἑαυτῷ.*

Ἰουστινιανοῦ, *Κατὰ Μονοφυσιτῶν. Κῶδ. Pal. σ. 258 πάλιν δὲ... ἑαυτῷ.*

40 σ. 224 Ἀλλ' οὐχ ἡγεῖται πρέπειν ἀνθρώπινον νοῦν περὶ τὸν μονογενῆ Θεὸν ἐννοεῖν καὶ τὴν αἰτίαν λέγει ὅτι τρεπτὸς ὁ νοῦς ὁ ἀνθρώπινος. σ. 226 Εἰ οὖν φυσικὸν τῇ σαρκὶ τὸ ἡγεμονεύεσθαι, καθώς φησιν ὁ Ἀπολλινάριος. σ. 227 Ὁ γὰρ ἐπιδεᾶ λέγων εἶναι τοῦ ἀτρέτου τὴν σάρκα καὶ τοῦ καθηγουμένου προσδέεσθαι.

77 40 σ. 227 Εἰ δὲ ὑπερουράνιόν τι καὶ θεῖον σῶμα, καθώς φησι, θεωρεῖται περὶ τὸν Λόγον, οὐδὲ τὸ τρεπτὸν αὐτῷ πάντως κατὰ τὸ ἀκόλουθον δίδωσιν. σ. 228 Μάτην οὖν αὐτῷ τὰ περὶ τῆς σαρκὸς νῦν εἰρημένα διερραψώδηται· εἰ γὰρ θεία τις αὕτη, δῆλον ὅτι καὶ ἄτρεπτος, εἰ δὲ τρεπτή, πάντως οὐ θεία. 42 σ. 231 Κἂν οὐράνιόν τι σαρκὸς εἶδος ἀναπλάσῃ περὶ τὸ θεῖον ὁ μῦθος, οὐδὲ μᾶλλον διὰ τοῦτο ὁμοούσιον εἶναι τῷ Θεῷ καὶ Πατρὶ τὴν σάρκα ἐκείνην ὁ λελογισμένος συνθήσεται... ὅπερ γὰρ ἂν τῇ οὐρανίᾳ ἐκείνῃ τῇ μυθοποιηθείσῃ παρὰ τοῦ λογογράφου ἐπινοήσωσιν ὄνομα, τοῦτο ἡμεῖς τῇ ἐξ ἀνθρώπων ἀναληφθείσῃ σαρκὶ κατὰ τὸ ἀκόλουθον ἐπιθήσομεν.

78 41 σ. 228 Νῦν μέν, φησί, θείαν εἶναι τὴν σάρκα τοῦ Λόγου καὶ συναΐδιον, πάλιν ἐπίκτητον καὶ προσειλημμένην· εἶτα ἀλλοτρίως πρὸς τὴν ἡμετέραν ἔχουσαν φύσιν τὴν παθητικὴν καὶ ἐπίκηρον, πάλιν ἐπιδεᾶ τοῦ εὐθύνοντος καὶ τῷ κατὰ τροπήν τε καὶ ἀλλοίωσιν πάθει ἐνεχομένην καὶ διὰ τοῦτο αὐτὴν ἄνουν ποιεῖ, ἵνα ἰατρευθῇ τῇ θεότητι, ὥσπερ ἐμπόδιον ἡγούμενος τὸν νοῦν τῆς θείας ἐπ' ἀνθρώπων κηδεμονίας καὶ προσφιλέστερον τῷ Θεῷ τὸ ἀνόητον. Οὐκοῦν μακαριστότερον οἴεται τὸν νοῦν μὴ ἔχειν, εἴπερ προσλαμβάνεται, καθώς φησιν οὗτος, παρὰ Θεοῦ τὸ ἀνόητον. Τί οὖν διορθοῦται τὸν Σολομῶντα, ὅς φησιν «ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται»[185]; 5

79[232] συναρμόζεται τῷ Θεῷ σὰρξ ἀβιάστως, ἡ μεταλαμβάνουσα τῆς καθαρᾶς ἀρετῆς.

41 σ. 230 Πῶς δὲ συναρμόζεται τῷ Θεῷ σὰρξ ὡς φησιν... ἀρετῆς. 41 σ. 230 Εἰ οὖν μεταλαμβάνειν φήσει τὸν ἄνθρωπον καθαρᾶς ἀρετῆς ἐν ᾧ νοῦς οὐκ ἔστι, τὸ τὴν ἀρετὴν ἑκουσίως ὑποδεχόμενον τί ἂν εἴη; εἰ μὴ ἄρα τὸ βεβιασμένον ἀβίαστον ὁ λογογράφος νοεῖ. σ. 231 Ἀλλ' ἀβιάστως φησὶ τὴν σάρκα ἡ θεότης προσάγεται. ebenda *εἰ οὖν ἀβιάστως τῷ Θεῷ προσοικειοῦται* **224** *ἡ σάρξ, μαρτυρεῖται παρὰ τούτων διὰ τοῦ λογογράφου* μὴ *ἀπροαίρετος εἶναι ἡ σάρξ.*

80[233]... Μεταδιδόντος τῆς καθαρᾶς ἀρετῆς παντὶ τῷ ὑποχειρίῳ νῷ καὶ πᾶσι τοῖς νοερῶς ὁμοιουμένοις Χριστῷ καὶ μὴ σαρκικῶς ἀνομοιουμένοις.

41 σ. 231 f. Ὅτι διανοίας ἐστὶν ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις διὰ τῶν ἐφεξῆς εἰρημένων μάλιστα δείκνυται οὑτωσὶ κατὰ τὴν λέξιν ἐχόντων· μεταδιδόντος γάρ, φησί, τῆς... ὑποχειρίῳ νῷ... ὅσα δὲ προσέθηκε κατὰ τὸ ἀπρόσκολλόν τε καὶ ἀνακόλουθον περιττὸν οἶμαι διεξετάζειν τοῦτον ἔχοντα τὸν τρόπον· καὶ πᾶσι, φησί, τοῖς... ἀνομοιουμένοις. Τί γὰρ βούλεται ἡ τῶν εἰρημένων ναυτία, διδασκέτωσαν ταῦτα οἱ θεαυμάσταὶ τῆς ἀπάτης. Ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προέλθωμεν·

81 καὶ εἰ ἀνθρώπῳ (φησὶ) συνήφθη ὁ Θεός, τέλειος τελείῳ, δύο ἂν ἦσαν, εἷς μὲν φύσει Υἱὸς Θεοῦ, εἷς δὲ θετός.

39 σ. 223 Δι' ὧν γὰρ κατασκευάζει τὸ ψεῦδος ἐν τῇ ἀτονίᾳ τῆς συνηγορίας ἀπογυμνοῖ τὴν ἀσέβειαν καὶ γὰρ εἰ... ἂν ἦσαν τὸ δὲ ἀτελὲς ἄρα τῷ τελείῳ συντιθέμενον οὐκ ἐν δυάδι παρ' αὐτοῦ θεωρεῖται;

185. Παρμ. 1,5.

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν. Mai Scr. VII 311 *Τοῦτο γὰρ ὁ διδάσκαλος τῆς πλάνης αὐτῶν Ἀπολλινάριος ἐν τῷ περὶ τῆς θείας σαρκώσεως λόγῳ γράφει λέγων· καὶ γὰρ εἰ ἀνθρώπῳ τελείῳ συνήφθη Θεὸς τέλειος, δύο ἂν ἦσαν· τὸ δὲ ἀτελὲς ἄρα τῷ τελείῳ συντιθέμενον οὐκ ἐν δυάδι θεωρεῖται.*

82 42 σ. 236. *Ὥστε κίνδυνός ἐστιν οὐδεὶς εἰς τετράδα ἡμῖν τὸν τῆς Τριάδος λόγον πλατύνεσθαι, καθὼς ὁ Ἀπολλινάριος λέγει, οὐδὲ τοὺς ἀγγέλους τῷ ἀνθρώπῳ δουλαγωγοῦμεν ὡς ὁ ἐκείνου μῦθος καθ' ἡμῶν λέγει.* σ. 237 *Οὐχ ἡμεῖς δουλαγωγοῦμεν τῷ δεσπότῃ τὸ ἴδιον κτῆμα.* σ. 237 *Ὥστε σιγάτω προτιθεὶς ἐκεῖνα τῷ λόγῳ τὰ μάταια· τὰ ἄνω ποιοῦμεν κάτω θεοφόρους ἀγγέλους θεοφόρῳ ἀνθρώπῳ καταδουλοῦντες. Ἔτι πρὸς τούτοις φησίν·*

83 εἰ ὁ Θεὸν δεξάμενος Θεός ἐστιν ἀληθινός, πολλοὶ ἂν εἶεν θεοί, ἐπειδὴ πολλοὶ δέχονται τὸν Θεόν.

σ. 238... εἰ πάντες ἐλεύσονται κρῖναι... δώσομεν τὸ πολλοὺς εἶναι θεούς.

225 84 Οὐδὲν οὕτως ἥνωται πρὸς Θεὸν ὡς ἡ σὰρξ ἡ προσληφθεῖσα· τὰ μὴ οὕτως ἡνωμένα οὐδ' οὕτως προσκυνητά. Οὐδὲν δὲ οὕτως προσκυνητὸν ὡς σὰρξ τοῦ Χριστοῦ.

43 σ. 239 f. Καταλειπτέον καὶ τοῦτο, πρὸς δὲ τὸ ἐφεξῆς τρεπτέον τὸν λόγον· οὐδέν, φησίν, οὕτως ἥνωται πρὸς Θεὸν ὡς ἡ σὰρξ ἡ προσληφθεῖσα. σ 240 Οὐδὲν οὕτως ἥνωται πρὸς Θεὸν ὡς σάρξ... 44 σ. 240 Καὶ τοῦτο παραδραμούμεθα, τὰ ἐφεξῆς ὡς αὐτόθεν ἔχοντα τὸν ἔλεγχον τῆς ἀσυστάτου μυθοποιίας καὶ ἀβλαβῆ ὄντα τοῖς ἐντυγχάνουσι σιωπήσαντες· προθεὶς γὰρ τὸ μηδὲν ἄλλο τῶν ἐπὶ Θεοῦ λεγομένων οὕτως ἡνῶσθαι τῷ Κυρίῳ ὡς ἥνωται πρὸς αὐτὸν ἡ προσληφθεῖσα σὰρξ ἐπήγαγεν ἐν τῷ συμπεράσματι ὅτι τὰ μὴ οὕτως ἡνωμένα οὐδ' οὕτως προσκυνητά. Ἑτέραν ἐπιτίθησι κορωνίδα· οὐδὲν δὲ οὕτως προσκυνητὸν ὡς σὰρξ τοῦ Χριστοῦ. σ. 241 Εἰ μηδὲν οὕτως ἐστὶ προσκυνητὸν

ὥσπερ ἡ σάρξ, ἄρα σεβασμιωτέρα ἐστὶν ἡ τοῦ Χριστοῦ σὰρξ καὶ αὐτῆς τῆς τοῦ Πατρὸς μεγαλειότητος...

44 σ. 241 ὅμοιον δὲ τοῖς προαποδεδομένοις καὶ τὸ ἐφεξῆς ἐπιχείρημα·

85 Ἡ σὰρξ τοῦ Κυρίου (φησὶ) προσκυνεῖται, καθὸ ἕν ἐστι πρόσωπον καὶ ἓν ζῷον μετ' αὐτοῦ.

σ. 242 Καὶ νῦν ἐν τῷ μέρει τούτου τοῦ λόγου σαφῶς κατασκευάζει ὅτι ἕν ἐστι πρόσωπον καὶ ζῷον ἓν ἥ τε σὰρξ καὶ ὁ Κύριος.

44 σ. 242 οὐκοῦν τὸ μετὰ τοῦτο κατανοήσωμεν·

86 εἰ μηδὲν (φησὶ) ποίημα προσκυνητὸν μετὰ τοῦ Κυρίου ὡς ἡ σὰρξ αὐτοῦ —

Τίς ἀγωνοθετήσει περὶ τῶν ἐν ἀσεβείᾳ πρωτείων, ἀγωνιζομένῳ τῷ Ἀπολλιναρίῳ πρὸς τὸν Εὐνόμιον; σ. 244 Οὐδὲν γάρ, φησί, ποίημα προσκυνητὸν ὡς ἡ σὰρξ τοῦ Κυρίου. 44 σ. 243 Οὗτος δὲ σύνθετον ἐξ ἀρχῆς αὐτὸν ἐξ ἑτεροφυῶν ἀναπλάσας ἐκ σαρκός τε καὶ θεότητος συγκεκρομένον ἓν εἶναι ζῷον κατασκευάζει καθ' ὁμοίωσιν τῆς ἀνθρωπίνης φύσεως. Ἡ μὲν γὰρ τοῦ ποιήματος προσκύνησις ἐπ' ἀμφοῖν (δηλ Εὐνομίῳ καὶ Ἀπολλιναρίῳ) ἴση... οὗτος δὲ προστίθησι καὶ τὸ σαρκώδη φύσιν εἶναι περὶ τὸ ποίημα (= fr. 77) καὶ ταύτην προσκυνεῖσθαι πλέον τῶν λοιπῶν ποιημάτων... ὁ τὴν σάρκα προσκυνεῖν νομοθετῶν.

226 87[234] Εἰ ἄνθρωπον οἴεταί τις ἑνοῦσθαι Θεῷ παρὰ πάντας ἀνθρώπους καὶ ἀγγέλους ποιήσει μὴ αὐτεξουσίους τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους, ὡς οὐδὲ ἡ σὰρξ αὐτεξούσιος. Φθορὰ δὲ τοῦ αὐτεξουσίου ζῴου τὸ μὴ εἶναι αὐτεξούσιον· οὐ φθείρεται δὲ ἡ φύσις ὑπὸ τοῦ ποιήσαντος αὐτήν· οὐκ ἄρα ἑνοῦται ὁ ἄνθρωπος Θεῷ.

45 σ. 244 Ἴδωμεν δὲ καὶ τὴν ἐφεξῆς ἀλυκτοπέδην, κατ' αὐτὸν εἰπεῖν τὸν Ἀπολλιναρίου διδάσκαλον, ἣν ταῖς ἀλύτοις σειραῖς τῶν συλλογισμῶν διασφίγξας προτείνεται· εἰ ἄνθρωπον, φησίν, οἴεταί... καὶ ἀγγέλους... 45 σ. 245 μᾶλλον δ' ἂν ἐκ τῆς συμφράσεως μαρτυρηθείη τὸ τῶν λεγομένων ἀδιανόητον· ποιήσει μή.... ἄνθρωπος Θεῷ... ἀφαιρεῖται τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων ἡ αὐτεξουσιότης ἐὰν

ἑνωθῇ τῷ Θεῷ τὸ ἀνθρώπινον. 45 σ. 246 Εἰ δὲ... Θεὸς ἐφανερώθη ἐν σαρκι[186] καὶ ἡ σὰρξ ἡ ἀνακραθεῖσα τῇ θείᾳ φύσει ἓν πρὸς ἐκείνην ἐγένετο, ἄρα κατὰ τὸν ποιητικὸν μῦθον ἀπόλωλε τῇ ἀνθρωπίνῃ φύσει τὸ αὐτεξούσιον καὶ κατεδουλώθησαν ἄγγελοι, ἐπειδὴ τοῦτο ἐγένετο, ζημιωθέντες τοῦ αὐτεξουσίου τὴν χάριν... οἷα δὲ καὶ ἡ ἐπαγωγή, τὸ λέγειν· φθορὰ δὲ τοῦ αὐτεξουσίου ζῴου ἐστὶ τὸ μὴ εἶναι αὐτεξούσιον.

88 46 σ. 248 Πρὸς δὲ τὰ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν. Λέξω δὲ τῇ ἐμαυτοῦ φωνῇ τὴν τοῦ ἐναντίου διάνοιαν συντομίας χάριν. Ἐκ τριῶν εἶναι τὸν ἄνθρωπον, φησί, πνεύματος καὶ ψυχῆς καὶ σώματος, ὡς καὶ τοῦ Ἀποστόλου τοῦτο διὰ τῆς πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς δογματίζοντος καὶ ἐπάγει τῆς ὑμνῳδίας τῶν τριῶν παίδων τοῦτο τὸ μέρος τὸ «εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων»[187], εἶτα καὶ τὸ ἐν πνεύματι, φησί, λατρεύειν τῷ Κυρίῳ[188] καὶ τὴν τοῦ Εὐαγγελίου φωνὴν παρατίθεται δι' ἧς διδασκόμεθα τοὺς προσκυνοῦντας Θεῷ ἐν πνεύματι δεῖν προσκυνεῖν[189]. Ταῦτα διεξελθὼν προστίθησι τὸ ἕτερον εἶναί **227** τι παρὰ τοῦτο τὴν σάρκα τὴν «ἀντιστρατευομένην τῷ πνεύματι»[190]. Ταύτην δὲ οὐκ ἄψυχον λέγει ὡς διὰ τούτου δείκνυσθαι τρίτον εἶναι τὸ πνεῦμα παρὰ τὴν ψυχὴν καὶ τὸ σῶμα. 46 σ. 248 f. Οὐ γὰρ τὸν ἄνθρωπον τρισὶ τμήμασι καταμερίζων ὁ Παῦλος κατά γε τὸν ἡμέτερον λόγον τοῖς Θεσσαλονικεῦσιν ἐκεῖνα γράφει ὁλοτελῶς αὐτοὺς ἁγιασθῆναι εὐχόμενος τῷ Κυρίῳ ἐν σώματι καὶ ψυχῇ καὶ πνεύματι[191]. σ. 251 Εἰ δὲ φησὶν ὁ Ἀπολλινάριος διὰ τούτου ἰδίως τὸν νοῦν εὐλογεῖσθαι καὶ τὸ σῶμα πάλιν καὶ τὴν ψυχὴν ἰδιαζόντως (ὡς) διαστεῖλαι τῆς ἐφ' ἑκάστου τούτων εὐλογίας τὴν δύναμιν, πῶς ὁλόκληρον τὸ σῶμα φυλάσσεται τὸ πάντη καὶ πάντως ἐν τῷ θανάτῳ διαπεσούμενον; 47 σ. 252 Ἥ τε τῶν τριῶν ὑμνῳδία παίδων, πνεύματα καὶ ψυχὰς δικαίων πρὸς κοινωνίαν τῆς δοξολογίας παραλαμβάνουσα οὐκ ἰδίᾳ τὰς ψυχὰς αἰνεῖν διακελεύεται καὶ ἰδίᾳ τῶν ψυχῶν τὰ πνεύματα, καθὼς ὁ Ἀπολλινάριος οἴεται. σ. 253 Ὁ δὲ Σωτὴρ λέγων ἐν

186. Πρβλ. Α' Τιμ. 3,16. 187. Δαν. 3,86. 188. Πρβλ. Ρωμ. 1,9. 189. Πρβλ. Ἰω. 4,24. 190. Πρβλ. Ρωμ. 7,23. 191. Α' Θεσ. 5,23.

πνεύματι δεῖν προσκυνεῖν τὸν Θεὸν[192] οὐ τὸν νοῦν δηλοῖ τῇ προσηγορίᾳ τοῦ πνεύματος. σ. 254 Τούτου χάριν καὶ ὁ Παῦλος οὔτε ἐν τύπῳ οὔτε ἐν σώματι ἀλλ' «ἐν πνεύματι λατρεύειν»[193] φησὶ τῷ Κυρίῳ τῇ ἀληθείᾳ ἑπόμενος. Τὸ δὲ λέγειν ὅτι «ἡ σὰρξ τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται»[194] αὐτόθεν ἔχει τῆς τοῦ δόγματος αὐτῶν ἀπάτης τὸν ἔλεγχον. σ. 254 Οὐκοῦν ἣν φησιν Ἀπολλινάριος σάρκα ἔμψυχό τε καὶ ἐμπροαίρετον, ταύτην οὐδὲ τοῦ νοῦ κεχωρίσθαι ὁμολογεῖ.

89 Εἰ οὖν ἐκ τριῶν ὁ ἄνθρωπος, ἄνθρωπος δὲ καὶ ὁ Κύριος, ἐκ τριῶν πάντως ἐστὶ καὶ ὁ Κύριος, πνεύματος καὶ ψυχῆς καὶ σώματος. Ἀλλὰ καὶ ἐπουράνιος ἄνθρωπος καὶ πνεῦμα ζωοποιοῦν.

46 σ. 248 an. 227 z. 3 Σῶμα (ἐπισυνάπτων) εἰ οὖν ἐκ τριῶν φησιν ὁ ἄνθρωπος... σώματος. 48 254 f. Ἀλλ' ἐκ τριῶν φησιν ὁ ἄνθρωπος·... ἀλλὰ καὶ ὁ Κύριος ἄνθρωπός φησι λεγόμενος ἐκ τριῶν κἀκεῖνος, πνεύματος καὶ ψυχῆς καὶ σώματος·... ἀλλὰ καὶ ἐπουράνιος ἄνθρωπος, περὶ τοῦ Κυρίου τοῦτο λέγει. καὶ πνεῦμα ζωοποιοῦν.

48 σ. 255 Ἀλλ' ἴδωμεν πρὸς τί χρῆται τοῖς εἰρημένοις ὁ λογογράφος·

90 εἰ ἐκ πάντων (φησὶ) τῶν ἴσων ἡμῖν ἐστι τοῖς χοϊκοῖς ὁ **228** ἐπουράνιος ἄνθρωπος, ὥστε καὶ τὸ πνεῦμα ἴσον ἔχειν τοῖς χοϊκοῖς, οὐκ ἐπουράνιος ἀλλ' ἐπουρανίου Θεοῦ δοχεῖον.

σ. 256 Φησὶ γὰρ εἰ μὲν ἐλλιπὴς εἴη τῷ νῷ ἐκεῖνος ὁ ἄνθρωπος ἐπουράνιον αὐτὸν εἶναι. Εἰ δὲ ἄρτιος εἴη μηκέτι ἐπουράνιον, ἀλλὰ δοχεῖον γενέσθαι τοῦ ἐπουρανίου Θεοῦ... εἰ γάρ, καθώς φησιν ὁ Ἀπολλινάριος, οὐρανίου Θεοῦ δοχεῖόν ἐστι...

49 σ. 257 ἀλλὰ τὸ ἐφεξῆς ἐξετάσωμεν·

91 Εἰ δὲ ἡμεῖς μέν (φησιν) ἐκ τριῶν , αὐτὸς δὲ ἐκ τεσσάρων· οὐκ ἄνθρωπος ἀλλὰ ἀνθρωπόθεος.

σ. 258... Ὥστε καὶ τὸν οὕτως συνεστηκότα κατὰ τὴν τολμηρὰν τοῦ Ἀπολλιναρίου φωνήν, ἀνθρωπόθεον λέγεσθαι.

192. Πρβλ. Ἰω. 4,24. 193. Ἐνθ' ἀν. Ρωμ. 1,9. 194. Ρωμ. 8,7.

50 σ. 259 Οἷα δὲ τοῖς εἰρημένοις προστίθησι πάλιν κατανοήσωμεν.

92 Εἰ ἐκ δύο (φησί) τελείων, οὔτε ἐν ᾧ Θεὸς ἐστιν, ἐν τούτῳ ἄνθρωπός ἐστιν, οὔτε ἐν ᾧ ἄνθρωπος, ἐν τούτῳ Θεὸς.

Εἰ δὲ ἐξ ἀπολείποντος καὶ τελείου κατὰ τὸν ἐκείνου λόγον εἶναι δοθείη τὸ σύγκριμα, ἄρ' οὐχὶ τὸ ἴσον παρὰ τῶν τὰ τοιαῦτα τολμώντων ῥηθήσεται ὅτι ἐν ᾧ Θεός ἐστιν, ἄνθρωπος οὐκ ἔστι, καὶ ἐν ᾧ ἄνθρωπός ἐστι, Θεὸς οὐκ ἔστι.

93[235] Οὐ δύναται σώζειν τὸν κόσμον ὁ ἄνθρωπος μένων καὶ τῇ κοινῇ τῶν ἀνθρώπων φθορᾷ ὑποκείμενος· ἀλλ' οὐδὲ ὑπὸ Θεοῦ μὴ ἐπιμιχθέντος ἡμῖν σωζόμεθα. Μίγνυται δὲ σὰρξ γενόμενος τουτέστιν ἄνθρωπος, καθὼς τὸ Εὐαγγέλιον λέγει, ὅτε «σὰρξ ἐγένετο»[195], τότε αὐτὸν ἐν ἡμῖν ἐσκηνωκέναι. Ἀλλ' οὐδὲ λύει τὴν τῶν ἀνθρώπων ἁμαρτίαν μὴ γενόμενος ἄνθρωπος ἀναμάρτητος οὐδὲ τὴν κατὰ πάντων ἀνθρώπων τοῦ θανάτου βασιλείαν καταλύει, εἰ μὴ ὡς ἄνθρωπος ἀπέθανε καὶ ἀνέστη.

51 σ. 261 Πάλιν δὲ πρὸς τὸ ἐφεξῆς προάγων τὸν λόγον φησίν· οὐ δύναται... ὑποκείμενος. ebenda ἀλλ' οὐδὲ ὑπὸ Θεοῦ, φησί,... σωζόμεθα. ebenda μίγνυται δέ, φησί,... ἐσκηνωκέναι.

51 σ. 262 ἀλλ' οὐδὲ λύει, φησί,... ἀνέστη.

229 *94 51 σ. 262 f. πάλιν δὲ πρὸς ἑαυτὸν ἐπανέρχεται καὶ φησὶ τὸν ἐκκλησιαστικὸν αἰτιώμενος λόγον ὅτι περὶ τὸν ἄνθρωπον θεωροῦμεν τὸ πάθος· καὶ ἐπάγει τὸν ἴδιον λόγον εἰς ἔλεγχον τῆς ὑπολήψεως ἡμῶν ἔχοντα οὕτως· ἀνθρώπου δέ, φησί, θάνατος οὐ καταργεῖ τὸν θάνατον (= fr. 95). σ. 263 οὐ γὰρ μιᾶς ἀποθανούσης θεότητος ἑτέραν ὑπολελεῖφθαι λέγει, διότι πολλαχοῦ δείκνυται Ἀρείῳ περὶ τούτου μαχόμενος καὶ μίαν εἶναι κατασκευάζων τῆς Τριάδος θεότητα.*

52 σ. 264 Τὰ δὲ ἐχόμενα τούτων ὅσα τῆς αὐτῆς ἐστι κατασκευῆς ὑπερβήσομαι· φησὶ γὰρ ἐν τοῖς ἐφεξῆς κατασκευάζων τὸ αὐτὴν τεθνάναι τοῦ μονογενοῦς τὴν θεότητα ὅτι

95 ἀνθρώπου θάνατος οὐ καταργεῖ τὸν θάνατον οὐδὲ ἀνί-

195. Ἰω. 1,14.

σταται ὁ μὴ ἀποθανών. Ἐξ ὧν (φησιν) ἁπάντων δῆλον, ὅτι αὐτὸς ὁ Θεὸς ἀπέθανε, καθό (φησιν) οὐκ ἦν δυνατὸν κρατεῖσθαι τὸν Χριστὸν ὑπὸ τοῦ θανάτου.

96 52 σ. 264 Τοσοῦτον εὔλογον ἴσως ἐστὶ παρασημήνασθαι, ὅτι οὐδὲ ὅσα ἐκ τοῦ ἡμετέρου προσώπου λέγει, καθαρεύει τοῦ ψεύδους, ἀλλ' ἔστιν ἐν αὐτοῖς, ἃ συκοφαντικῶς ἐπὶ διαβολῇ συμπέπλασται τοῦ ἡμετέρου λόγου. Λέγει γὰρ μὴ ἐξ ἀρχῆς εἶναι τὸν Χριστὸν παρ' ἡμῶν λέγεσθαι ὥστε τὸν Λόγον εἶναι Θεόν. σ. 265 Ὁ γὰρ μὴ ἐξ ἀρχῆς λέγων εἶναι Χριστὸν... οὐδ' ἂν ἄλλο τι λέγοι εἶναι, ὃ διὰ τοῦ μεγάλου τούτου νοεῖται ὀνόματος. ebenda ὁ ἐκεῖνον ἐξ ἀρχῆς μὴ εἶναι λέγων ἀθετήσει πάντως καὶ τὰ μετ' ἐκείνου νοούμενα. 53 σ. 267 Πῶς οὖν ἡμᾶς φησι λέγειν μὴ ἐξ ἀρχῆς εἶναι τὸν Χριστόν; σ. 269 f. Ὥστε μὴ συκοφαντείτω τὸν ἡμέτερον λόγον, ὡς ἡμῶν μὴ ἀεὶ Χριστὸν τὸν μονογενῆ Θεὸν εἶναι λεγόντων. 54 σ. 271 Ἐπειδὴ δέ φασιν ἡμᾶς λέγειν πεπονθέναι τὸν ἄνθρωπον, οὐ τὸν Θεόν, ταῦτα παρ' ἡμῶν ἀκουσάτωσαν... (= fr. 94).

56 σ. 277 πρὸς δὲ τὸ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν·

97 πῶς (φησι) Θεὸς ἄνθρωπος γίνεται μὴ μεταβληθεὶς ἀπὸ τοῦ εἶναι Θεός, εἰ μὴ νοῦς ἐν ἀνθρώπῳ κατέστη;

ebenda ἀμετάβλητον εἶναι λέγει τὸ θεῖον... σ. 278 τί οὖν ὁ νοῦς ἐκεῖνος, καθὼς ὁ Ἀπολλινάριος λέγει, ὁ ἐν ἀνθρώπῳ γενόμενος. σ. 278 ...εἴπερ, καθώς φησιν ὁ Ἀπολλινάριος, νοῦς ἀνθρώπου ἡ θεία φύσις ἐγένετο... σ. 279 ἢ οὖν ἴσος ἐστὶν ὁ νοῦς τῇ θεότητι, καθὼς ὁ Ἀπολλινάριος βούλεται... σ 279 ὥστε εἰ τὸ ἐν νῷ γενέσθαι τροπὴν ὁ Ἀπολλινάριος (οὐκ) οἴεται...

230 *57 σ. 279 f. ἔτι φησὶ —τὰ γὰρ ἐν τῷ μέσῳ παρίημι—*

98 Εἰ μετὰ τὴν ἀνάστασιν Θεὸς γέγονε καὶ οὐκέτι ἐστὶν ἄνθρωπος, πῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου «ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ»[196] καὶ πῶς «ὀψόμεθα» τὸν Υἱὸν τοῦ ἀνθρώπου «ἐρχόμενον ἐπὶ τῶν νεφελῶν»[197]; πῶς δὲ καὶ πρὶν ἑνωθῆναι καὶ ἀποθεωθῆναι λέγει «ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν»[198];

196. Ματθ. 24,31. 197. Ματθ. 24,30. 198. Ἰω. 10,30.

Ταῦτα διέξεισιν ἐκεῖνος διὰ τῶν εἰρημένων κατασκευάζων, ὅτι οὐδὲν πρὸς τὸ θειότερον ἡ τοῦ σώματος φύσις μετεποιήθη, ἀλλ' ἔτι περὶ αὐτὸν αἱ τρίχες, οἱ ὄνυχες, ἡ μορφή, τὸ σχῆμα, ἡ τοῦ ὄγκου περιγραφὴ καὶ τὰ λοιπὰ δηλονότι, ὅσα τε φαινόμενα καὶ ὅσα τε κρύφια τῶν μερῶν τῶν τοῦ σώματος. σ. 280 Ὡς δ' ἂν μὴ τὰ θεῖα λόγια συνεργεῖν αὐτῷ πρὸς τὴν μυθοποιίαν λογίζοιτο, διὰ βραχέων ἕκαστον τῶν εἰρημένων ἐπιδραμοῦμαι· ἐπειδή φησιν ἐν τῇ συντελείᾳ τοῦ παντὸς ὁ τοὺς ἀγγέλους ἀποστέλλων Υἱὸς ἀνθρώπου λέγεται, διὰ τοῦτο μέχρι παντὸς οἴεται δεῖν ἐν τοῖς ἀνθρωπίνοις αὐτὸν ἰδιώμασι πιστεύειν εἶναι. σ. 282 Ἀλλά φησι διὰ σαρκὸς διαλεγόμενος τοῖς ἀνθρώποις ὅτι «ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν»[199]. σ. 283 Εἰ γὰρ ὁ εἰπὼν ἓν εἶναι ἑαυτὸν πρὸς τὸν Πατέρα οὐ κατὰ τὸ πνευματικόν, ἀλλὰ κατὰ τὸ ἀνθρώπινον, καθὼς ὁ Ἀπολλινάριος οἴεται, νοεῖν ὑποτίθεται τὴν ἑνότητα...

99 58 σ. 283 Τῶν δὲ ἐφεξῆς τὸ ἀσυνάρτητον καὶ ἀδιανόητον ὡς ἂν μὴ μάτην ἐμφιλοχωροίην τοῖς ματαίοις ὑπερβήσομαι, δι' ὧν οὐδὲ ὅ τι βούλεται λέγειν φανερὸν ποιεῖ τοῖς ἐπιστατικῶς ἀκολουθοῦσι τῇ συγγραφῇ· τί γὰρ αὐτῷ συντελεῖ πρὸς τὸν λόγον τὸ μηδένα ἁρπάζειν ἐκ τῆς χειρὸς αὐτοῦ τὰ δοθέντα αὐτῷ παρὰ τοῦ Πατρὸς πρόβατα, συνιδεῖν οὐκ ἔχω· καὶ ὅτι πατρικῇ θεότητι ἕλκει πρὸς ἑαυτὸν τὰ πρόβατα[200] καὶ

100 εἰ πρὸς τὸν Πατέρα (φησὶν) ἥνωται Χριστὸς πρὸ ἀναστάσεως, πῶς πρὸς τὸν ἐν αὐτῷ Θεὸν οὐχ ἥνωται;

τοῦτο γὰρ ὥσπερ ἐξεπίτηδες αὐτὸς ἑαυτοῦ τὴν μυθοποιίαν ἐλέγχων παρεντίθησι ταῖς ἰδίαις κατασκευαῖς, δι' ὧν ἀποδείκνυται ἡ τοῦ ἀνθρώπου πρὸς τὸ θεῖον διαίρεσίς τε καὶ ἕνωσις. Ὁ γὰρ εἰπὼν ὅτι εἰ πρὸς τὸν Πατέρα ἥνωται Χριστός, πῶς πρὸς τὸν ἐν αὐτῷ Θεὸν οὐχ ἥνωται; οὕτως καὶ ὁ κατὰ Χριστὸν ἄνθρωπος ἕτερος ὢν **231** τῷ ἐν αὐτῷ ἥνωται Θεῷ. Ταῦτα τοίνυν ὡς αὐτόθεν διὰ τῆς ἀναγνώσεως ἐλέγχοντα τὸ πεπλανημένον τοῦ δόγματος αὐτοῦ καὶ ἀσύστατον παραδραμοῦμαι τῷ λόγῳ. Ἐκείνου δὲ μόνου ἐπιμνησθήσομαι·

199. Ἕνθ' ἀν. 200. Πρβλ. Ἰω. 10,4,27.

101 Ὁ Σωτὴρ (φησὶ) πέπονθε πεῖναν καὶ δίψαν καὶ κάματον καὶ ἀγωνίαν καὶ λύπην.

τίς ὢν ὁ Σωτήρ; «Θεός» φησιν ἐν τοῖς πρὸ τούτου· οὐ δύο πρόσωπα ὡς ἑτέρου μὲν ὄντος Θεοῦ, ἑτέρου δὲ τοῦ ἀνθρώπου (Πρβλ. fr. 67). Οὐκοῦν ὁ Θεὸς πέπονθεν, ἅπερ παθεῖν αὐτὸν εἴρηκε, καὶ πῶς

102 πάσχει τὸ ἀπαράδεκτον πάθους οὐκ ἀνάγκῃ φύσεως ἀβουλήτου, καθάπερ ἄνθρωπος, ἀλλ' ἀκολουθίᾳ φύσεως.

σ. 285 Ἐν τίνι διαφέρειν βλέπει τὴν ἀνάγκην τῆς φύσεως καὶ τὴν ἀκολουθίαν τῆς φύσεως;... τί οὖν βούλεται ἡ σοφία τοῦ λογογράφου μὴ ἀνάγκῃ φύσεως, ἀλλ' ἀκολουθίᾳ φύσεως τῷ Σωτῆρι προσάπτειν τὰ πάθη τῆς φύσεως;

103 Ἔδει (φησὶ) καθ' ὁμοιότητα τῶν ἀνθρώπων τὰ πάθη κινηθῆναι·

ὁ τὸ ἔδει εἰπὼν οὐ φανερῶς τὴν ἀνάγκην ἐβόησεν;

104 59 σ. 286 Ἀλλὰ πάλιν καὶ τὸν ἐφεξῆς ὑπερβήσομαι ὕθλον χύδην καὶ ὡς ἔτυχεν ἐκ ματαίων λογισμῶν συμπεφορημένον. Φησὶ δὲ πρὸς τῷ τέλει τοῦ λόγου ὅτι

καὶ ἐν οὐρανῷ ὄντος τοῦ σώματος μεθ' ἡμῶν ἐστι μέχρι τῆς συντελείας τοῦ αἰῶνος[201].

ebenda... μεθ' ἡμῶν δὲ εἶναι, φησί, τὸν Κύριον... οὐ γὰρ εἶπεν ὅτι τὸ σῶμα αὐτοῦ καὶ ἐν οὐρανῷ μένει καὶ μεθ' ἡμῶν ἐστιν, ἀλλὰ τοῦ σώματος ἐν οὐρανῷ ὄντος.

105 59 σ. 287 Ὅσα δὲ ψυχορραγῶν πρὸς τῷ τέλει τοῦ λόγου ὥσπερ τισὶν ἄσθμασι τοῖς ἀνυποστάτοις νοήμασιν ἐνσυνέχεται, παραδραμεῖν οἶμαι δεῖν ἀνεξέταστα. Ἐν οἷς στενοχωρούμενος τοὺς Ἕλληνας πρὸς συνηγορίαν τῶν ἰδίων μύθων καλεῖ. Καὶ ὅσα ἄλλα τούτοις ἐστὶ παραπλήσια, ὅτῳ φίλον τὴν διὰ πάντων τῆς αἱρέσεως ἀτονίαν κατανοῆσαι αὐτοῖς ἐπεξίτω τοῖς γεγραμμένοις.

Doctrina Patrum περὶ σαρκώσεως τοῦ Λόγου de uerbi mc. Mai Scr. VII 20 ὅτι Ἀπολλινάριος μίαν φύσιν λέγων

201. Πρβλ. Ματθ. 28,20.

Χριστοῦ μίαν λέγει καὶ τὴν ἐνέργειαν· οὐ γὰρ δίδωσιν αὐτῷ ἀνθρωπίνην ἐνέργειαν. Φησὶν οὖν ἐν τῷ περὶ τῆς θείας σαρκώσεως κεφαλαίῳ ιβ'.

232 106 Ἀλλὰ γὰρ τὰ σαφῶς ἐληλεγμένα καὶ παγκοσμίως ἐκκεκηρυγμένα νῦν πάλιν ἀνανεοῦσθαί τινες ἐπικεχειρήκασι· καὶ τὸν ἐξ οὐρανοῦ δεύτερον ἄνθρωπον[202] παραδεδομένον ὑπὸ τῶν Ἀποστόλων ἐκ γῆς ἄνθρωπον εἶναι οἷον τὸν πρότερον βλασφημοῦσι, τὸ ἀνθρώπινον τοῦ Λόγου εἰς ἐνέργειαν τὴν ἐν ἀνθρώπῳ μεταβάλλοντες.

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν Mai Scr. VII 301 καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολλινάριος ἐν τῷ περὶ τῆς θείας σαρκώσεως λόγῳ ἐν κεφαλαίῳ ιγ' λέγει τάδε·

107 Ἡ σὰρξ ἑτεροκίνητος οὖσα πάντως ὑπὸ τοῦ κινοῦντος καὶ ἄγοντος (ὁποῖόν ποτε ἂν εἴη τοῦτο) καὶ οὐκ ἐντελὲς οὖσα ζῷον ἀφ' ἑαυτῆς, ἀλλ' εἰς τὸ γενέσθαι ζῷον ἐντελὲς συντεθειμένη, πρὸς ἑνότητα τῷ ἡγεμονικῷ συνῆλθεν καὶ συνετέθη πρὸς τὸ οὐράνιον ἡγεμονικόν, ἐξοικειωθεῖσα αὐτῷ κατὰ τὸ παθητικὸν ἑαυτῆς καὶ λαβοῦσα τὸ θεῖον οἰκειωθὲν αὐτῇ κατὰ τὸ ἐνεργητικόν. Οὕτω γὰρ ἓν ζῷον ἐκ κινουμένου καὶ κινητικοῦ συνίστατο καὶ οὐ δύο ἢ ἐκ δύο τελείων καὶ αὐτοκινήτων· διόπερ ἄνθρωπος μὲν ἕτερόν τι ζῷον πρὸς Θεὸν καὶ οὐ Θεός, ἀλλὰ δοῦλος Θεοῦ. Κἂν οὐρανίων ᾖ τις δύναμις, ὡσαύτως ἔχει· σὰρξ δὲ Θεοῦ σὰρξ γενομένη ζῷόν ἐστι μετὰ ταῦτα συντεθεῖσα εἰς μίαν φύσιν.

Σύνοδος Λατερανοῦ act. V. Labbé VI 316d Mansi X 1117a Ἀπολλιναρίου αἱρετικοῦ ἐκ τοῦ περὶ σαρκώσεως λόγου (capitulo decimo tertio) ἡ σὰρξ ἑτεροκίνητος... καὶ αὐτοκινήτων.

202. Πρβλ. Α' Κορ. 15,47.

ΔΟΓΜΑΤΙΚΑ ΕΤΕΡΑ*

ΠΕΡΙ ΕΝΩΣΕΩΣ

204 *Ἀναστασίου Πρεσβυτέρου, Κατὰ τῶν Μονοφυσιτῶν Mai Scr. VII 203 Ἀπολλιναρίου τοῦ δυσσεβοῦς ἐκ τοῦ περὶ ἑνώσεως λόγου πρώτου·*

2 Ἐπεὶ γὰρ ἄριστα Παῦλος βοᾷ ἐν τῷ παντοκράτορι Θεῷ καὶ μόνῳ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν[1], ἤρκει καὶ μόνον τὸ αὐτοῦ θέλημα διὰ τοῦ ἐν τῇ σαρκὶ σκηνώσαντος Λόγου πρὸς τὸ ταύτην ζωοποιεῖν καὶ κινεῖν, ἀναπληρούσης τῆς θείας ἐνεργείας τὸν τῆς ψυχῆς τόπον καὶ τοῦ ἀνθρωπίνου νοός· ὅθεν καὶ σκήνωσιν ὁ Ἰωάννης τὴν ἐπιδημίαν αὐτοῦ τὴν ἐξ οὐρανῶν ὀνομάζει[2]. Εἰπὼν γὰρ ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο»[3], οὐ προσέθηκε «καὶ ψυχήν». Ἀδύνατον γὰρ δύο νοερὰ καὶ θελητικὰ ἐν τῷ ἅμα κατοικεῖν, ἵνα μὴ τὸ ἕτερον κατὰ τοῦ ἑτέρου ἀντιστρατεύηται διὰ τῆς οἰκείας θελήσεως καὶ ἐνεργείας. Οὐκοῦν οὐ ψυχῆς ἀνθρωπίνης ἐπελάβετο ὁ Λόγος, ἀλλὰ μόνου σπέρματος Ἀβραάμ· τὸν γὰρ τοῦ σώματος Ἰησοῦ ναὸν προδιέγραψεν[4] ὁ ἄψυχος καὶ ἄνους καὶ ἀθελὴς τοῦ Σολομῶντος ναός.

Ταῦτα τοῦ θεοστυγοῦς Ἀπολλιναρίου δυσφημήσαντος καὶ ἄψυχον καὶ ἀθελῆ τὴν τοῦ Κυρίου σάρκα λέγοντος.

ΠΕΡΙ ΣΑΡΚΩΣΕΩΣ

Θεοδωρήτου, Ἐρανιστὴς II t. IV, σ. 172 ff. Sch. Καὶ ἐν τῷ περὶ σαρκώσεως λογιδίῳ πάλιν ταῦτα γέγραφε·

3 τὸ μὲν οὖν «κάθου ἐκ δεξιῶν μου»[5] ὡς πρὸς ἄνθρωπον λέγει· οὐ γὰρ τῷ ἀεὶ καθημένῳ ἐπὶ θρόνου δόξης καθὸ Θεὸς

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 204-208, 232-235, 242-246, 248-249, 253-256, 262-264, 267-270.

1. Πρβλ. Πράξ. 17,28. 2. Πρβλ. Ἰω. 1,14. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Ματθ. 26,21. Ἰω. 2,19. 5. Ψαλ. 109,1. Πράξ. 2,34.

Λόγος εἴρηται μετὰ τὴν ἄνοδον τὴν ἐκ γῆς· ἀλλὰ τῷ νῦν εἰς τὴν ἐπουράνιον ὑψωθέντι δόξαν καθὸ ἄνθρωπος, ὡς οἱ Ἀπόστολοι λέγουσιν· «οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς. Λέγει δὲ αὐτός· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου»[6], ἀνθρώπινον μὲν τὸ πρόσταγμα, ἀρχὴν τῇ καθέδρᾳ διδοῦν, θεῖον δὲ τὸ ἀξίωμα τὸ συγκαθῆσθαι Θεῷ, ᾧ **205** λειτουργοῦσιν αἱ χίλιαι χιλιάδες καὶ παραστήκουσιν αἱ μύριαι μυριάδες[7].

Καὶ μετ' ὀλίγα·

4 οὐ γὰρ ὡς Θεῷ ὑποτάσσει τοὺς ἐχθρούς, ἀλλ' ὡς ἀνθρώπῳ, ὥστε τὸν αὐτὸν εἶναι καὶ Θεὸν ὁρώμενον καὶ ἄνθρωπον· ὅτι δὲ ὡς ἀνθρώπῳ λέγεται τὸ «ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»[8], διδάσκει Παῦλος ἴδιον αὐτοῦ τὸ κατόρθωμα λέγων κατὰ τὸ θεϊκὸν δηλαδή· «κατὰ τὴν ἐνέργειάν» φησιν «τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα»[9]. Ὅρα ἀχωρίστως ἐν τῷ ἑνὶ προσώπῳ θεότητα καὶ ἀνθρωπότητα.

Καὶ μετὰ βραχέα·

5 «δόξασόν με σὺ Πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί»[10]. Τὸ μὲν γὰρ «δόξασον» ὡς ἄνθρωπος λέγει, τὸ δὲ «ἔχειν πρὸ αἰῶνος τὴν δόξαν» ὡς Θεὸς ἀποκαλύπτει.

Καὶ αὖθις μετ' ὀλίγα·

6 ἀλλ' ἡμεῖς μὴ ταπεινωθῶμεν ταπεινὴν ἡγησάμενοι τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ προσκύνησιν καὶ μετὰ τῆς ἀνθρωπίνης ὁμοιώσεως, ἀλλ' ὡς τινα βασιλέα καὶ ἐν εὐτελεῖ φανέντα στολῇ τῇ βασιλικῇ δόξῃ δοξάζοντες καὶ μάλιστα ὁρῶντες καὶ αὐτὸ τὸ ἔνδυμα δοξασθέν, ὡς ἥρμοττε σώματι Θεοῦ καὶ Σωτῆρι κόσμου καὶ σπέρματι ζωῆς αἰωνίου καὶ ὀργάνῳ θείων ἐνεργειῶν καὶ λυτικῷ κακίας ἁπάσης καὶ θανάτου καθαιρετικῷ καὶ ἀναστάσεως ἀρχηγῷ· εἰ γὰρ καὶ τὴν φύσιν ἐξ ἀνθρώπων ἔσχεν, ἀλλὰ τὴν ζωὴν ἐκ Θεοῦ καὶ τὴν δύναμιν ἐξ οὐρανοῦ καὶ τὴν ἀρετὴν θείαν· —

Καὶ μετ' ὀλίγα·

---

6. Ψαλ. 109,1. Πράξ. 2,34. 7. Πρβλ. Δαν. 7,10. 8. Ψαλ. 109,1. 9. Φιλιπ. 3,21. 10. Ἰω. 17,5.

7 ὅθεν ἡμεῖς τὸ σῶμα προσκυνοῦμεν ὡς τὸν Λόγον, τοῦ σώματος μετέχομεν ὡς τοῦ Πνεύματος.

206 Ἰδού σοι καὶ ὁ πρῶτος τῶν φύσεων τὴν κρᾶσιν εἰσάγων ἀναφανδὸν τῇ διαιρέσει χρώμενος ἀπεδείχθη. Οὗτος καὶ στολὴν τὸ σῶμα καὶ κτίσμα καὶ ὄργανον προσηγόρευσε. Καὶ μέντοι καὶ δοῦλον ὠνόμασεν, ὅπερ οὐδεὶς ἡμῶν εἰπεῖν ἐτόλμησε πώποτε. Τοῦτο καὶ τῆς ἐκ δεξιῶν εἴρηκεν ἀξιωθῆναι καθέδρας καὶ ἄλλα δὲ πλεῖστα παρὰ τῆς κενῆς ὑμῶν αἱρέσεως ἐκβαλλόμενα.

Θεοδωρήτου, *Ἐρανιστής*. III t. IV σ. 257 Sch.

Καὶ ἐν τῷ περὶ σαρκώσεως λογιδίῳ ταῦτα γέγραφε πάλιν·

8 ἐνταῦθα οὖν τὸν αὐτὸν δηλῶν ἄνθρωπον μὲν ἐκ νεκρῶν ἐγερθέντα, ὡς Θεὸν δὲ τῆς ἁπάσης βασιλεύοντα κτίσεως.

Εἶδες τέως ἕνα τῶν τῆς κενῆς αἱρέσεως διδασκάλων ἄντικρυς τὴν τῆς θεότητος ἀπάθειαν κηρύττοντα καὶ ναὸν καλοῦντα τὸ σῶμα καὶ τὸν Θεὸν Λόγον ἀναστῆσαι τοῦτο λίαν ἰσχυριζόμενον.

ΠΕΡΙ ΣΑΡΚΩΣΕΩΣ Ἢ ΕΙΣ ΤΗΝ ΠΑΡΑΔΟΣΙΝ ΤΗΣ ΑΠΟΤΑΞΕΩΣ ΚΑΙ ΤΗΣ ΠΙΣΤΕΩΣ

Λεοντίου. (149) Τοῦ αὐτοῦ Ἀπολλιναρίου ἐκ τοῦ εἰς τὴν παράδοσιν τῆς ἀποτάξεως καὶ τῆς πίστεως λόγου οὗ ἡ ἀρχή· τὸν ἐκπεσόντα Θεοῦ ἄνθρωπον κατεῖχεν ὁ ἀπατήσας διάβολος·

9 εἰ ἄνθρωπος ἐξ ὁλοκλήρου καὶ Θεὸς ὁ αὐτός, τὸν μὲν ἄνθρωπον ὁ εὐσεβὴς νοῦς οὐ προσκυνῶν, τὸν δὲ Θεὸν προσκυνῶν, εὑρεθήσεται τὸν αὐτὸν προσκυνῶν καὶ μὴ προσκυνῶν, ὅπερ ἀδύνατον. Καὶ αὐτὸς ἑαυτὸν ὁ μὲν ἄνθρωπος οὐχ ἡγούμενος προσκυνητὸν (οὐ γὰρ ἀσεβήσει)· ὁ δὲ Θεὸς εἰδὼς ἑαυτὸν προσκυνητόν· ἀδύνατον δὲ τὸν αὐτὸν καὶ προσκυνητὸν ἑαυτὸν εἰδέναι καὶ μή. Ἀδύνατον ἄρα τὸν αὐτὸν εἶναι Θεόν τε καὶ ἄνθρωπον ἐξ ὁλοκλήρου, ἀλλ' ἐν μονότητι συγκράτου φύσεως θεϊκῆς σεσαρκωμένης· ὥστε πρὸς Θεὸν ἀφορᾶν ἀχώριστον τῆς σαρκὸς τοὺς προσκυνοῦντας καὶ μὴ ἀφορᾶν εἰς ἕνα μὲν οὐ προσκυνητόν, εἰς ἕτερον δὲ προσκυνητόν· μηδὲ ἐν αὐτῷ εἶναι τὸν μὲν οὐκ ἀνεχόμενον προσκυνεῖσθαι, **207** τὸν δὲ προσδεχόμενον τὴν ἐπὶ

σωτηρίᾳ τῶν προσκυνούντων προσκύνησιν· ἀλλ' ἕνα εἶναι τῷ ὄντι κατὰ τὴν μίαν οὐσίαν καὶ οὐδαμῶς δύο τινὰς ἐν προσώποις ὑφεστῶσι κατ' ἴδια μέτρα καὶ ἰδίας ἀξίας.

Doctrina Patrum. (Serruys 181, 11), Καὶ πάλιν ἐν τῷ περὶ σαρκώσεως λόγῳ φησὶν (Ἀπολλινάριος)· ἀδύνατον τόν... σεσαρκωμένης.

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν Mai Scr. VII 303 καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολλινάριος ἐν τῷ περὶ σαρκώσεως λόγῳ· ἀδύνατον τὸν... σεσαρκωμένης.

Dotcrina Patrum (Serruys 179, 1). Τοῦ αὐτοῦ (sc. Ἀπολλιναρίου) ἐκ τοῦ περὶ σαρκώσεως λόγου·

10 Ὦ καινὴ κτίσις καὶ μίξις θεσπεσία· Θεὸς καὶ σὰρξ μίαν [καὶ τὴν αὐτὴν] ἀπετέλεσαν φύσιν.

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν. Mai Scr. VII 302 τοῦ αὐτοῦ (Ἀπολλιναρίου), Ἐν τῷ περὶ σαρκώσεως λόγῳ· ὦ καινή... φύσιν. Φώτιος, Βιβλιοθ. 230 σ. 273α Bekk. (= Phot. i) ὁ γὰρ δυσσεβὴς Ἀπολλινάριος ἐν τῷ περὶ σαρκώσεως αὐτοῦ λόγῳ πρόσεχε οἷά φησιν· ὦ καινή... φύσιν. Φωτ., Βιβλ. 229 σ. 250α (= Phot 2)· (Ἀπολλινάριος) ἔφη· μῖξις... φύσιν.

ΜΑΡΙΑΣ ΕΓΚΩΜΙΟΝ ΚΑΙ ΠΕΡΙ ΣΑΡΚΩΣΕΩΣ

Λεοντίου 140. Τιμόθεος. Πάλιν ἐν ἑτέρῳ λόγῳ ἐπιγεγραμμένῳ «Μαρίας ἐγκώμιον καὶ περὶ σαρκώσεως» οὕτω φησίν·

11 μεῖζον ἤδη ὁρᾷ τὸ σῶμα διὰ τὸν συγκραθέντα, μεῖζον οὐ τοῦ ἑαυτοῦ λέγω σώματος μόνου, ἀλλὰ καὶ τῶν πυρίνων τῶν ἀγγελικῶν· πρὸς οὐδὲν γὰρ ἐκείνων συγκέκραται ὁ Θεός· οὐδὲν ζωοποιὸν κόσμου τῶν σωμάτων ἐκείνων οὐδέν· Οὐκ ἐξισοῦται πρὸς Θεὸν τῶν ἀγγέλων οὐδεὶς ὡς ὁ κεκραμένος ἐκ σώματος καὶ θεότητος ἑαυτὸν ἐξισοῖ τῷ Θεῷ λέγων· «ὡς ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκεν καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ»[11].

Καὶ μεθ' ἕτερα πάλιν·

11. Ἰω. 5,26.

208 12 καὶ ἐν ἑαυτῷ μὲν ἐνεργοῦν εἰδὼς τὸ Πνεῦμα τοιαύτην ἐνέργειαν, οἵα καὶ χωρισθείη ἄν, θεῖον ἡγῇ σαὐτόν, ὡς καὶ ἀπὸ τοῦ σοῦ χρωτὸς ἀποφερόμενον ὕφασμα δύνασθαι νόσους ἰᾶσθαι· τὸ δὲ ἀχωρίστως Θεῷ συναφθὲν καὶ ταὐτὸν ἐκείνῳ διὰ τὴν ἕνωσιν τὴν οὐσιώδη γενόμενον, «ὁ λόγος» γάρ φησι «σὰρξ ἐγένετο»[12], τοῦτο οὐ θεῖον οὐδὲ Θεὸν ὑπείληφας;

ΕΙΣ ΤΗΝ ΕΠΙΦΑΝΕΙΑΝ ΤΗΝ ΕΝΣΑΡΚΟΝ ΤΟΥ ΘΕΟΥ

Μαξίμου Ὁμολογητοῦ, Πνευματικὸς τόμος 11, 89 Comb. Migne 91, 169. Ὁ δὲ αὐτὸς (Ἀπολλινάριος) πάλιν ἀβέλτερος ἐν τῷ ἐπιγεγραμμένῳ «εἰς τὴν ἐπιφάνειαν τὴν ἔνσαρκον τοῦ Θεοῦ»·

232 108 εἷς γὰρ ὁ Χριστὸς θεϊκῷ θελήματι μόνῳ κινούμενος, καθὸ καὶ μίαν οἴδαμεν αὐτοῦ τὴν ἐνέργειαν ἐν διαφόροις θαύμασι καὶ παθήμασι τῆς μιᾶς αὐτοῦ φύσεως προϊοῦσαν. Θεὸς γὰρ ἔνσαρκος ἔστι καὶ πιστεύεται.

Καὶ μετὰ βραχέα·

233 109 καὶ τὸ Πάτερ, εἰ δυνατὸν ἀπελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ, πλὴν μὴ τὸ ἐμὸν ἀλλὰ τὸ σὸν θέλημα γενέσθω[13]· οὐκ ἄλλου καὶ ἄλλου θελήματος ἔμφασιν ἔχει μὴ συμβαινόντων ἀλλήλοις, ἀλλ' ἑνὸς καὶ τοῦ αὐτοῦ, θεϊκῶς μὲν ἐνεργουμένου, οἰκονομικῶς δὲ παραιτουμένου τὸν θάνατον, ἐπεὶ Θεὸς ἦν σαρκοφόρος ὁ τοῦτο λέγων μηδεμίαν ἐν τῷ θέλειν ἔχων διαφοράν.

Concil Later. v. j. 649 act. V Labbé VI 313d Mansi X 1116a Τοῦ αὐτοῦ ἀπὸ λόγου ἐπιγεγραμμένου εἰς τὴν ἐπιφάνειαν τὴν ἔνσαρκον τοῦ Θεοῦ· εἷς γὰρ... πιστεύται. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου· καὶ τὸ «πάτερ... ἔχων διαφοράν.

12. Ἰω. 1,14. 13. Πρβλ. Ματθ. 26,39. Λουκ. 22,42.

Ἀναστασίου Πρεσβυτέρου, Κατὰ Μονοφυσιτῶν. Mai Scr. VII 203 Λέγει γὰρ πάλιν ὁ αὐτὸς Ἀπολλινάριος εἰς τὸ «Πάτερ παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον, πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν»[14] *οὕτως·*

110 εἰ δὲ ἰσοσθενὴς καὶ κοινωνὸς τῆς πατρικῆς οὐσίας ὁ ἐπὶ τὸ πάθος καὶ τὸν σταυρὸν ἐρχόμενος ἦν, πῶς ἐν ἀγωνίᾳ γενόμενος προσηύχετο παρελθεῖν αὐτὸν τὸ ποτήριον καὶ μὴ γενέσθαι αὐτοῦ τὸ θέλημα, ἀλλὰ μᾶλλον τὸ τοῦ Πατρός; Τί δὲ καὶ προαγορεύειν ἐχρῆν τὸ τοῦ εὐχομένου θέλημα, ἀλλ' ἢ ἀσύμφωνον Θεοῦ καὶ ἐναντίον.

ΠΡΟΣ ΤΟΥΣ ΑΝΘΡΩΠΟΝ ΥΠΟ ΤΟΥ ΛΟΓΟΥ ΠΡΟΣΕΙΛΗΦΘΑΙ ΛΕΓΟΝΤΑΣ

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν. Mai Scr. VII 301 Ἐν γὰρ τῷ λόγῳ ὃν ἐπιγράφει «πρὸς τοὺς ἄνθρωπον ὑπὸ τοῦ Λόγου προσειλῆφθαι λέγοντας» λέγει (Ἀπολλινάριος) τάδε·

111 ἄνθρωπος εἷς ὁ Χριστὸς ὡς εἷς Θεὸς ὁ Πατήρ, ὅ ἐστι φύσεως· ὥστε καὶ τοῦτο φύσεως συνθέτου μεταξὺ οὔσης Θεοῦ καὶ ἀνθρώπων.

ΣΥΛΛΟΓΙΣΜΟΙ

Λεοντίου Βυζαντίου. 131 Valentin ἀπὸ συλλογισμῶν·

112 Εἰ ὁμοούσιος ὁ Λόγος τῷ σώματι, οὐδὲν ἡνώθη αὐτὸ πρὸς ἑαυτό· ἡνώθη δὲ σώματι, οὐκ ἄρα ὁμοούσιος αὐτῷ. **234** Εἰ ὁμοούσιος τῷ Λόγῳ τὸ σῶμα, οὐκ ἐθεωρήθη καὶ ἐψηλαφήθη· ἀμφότερα γὰρ ἀόρατα καὶ ἀναφῆ, εἴπερ ὁμοούσια. Φησὶ δὲ Ἰωάννης· Ἐθεασάμεθα καὶ ἐψηλαφήσαμεν[15]· οὐκ ἄρα ὁμοούσιον τὸ πνεῦμα τοῦ Κυρίου καὶ τὸ σῶμα· ἀλλὰ τὸ ἀόρατον καὶ ἀναφὲς ὁρατῷ συνήφθη καὶ ἁπτῷ πρὸς ἑνότητα· διὸ καὶ ἐν τούτῳ ὁρατὸς καὶ ἁπτὸς γέγονεν. Ὁ λέγων σῶμα ὁμοούσιον τῷ Θεῷ,

14. Ἔνθ' ἀν. 15. Πρβλ. Α' Ἰω. 1,1.

βλασφημεῖ ⟨θεὸν⟩ ἀσώματον ὡς σῶμα ἔχοντα. Ὅτι ὁ Υἱὸς ὁμοούσιος τῷ Πατρὶ τὸ ἴδιον ἔχει καὶ ἑνωθεὶς σαρκί· καὶ οὐ διὰ τὸ ὁμοούσιος εἶναι τῷ Θεῷ μεμέρισται τοῦ ἰδίου σώματος, ἵνα μὴ τὸ σῶμα ὁμοούσιον νομισθῇ.

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν. Mai Scr. VII 310 λέγει γὰρ ὁ αὐτὸς Ἀπολλινάριος ἐν τοῖς γραφεῖσιν αὐτῷ συλλογισμοῖς τάδε·

113 μεσότητες γίνονται ἰδιοτήτων διαφόρων εἰς ἓν συνελθουσῶν ὡς ἐν ἡμιόνῳ ἰδιότης ὄνου καὶ ἵππου καὶ ἐν γλαυκῷ χρώματι ἰδιότης λευκοῦ καὶ μέλανος καὶ ἐν ἀέρι χειμῶνος καὶ θέρους ἰδιότης ἔαρ ἐργαζομένη· οὐδεμία δὲ μεσότης ἑκατέρας ἔχει τὰς ἀκρότητας ἐξ ὁλοκλήρου ἀλλὰ μερικῶς ἐπιμεμιγμένας· μεσότης δὲ Θεοῦ καὶ ἀνθρώπων ἐν Χριστῷ· οὐκ ἄρα οὔτε ἄνθρωπος ὅλος οὔτε Θεός, ἀλλὰ Θεοῦ καὶ ἀνθρώπου μῖξις.

Λεοντίου. 142 Τιμόθεος Πάλιν ἐν ἑτέρῳ λόγῳ συλλογιστικῷ συγκειμένῳ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην, οὗ ἡ ἀρχὴ «διὰ τοῦ Λόγου τὰ πάντα ἐγένετο[16] *κατὰ τὸν εὐαγγελιστὴν» φησὶν οὕτως·*

114 πῶς οὐ Θεὸς ἀληθινὸς ὁ λέγων «τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με Φίλιππε;»[17] τὴν ὡς ἀνθρώπου συνδιατριβὴν μετὰ ἀνθρώπων ἐν «τουσούτῳ χρόνῳ» δηλῶν καὶ τὸν ἄνθρωπον Θεὸν ἀποδεικνύς, ὥστε οὐκ αἰσχυντέον ὁμοούσιον τῷ Θεῷ τὸν τοιοῦτον ἄνθρωπον λέγειν, θεότητος εἴδει τῷ πατρικῷ γνωριζόμενον ὡς ἡ ὕλη τῷ σώματι.

Πάλιν ἐν τῷ ἑξῆς φησιν οὕτως·

235 115 οὔτε οὖν τὸ θεϊκὸν ἀνθρώπινον ποιεῖ τῇ διαιρέσει τῇ κατὰ τὸ σῶμα τὸ ἐν ἰσότητι τῇ πρὸς τὸν Θεὸν ποιητικῇ καὶ ἀνανεωτικῇ † ἀδύνατον εἶναι ἑτέραν φύσιν τὸ ἀνθρώπινον τοῦ Χριστοῦ κατὰ τὸ σῶμα ἐν τῇ πρὸς Θεὸν ἰσότητι περιορίζεσθαι ἀνθρώπου περιορισμῷ ὡς ἀνθρώπου σῶμα καὶ οὐ Θεοῦ.

Καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ συλλογιστικῷ, οὗ ἡ ἀρχὴ «τὸ διάφορον ἔχον ζωὴν διάφορον ἐνέργειαν» φησὶν οὕτως·

116 Ζωοποιεῖ δὲ ἡμᾶς ἡ σὰρξ αὐτοῦ διὰ τὴν συνουσιωμένην αὐτῇ θεότητα· τὸ δὲ ζωοποιὸν θεϊκόν· θεϊκὴ ἄρα ⟨ἡ⟩ σάρξ,

16. Πρβλ. Ἰω. 1,3. 17. Ἰω. 14,9.

ὅτι Θεῷ συνήφθη· καὶ αὕτη μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα μετέχοντες αὐτῆς ὥσπερεὶ τροφῆς· τὸ δὲ θρεπτικὸν ἐνεργὸν ὂν ἐν τῷ τρεφομένῳ ὁμοούσιον αὐτῷ καὶ οὐ τρεφόμενον ὁμοίως. Καὶ εἰ τὸ ζωοποιὸν οὐ ζωοποιούμενόν ἐστιν ὁμοίως τῷ ζωοποιουμένῳ, οὐχ ὁμοούσιον αὐτῷ· ἦ γὰρ ἂν ἦν σῶμα θανάτου ὡς τὸ ἡμέτερον ζωοποιεῖσθαι δεόμενον· οὐ σῶμα δὲ θανάτου[18] ἀλλὰ ζωῆς τὸ σῶμα τοῦ Χριστοῦ· οὐκ ἄρα ὁμοούσιον ἀνθρωπίνῳ τὸ θεῖον.

ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ

242 Θεοῦ ἐνεργήσαντος ἀνθρώπῳ ἀποτελεῖται προφήτης ἤγουν Ἀπόστολος, οὐ σωτὴρ κόσμου. Χριστὸς δὲ Σωτὴρ κόσμου[19]· οὐκ ἄρα Θεοῦ ἐνεργήσαντος ἀνθρώπῳ ἀπετελέσθη Χριστός. 2 Πᾶς ἄνθρωπος μέρος κόσμου καὶ οὐδὲν μέρος κόσμου αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑφ' ἧ καὶ αὐτὸς κεῖται. Χριστὸς δὲ αἴρει[20]· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός.

243 3 Πᾶς ἄνθρωπος ὑπὸ θάνατον, καὶ οὐδεὶς ὑπὸ θάνατον ὢν καταργεῖ θάνατον[21]. Χριστὸς δὲ καταργεῖ· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 4 Πᾶς ἄνθρωπος χοϊκός[22], Χριστὸς δὲ οὐ χοϊκός, ἀλλ' ἐπουράνιος· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός, εἰ μὴ ὁμωνύμως τὸ αὐτὸ τοῦτο ἄνθρωπος. 5 Ὁ διδοὺς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι[23] οὐχὶ καὶ αὐτὸς γέγονεν. Χριστὸς δὲ δίδωσιν. Οὐκ ἄρα γέγονεν Υἱός, ἀλλ' ἔστι τῇ φύσει. 6 Οὐδεὶς ἀνθρώπων προϋπάρχει τῶν πρεσβυτέρων αὐτοῦ. Χριστὸς δὲ προϋπάρχει[24] τῶν κατὰ σάρκα πρεσβυτέρων· οὐκ ἄρα ἄνθρωπος εἰ μὴ κατὰ σάρκα πρεσβυτέρων· οὐκ ἄρα ἄνθρωπος εἰ μὴ κατὰ σάρκα. 7 Οὐδεὶς ἀνθρώπων πρὸ τῶν αἰώνων ἔχει δόξαν. Χριστὸς δὲ ἔχει[25]· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 8 Εἰ ὁ Θεὸς ἐν Ἰησοῦ, οὐ δι' αὐτοῦ τὰ πάντα, ἀλλὰ διὰ τὸν ἐν αὐτῷ. Δι' αὐτοῦ δὲ τὰ πάντα[26]· οὐκ ἄρα Θεὸς ἐν Ἰησοῦ, ἀλλ' αὐτὸς Θεός ἐστιν. 9 Ὁ ἐξ ἁμαρτίας σῴζων ὑπὲρ ἁμαρτίαν ἐστίν· καὶ σώζει Χριστός[27]·

18. Πρβλ. Ρωμ. 7,24. 19. Πρβλ. Ἰω. 4,42. 20. Πρβλ. Ἰω. 1,29. 21. Πρβλ. Α΄ Κορ. 15,26. 22. Πρβλ. Α΄ Κορ. 15,47. 23. Πρβλ. Ἰω. 1,12. 24. Πρβλ. Ἰω. 8,58. 25. Πρβλ. Ἰω. 17,5. 26. Πρβλ. Α΄ Κορ. 8,6. 27. Πρβλ. Ματθ. 1,21.

οὐδεὶς δὲ ἀνθρώπων ὑπὲρ ἁμαρτίαν· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 10 Πᾶς ἄνθρωπος διάστασιν ἔχει σαρκὸς πρὸς νοῦν[28]. Χριστὸς δὲ οὐκ ἔχει· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 11 Πᾶς ἄνθρωπος νεκροῖ τὴν σάρκα[29] πρὸς τὸ τελειωθῆναι κατ' ἀρετήν. Χριστὸς δὲ οὔ· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 12 Οὐδενὸς ἀνθρώπου ἡ σὰρξ ἐξ οὐρανοῦ λέλεκται. Χριστοῦ δὲ ἡ σὰρξ οὐρανοῦ εἴρηται[30]· ὐκ ἄρα ἄνθρωπος ὁ Χριστὸς κατὰ τὴν θεότητα τὴν προσλαβοῦσαν τὴν σάρκα. Οὕτως οὖν καὶ ἐξ οὐρανοῦ λέγεται διὰ τὸ ἡνῶσθαι τῷ ἐξ οὐρανοῦ. 13 Οὐδεὶς ἀνθρώπων ζωογονεῖ· οὐ γάρ ἐστι Χριστός. Χριστὸς δὲ ζωογονεῖ[31]· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 14 Οὐδενὶ ἀνθρώπων ἁρμόζει ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα[32] καὶ ἡ δόξα ἡ τοῦ μόνου Θεοῦ. Χριστῷ δὲ ἁρμόζει· οὐκ ἄρα ἄνθρωπος ὁ Χριστός. 15 Εἰ Θεὸς ἐν ἀνθρώπῳ κατῴκησεν, οὐκ ἐκενώθη. Ἐκενώθη δὲ ὁ **244** ἐν μορφῇ Θεοῦ μορφὴν δούλου λαβών[33]· οὐκ ἄρα ἐν ἀνθρώπῳ κατῴκησεν. 16 Θεὸς ἐν ἀνθρώπῳ κατοικῶν οὐκ ἔστιν ἄνθρωπος· πνεῦμα δὲ σαρκὶ ἡνωμένον ἄνθρωπός ἐστιν· ἄνθρωπος Χριστός, ὡς εἴρηται, ὁμωνύμως· πνεῦμα ἄρα θεῖον ἐστὶν ἡνωμένον σαρκί.

17 Ἀνθρώπου τὸ ἀναστῆναι ἐκ νεκρῶν, Θεοῦ δὲ τὸ ἀναστῆσαι. Ἑκάτερα δὲ Χριστός· Θεὸς ἄρα καὶ ἄνθρωπος ὁ αὐτός. 18 Εἰ μόνον ἦν ἄνθρωπος ὁ Χριστὸς ἢ εἰ μόνον Θεός, οὐκ ἂν ἦν μέσος Θεοῦ καὶ ἀνθρώπων. 19 Εἰ μόνον ἄνθρωπος ὁ Χριστός, οὐκ ἂν ἔσωζε κόσμον, καὶ εἰ μόνον Θεός, οὐκ ἂν διὰ πάθους ἔσωζεν. Ἑκάτερα δὲ Χριστός· καὶ Θεὸς ἄρα ἐστὶ καὶ ἄνθρωπος. 20 Εἰ μόνον ἄνθρωπος ἦν ὁ Χριστός, οὐκ ἂν ἐζωοποίει τοὺς νεκρούς[34], καὶ εἰ μόνον Θεός, οὐκ ἂν ἰδίᾳ παρὰ τὸν Πατέρα ἐζωοποίει τινὰς τῶν νεκρῶν. Ἑκάτερα δὲ Χριστός· Θεὸς ἄρα καὶ ἄνθρωπος ὁ αὐτός. 21 Ἄνθρωπος ὑπὸ Θεοῦ ἐνεργούμενος οὐ Θεός, σῶμα δὲ συναφθὲν Θεῷ Θεός. Θεὸς δὲ ὁ Χριστός· οὐκ ἄρα ὑπὸ Θεοῦ ἐνεργούμενος ἄνθρωπος, ἀλλὰ σῶμα πρὸς Θεὸν συντεθέν. 22 Εἰ Θεοῦ ναὸς ἐγεννήθη ἐκ τῆς Μαρίας, περιττὴ ἡ καινότης τῆς ἐκ Παρθένου γεννήσεως. Ναοὶ γὰρ Θεοῦ[35] καὶ ἄνευ ταύτης ἄνθρωποι. 23 Εἰ ἡ αὐτὴ φύσις

28. Πρβλ. Ρωμ. 7,23. 29. Πρβλ. Κολ. 3,5. 30. Πρβλ. Ἰω. 3,13. 31. Πρβλ. Α΄ Κορ. 15,22. Ἰω. 5,21. Α΄ Τιμ. 6,13. 32. Πρβλ. Φιλιπ. 2,9. 33. Πρβλ. Φιλιπ. 2,7. 34. Πρβλ. Ρωμ. 4,17. 35. Πρβλ. Α΄ Κορ. 3,16-17.

Χριστοῦ, οἷα καὶ ἡ ἡμῶν, ὁ παλαιὸς ἐστιν ἄνθρωπος, ψυχὴ ζῶσα καὶ οὐ **245** πνεῦμα ζωοποιοῦν, καὶ ὁ τοιοῦτος οὐδὲ ζωοποιήσει. Ζωοποιεῖ δὲ Χριστὸς[36] καὶ Πνεῦμα ζωοποιοῦν ἐστιν· οὐκ ἄρα τῆς ἡμετέρας ἐστὶ φύσεως. 24 Διὰ τὴν ἑαυτοῦ φύσιν ζῇ Χριστὸς ἢ διὰ χάριν Θεοῦ; Εἰ μὲν διὰ τὴν ἑαυτοῦ φύσιν, Θεός ἐστιν· εἰ δὲ διὰ χάριν Θεοῦ, οὔτε ὑπὲρ ἡμᾶς ἐστιν οὔτε ζωοποιήσει ἡμᾶς. 25 Εἰ μὲν ὡς προαιρέσει καλλίων, τοῦτο δεδύνηται πῶς; Προαίρεσις γὰρ ἀνθρώπου δικαιοσύνην ἀληθινὴν οὐ κατορθοῖ. Εἰ δὲ ὡς φύσει δίκαιος, Θεός ἐστιν. Εἰ δὲ ὡς ἐνεργείᾳ δικαιούμενος τῇ ἐκ Θεοῦ, αὐτὸς δὲ ἀνενέργητος, καλλίους οἱ ἐνεργοῦντες. 26 Εἰ συμπέπλεκται Θεῷ ἄνθρωπος ἐν Χριστῷ, αὐτὸς ἀφ' ἑαυτοῦ ἐνομοθέτει ἢ οὔ; Ἀλλ' εἰ μὲν ἀφ' ἑαυτοῦ, Θεός, εἰ δὲ οὐκ ἀφ' ἑαυτοῦ, πῶς οὐκ ἔλεγεν, «Τάδε λέγει Κύριος»[37], ἀλλ' «Ἐγὼ λέγω ὑμῖν»[38]; πῶς δὲ οὐκ ἦν κεχωρισμένος τοῦ λέγοντος ὁ μὴ λέγων. 27 Ἔτι δὲ ἢ αὐτὸς ἐτέλει τὰ τεράστια ἢ οὔ; ἀλλ' εἰ μὲν ἐτέλει, οὐκ ἦν ἄνθρωπος, εἰ δὲ μή, πῶς λέγει τελεῖν ἢ πῶς ὁ αὐτὸς τῷ τελοῦντι; 28 Προσκυνεῖται ὑπὸ ἀγγέλων[39] ὁ ἄνθρωπος ἢ οὔ; ἀλλ' εἰ μὲν οὐ προσκυνεῖται, πῶς ἥνωται καὶ ἀποστέλλει ὁ Υἱὸς ⟨τοῦ ἀνθρώπου⟩ τοὺς ἀγγέλους αὐτοῦ[40]; εἰ δὲ προσκυνεῖται διὰ τὸ ἐν αὐτῷ θείαν ἐνοικῆσαι δύναμιν, πῶς ὑπὸ τῶν ἀεὶ θείαν ἐχόντων δύναμιν ἐνοικοῦσαν; καὶ ἡμεῖς δὲ προσκυνήσομεν τὸν ἄνθρωπον ἢ οὔ; ἀλλ' εἰ μὲν οὐ προσκυνήσομεν, πῶς ἡνῶσθαι νομιοῦμεν αὐτὸν καὶ πῶς εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα[41]; Εἰ δὲ προσκυνήσομεν ὥσπερ τὸν Θεὸν οὕτω καὶ τὸν ἄνθρωπον, ἀσεβήσομεν κτίσμα κτίστῃ ἐν ἴσῳ τιθέντες. Καὶ εἰ κριτὴν προσδοκῶμεν τὸν ἄνθρωπον μετὰ τοῦ Θεοῦ φωτίζοντα τὰ κρυπτὰ τοῦ σκότους[42], τὴν τοῦ Θεοῦ κρίσιν ἀναθήσομεν ἀνθρώπῳ. Εἰ δὲ μή, πῶς ἔδωκεν αὐτῷ ὁ Πατὴρ ἐξουσίαν κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν[43], καὶ πῶς ἥνωται τῷ κρίνοντι; 29 Ἄνθρωπος Θεῷ παραζευχθεὶς ἕτερος παρὰ τὸν Θεόν ἐστι ταῖς ζωτικαῖς κινήσεσι λογιστικαῖς **246** τε καὶ παθητικαῖς. Καὶ πάσχων ὡς ἕτερος πάσχει καὶ προσκυνούμενος ὡς ἕτερος προσκυνεῖται. Σὰρξ δὲ Θεοῦ ζωῆς ὄργανον ἁρμοζόμενον τοῖς πάθεσι πρὸς τὰς θείας βουλάς, καὶ οὔτε λόγοι σαρκὸς ἴδιοι οὔτε πράξεις, καὶ τοῖς πάθεσιν ὑποβαλλομένη κατὰ τὸ σαρκὶ προσῆκον ἰσχύει κατὰ τῶν παθῶν διὰ τὸ Θεοῦ εἶναι σάρξ, ὥστε καὶ κατάρξαι τῆς ἀπαθείας τοῖς οὐχ ὁμοίοις μέν, ὁμοζῴοις δὲ σώμασιν. Καὶ προσκυνεῖται ὡς Θεοῦ σάρξ, Θεοῦ ὄντος οὕτω τοῦ προσκυνουμένου, καὶ συνάφειαν ἡμῖν δίδωσιν οὗ ἐστι σῶμα, καὶ προσκυνεῖται οὐχ ὡς κτίσμα, ὅτι μηδὲν κτίσμα μέρος Θεοῦ. Οἱ ἄρα σάρκα λαβεῖν τὸν Θεὸν πιστεύσαντες καὶ τῶν εὐεργεσιῶν τυγχάνουσι καὶ οὐκ εἰς ἕτερον μεταπίπτουσιν, ὧν τὰ ἐναντία ἔχουσιν οἱ ἄνθρωπον παραζεῦχθαι λέγοντες Θεῷ. 30 Εἰ σὰρξ ὡς ἐπιστρατευομένη τῷ νῷ κεχώρισται τοῦ νοῦ κατὰ τὸν Ἀπόστολον[44], ὁ τὴν σάρκα λαβὼν Θεὸς ἀπὸ ταύτης ἔχει τὰς ἐπιστρατευομένας ἐπὶ νοῦν κινήσεις, αὐτῷ δὲ μὴ ὑποταττομένας ὡς ἀνταγωνιστῇ τῷ νῷ. Εἰ δὲ τοῦτο, οὐκ αὐτὸς ὁ πάσχων καθὸ Θεός.

36. Πρβλ. Α' Κορ. 15,22. 37. Ἀμὼς 1,6. 38. Ματθ. 5,22. 39. Πρβλ. Ἑβρ. 1,6. 40. Πρβλ. Ματθ. 24,31. 41. Πρβλ. Ρωμ. 6,3. 42. Πρβλ. Α' Κορ. 4,5. 43. Πρβλ. Ἰω. 5,27.

ΛΟΓΟΙ

248 *Λεοντίου Βυζαντίου 140-141 Τιμόθεος. Καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ οὗ ἡ ἀρχή·* «Σὰρξ καὶ τὸ σαρκὸς ἡγεμονικὸν ἓν πρόσωπον» *τάδε φησίν·*

153 Ἀναμάρτητος οὖν ὁ Κύριος Ἰησοῦς Χριστὸς ὡς Θεὸς καὶ μετὰ τῆς σαρκὸς ὁμοούσιος τῷ μόνῳ Θεῷ, προαιώνιος Δημιουργός· ἡ δὲ σὰρξ ὡς Θεοῦ σὰρξ Θεός, ὡς ὁμοουσίου τῷ Θεῷ, μέρος ἡνωμένον αὐτῷ ὁμοούσιον τῷ Θεῷ οὐ κεχωρισμένον· οὐδὲ γὰρ κεχωρισμένως οὐδὲ κινεῖται ἰδιαζόντως ὥσπερ ἄνθρωπος ζῷον αὐτενέργητον· ὁ μὲν γὰρ Θεὸς κοινωνίᾳ τῆς σαρκὸς ὁ μὴ ὢν καθ' ἑαυτὸν ἄνθρωπος, ἡ δὲ σὰρξ κοινωνίᾳ τοῦ Θεοῦ ἡ μὴ οὖσα καθ' ἑαυτὴν Θεός. Καὶ τὰ μὲν σαρκὶ ἐπόμενα πάντα ἑνότητι σαρκὸς ἴσχει ὁ Θεός, τὰ δὲ Θεοῦ ἴδια τῇ πρὸς Θεὸν ἑνώσει προσλαμβάνει ἡ σάρξ.

141 Πάλιν ἐν ἑτέρῳ λόγῳ οὗ ἡ ἀρχὴ «οὐχ ἡδονὴ κρεοφαγίας παρὰ Θεῷ» *φησὶν οὕτως·*

44. Πρβλ. Ρωμ. 7,23.

154 Οὐ μὴν ὅτι τὸ συναμφότερον ἐξ οὐρανοῦ, ἀλλ' ἡνωμένον τῷ οὐρανίῳ καὶ πρόσωπον ἓν μετ' αὐτοῦ γεγονὸς οὐράνιον κατὰ τὴν ἕνωσίν ἐστιν καὶ ὡς οὐράνιον προσκυνεῖται τῇ τοῦ οὐρανίου Θεοῦ προσκυνήσει καὶ ὡς οὐράνιον σώζει τῇ τοῦ οὐρανίου δυνάμει.

249 *πάλιν ἐν ἑτέρῳ λόγῳ οὗ ἡ ἀρχὴ «δοξάζομεν πρεπόντως τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν» φησὶν οὕτως περὶ τὸ τέλος·*

155 ζῶν δὲ Χριστὸς σῶμα θεόπνουν καὶ πνεῦμα ἐν σαρκὶ θεϊκόν, νοῦς οὐράνιος, οὗ μετασχεῖν εὐχόμεθα κατὰ τὸ «ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν»[45], σάρξ ἁγία θεότητι συμφυὴς καὶ τοῖς μετέχουσιν αὐτῆς ἐνιδρύουσα θεότητα, θεμέλιος αἰωνίου ζωῆς, ἀρχηγὸς ἀφθαρσίας ἀνθρώποις, αἰωνίου κτίσεως Δημιουγός, τοῦ μέλλοντος αἰῶνος Πατήρ.

146 Πάλιν ἐν λόγῳ οὗ ἡ ἀρχὴ «τὸ πίστεως ἀγαθὸν φυλάξωμεν» φησὶν οὕτω περὶ τὰ τέλη·

156 Ἄθλιοι δὴ καὶ ὄντως ταπεινοὶ τὰς ψυχὰς οἱ τὸ οὕτω σεμνὸν καὶ μέγα καὶ ὑπερκόσμιον σκεύασμα μικρὸν ἡγούμενοι.

ΔΙΑΛΟΓΟΙ

Λεοντίου Βυζαντίου 145 Τιμόθεος πάλιν ἐν διαλόγῳ οὗ ἡ ἀρχὴ «Θεὸν ἢ ἄνθρωπον λέγεις τὸν Χριστὸν» *μετ' ὀλίγα τὰ πρῶτα ἐρωτήσαντος τοῦ δι' ἐναντίας·*

157 Καὶ πῶς τὸ σῶμα Θεὸς καὶ Δημιουργὸς καὶ Δεσπότης;

Ἀπεκρίνατο εἰπών

ὅτι Θεοῦ σῶμα καὶ Δημιουργοῦ καὶ Δεσπότου τὴν ἑνότητα ἔχον, ἣν οὐχ εὑρήκαμεν οὖσαν ἀνθρώπου πρὸς Θεόν.

ΟΤΙ ΘΕΟΣ ΕΝΣΑΡΚΟΣ Ο ΧΡΙΣΤΟΣ

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν. 310 Εἶτα πάλιν ἐν τῷ λόγῳ αὐτοῦ τῷ ἐπιγεγραμμένῳ «ὅτι Θεὸς ἔνσαρ-

45. A' Kορ. 2,16.

κος ὁ Χριστὸς» κατὰ πεῦσιν καὶ ἀπόκρισιν τὸν διάλογον ποιούμενος ἐπερωτηθείς·

158 Τί οὖν; οὐχὶ καὶ Θεὸς καὶ ἄνθρωπός ἐστιν ὁ Χριστός; ἢ Θεὸν σὺ λέγεις τὸν Χριστὸν ἀρνούμενος αὐτὸν καὶ ἄνθρωπον εἶναι;

Λέγει τάδε·

Οὐκ ἐν δύο οὐσίαις ἀλλ' ἐν μιᾷ.

ΠΡΟΣ ΣΑΡΑΠΙΩΝΑ

253 *Λεοντίου, 129 Οὐαλεντῖνος. Τοῦ κυρίου Ἀπολλιναρίου ἐκ τῆς πρὸς Σαραπίωνα ἐπιστολῆς·*

159 Ἐδεξάμην τὸ γράμμα τῆς ἀγάπης σου, δέσποτα, καὶ εἰς **254** ὅπερ ἐζήτει πρᾶγμα ὁ κομίσας τὴν ἐπιστολὴν τὰ δυνατὰ συνεπράξαμεν αὐτῷ. Τὴν δὲ ἐπιστολὴν τοῦ δεσπότου μου τὴν εἰς Κόρινθον ἀποσταλεῖσαν σφόδρα ἀπεδεξάμεθα· τῶν δὲ εἰπόντων ὁμοούσιον Θεῷ τὴν σάρκα, πολλὴν μανίαν κατέγνωμεν.

Καὶ πάλιν ἀπὸ τῆς αὐτῆς ἐπιστολῆς·

160 Τῇ γὰρ ἑνώσει τῇ πρὸς τὸν Λόγον θεία ἡ σάρξ, οὐ τῇ φύσει· ὥστε ἐν τῇ ἑνώσει καὶ τὸ διαμένειν ἔχει, καθάπερ αὐτός φησι «τὸ Πνεῦμα εἶναι τὸ ζωοποιοῦν»[46] τὴν σάρκα. Οὐ γὰρ δὴ καὶ ἀσώματον γενέσθαι σῶμα δυνατόν, ὥσπερ ἀφρόνως ἕτεροι λέγουσιν.

Λεοντίου Βυζαντίου, 138 Τιμόθεος ὁ Βηρυτοῦ πρὸς Ὁμόνιον. Ὁ ἀδελφὸς Ἀγάπιος ἐλθὼν πρὸς ἡμᾶς καὶ ἐπακούσας τοῦ τόμου τοῦ συντεθέντος παρ' ἡμῶν περὶ τῆς θείας σαρκώσεως τοῦ Λόγου ἐκ διαφόρων λόγων τῶν τοῦ τρὶς μακαρίου διδασκάλου ἡμῶν ἐπισκόπου Ἀπολλιναρίου παρεκάλεσεν μέρος λαβόντας ἐξ αὐτοῦ ἰδίως ἐκθέσθαι αὐτῷ μεθ' ὑπογραφῆς ἡμετέρας πρὸς πληροφορίαν ὑμῶν· καὶ ἐποιήσαμεν τοῦτο λαβόντες ἐκ τῆς πρὸς Σαραπίωνα γραφείσης ἐπιστολῆς τάδε·

161 Καλῶς οὖν λέγεις καὶ αὐτὸς «οὐκ ἴσον ἡμεῖς καὶ ὁ

46. Ἰω. 6,63.

Χριστός»· τὸ δὲ λέγειν ὅτι «οὐχ ὁμοούσιος ἡμῖν ἡ σὰρξ ἐπειδὴ Θεοῦ σὰρξ» ὀλίγης χρῄζει διαρθρώσεως. Ἄμεινον γὰρ λέγειν ὅτι φύσει μὲν ὁμοούσιον ἡμῖν σάρκα προσείληφεν, ἑνώσει δὲ θείαν ἀπέδειξεν· αὐτὸ δὲ καὶ σὺ λέγεις ὅτι «κατὰ τοῦτο οὐχ ὁμοούσιος ἡμῖν, ἐπειδὴ Θεοῦ σάρξ», ἀλλ' οὕτω μᾶλλον διηρθρωμένως ἂν λέγοιτο φύσει μὲν ὁμοούσιον ἡμῖν εἶναι τὴν σάρκα, ἑνώσει δὲ θείαν καὶ διὰ τῆς ἑνώσεως ἔχουσαν τὸ διάφορον.

Ταῦτα δὲ δεξάμενος ὁ προειρημένος ἀδελφὸς καὶ ἐλθὼν πρὸς ὑμᾶς ἐπέδειξεν ὑμῖν.

ΠΡΟΣ ΤΕΡΕΝΤΙΟΝ

Λεοντίου Βυζαντίου, 130 Οὐαλεντῖνος καὶ ἀπὸ τῆς πρὸς Τερέντιον ἐπιστολῆς·

162 Καὶ αἰτιᾶται μὲν ὁ Ἰωάννης τὸν λύοντα τὸν Ἰησοῦν, οὗτοι δὲ λύουσιν ἄντικρυς, ὁμολογοῦντες τὴν πρὸς τὸ σῶμα **255** συνάφειαν. Οὐ γὰρ αὐτὸ ἑαυτῷ συνάπτεται οὐδὲ ὁμοούσιον ὁμοουσίῳ, καθάπερ οὗτοι λέγειν οὐκ ὤκνησαν. Οὐδὲ γὰρ σύνθεσις οὔτε συνάφεια αὕτη· ὅτι μηδὲν αὐτὸ ἑαυτῷ συνάπτεται, ἀλλ' ἕτερον ἑτέρῳ τὸ συναπτόμενον· Εἰ δὲ ὁμοούσιος μὲν ὁ Λόγος τῷ σώματι, ὁμοούσιον δὲ τὸ σῶμα τῷ Λόγῳ, ἀόρατα δήπου ἑκάτερα κατὰ τὸ οὐδεὶς εἶδεν Θεὸν οὔτε ἰδεῖν δύναται[47]. Οὐκ ἄρα ἐφανερώθη κατὰ τοῦτο οὐδὲ ἐψηλαφήθη ἀφανὴς ὤν, οὐδὲ ἀληθὴς Ἰωάννης λέγων «ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν»[48].

Καὶ πάλιν ἀπὸ τῆς ἐπιστολῆς·

163 Εἰ δέ τις ἢ δύο πρόσωπα λέγει τὸν Υἱὸν ἢ τὴν σάρκα ὁμοούσιον τῷ Θεῷ καὶ οὐ τῇ ἡμετέρᾳ σαρκὶ ἢ ἐξ οὐρανοῦ καταβεβηκυῖαν καὶ μὴ τῷ ἐξ οὐρανοῦ προσειλημμένην, παθητὴν λέγων τὴν θεότητα, ἀναθεματιζέσθω.

47. Πρβλ. Ἰω. 1,18. Α' Τιμ. 6,16. 48. Α' Ἰω. 1,1.

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΔΙΟΚΑΙΣΑΡΕΙᾼ ΕΠΙΣΚΟΠΟΥΣ

Λεοντίου Βυζαντίου, 146 Ἀπολλιναρίου. Ἐκ παλαιοῦ ἀντιγράφου εὑρεθέντος ἐν τῇ βιβλιοθήκῃ τοῦ τῆς Σιδωνίων θεοφιλεστάτου ἐπισκόπου Ἀνδρέου.

Κυρίοις μου τιμιωτάτοις ἐπισκόποις τοῖς ἐν Διοκαισαρείᾳ ἐν Κυρίῳ χαίρειν·

Προσεδοκῶμεν, γράμματα τιμῆς ἀποστείλαντες, ὁμοίως τεύξεσθαι παρὰ τῆς ὑμετέρας ἀγάπης, κύριοι τιμιώτατοι, οἵων ἀεὶ παρὰ τοῦ μακαρίου ἐπισκόπου Ἀθανασίου, εἰδότος ἡμᾶς καὶ τοῖς δόγμασι συμφώνους αὐτῷ καὶ περὶ πάντα πειθηνίους. Ἐπεὶ δὲ οὐκ ἀντεγράψατε διὰ τοῦτο λογισάμενοι μήποτε τὸ μῆκος τῆς ἐπιστολῆς οὐ σαφῆ τὴν γνώμην ἡμῶν κατέστησεν ὑμῖν, ἰδοὺ σαφῶς γράφομεν ἀκόλουθα τῷ κοινῷ διδασκάλῳ ὑμῶν τε καὶ ἡμῶν· λέγω δὲ ταῦτα περὶ τῆς θείας σαρκώσεως, **256** ἐπειδὴ τούτων ἕνεκα πολὺς θόρυβος, οὐκ ἐξ ἡμῶν κινηθεὶς ἀλλ' ἐξ ἑτέρων περὶ ὧν σιωπῶ·

2 Ἡμεῖς ὁμολογοῦμεν οὐκ εἰς ἄνθρωπον ἅγιον ἐπιδεδημηκέναι τὸν τοῦ Θεοῦ Λόγον, ὅπερ ἦν ἐν προφήταις, ἀλλ' αὐτὸν τὸν Λόγον σάρκα γεγενῆσθαι μὴ ἀνειληφότα νοῦν ἀνθρώπινον, νοῦν τρεπόμενον καὶ αἰχμαλωτιζόμενον λογισμοῖς ῥυπαροῖς, ἀλλὰ θεῖον ὄντα νοῦν ἄτρεπτον οὐράνιον· διὸ καὶ οὐ σῶμα ἄψυχον οὐδὲ ἀναίσθητον οὐδὲ ἀνόητον εἶχεν ὁ Σωτήρ, οὐδὲ γὰρ οἷόν τε ἦν τοῦ Κυρίου δι' ἡμᾶς ἀνθρώπου γεγενημένου ἀνόητον εἶναι τὸ σῶμα αὐτοῦ· Υἱός τε ὢν ἀληθῶς τοῦ Θεοῦ γέγονε καὶ Υἱὸς ἀνθρώπου, καὶ μονογενὴς ὢν Υἱὸς τοῦ Θεοῦ γέγονεν ὁ αὐτὸς καὶ «πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς»[49]· διὸ οὐδὲ ἕτερος ἦν ὁ πρὸ Ἀβραὰμ Υἱὸς τοῦ Θεοῦ, ἕτερος δὲ ὁ μετὰ Ἀβραάμ, ἀλλ' εἷς τέλειος τοῦ Θεοῦ μονογενής· τέλειος δὲ θείᾳ τελειότητι καὶ οὐκ ἀνθρωπίνῃ· τοῖς ταῦτα φρονοῦσιν ὁμολογοῦμεν κοινωνεῖν· τοῖς δὲ τἀναντία φρονοῦσι καὶ γράφουσιν οὐ κοινωνοῦμεν.

49. Ρωμ. 8,29.

ΠΡΟΣ ΔΙΟΝΥΣΙΟΝ Β΄

262 *Λεοντίου Βυζαντίου, 129 Οὐαλεντῖνος. Ἀπὸ τῆς πρὸς Διονύσιον ἐπιστολῆς ἧς ἡ ἀρχὴ (ἐμοὶ καὶ φιλίας ὑπόθεσις κτλ.)·*

164 Ἐμοὶ καὶ φιλίας ὑπόθεσις ἡ εὐσέβεια καὶ ἔχθρας οὐδεμία πρόφασις πρὸς τοὺς εὐσέβειαν φυλάττοντας. Μηδὲν παρ' ἐμοῦ καινὸν ζητείτω τις νῦν μηδ' ἀποσιώπησιν τῆς ἀληθείας ἀπαιτείτω ὡς ἐκ ταύτης εἰρήνην κατασκευάζων· ὅτι δὲ ἡμῖν οὐδεὶς ἐπάγειν δύναται ταῦτα τὰ κατά τινων λεγόμενα, δῆλόν ἐστιν ἐξ ὧν ἀεὶ γεγράφαμεν, οὔτε τὴν σάρκα τοῦ Σωτῆρος ἐξ οὐρανοῦ λέγοντες οὔτε ὁμοούσιον τῷ Θεῷ τὴν σάρκα καθό ἐστι σὰρξ καὶ οὐ Θεός, Θεὸς δὲ καθ' ὅσον εἰς ἕν πρόσωπον ἥνωται τῇ θεότητι.

Λεοντίου Βυζαντίου, 141 Τιμόθεος καὶ ἐκ τῆς πρὸς Διονύσιον ἐπιστολῆς ἧς ἡ ἀρχὴ «ἐμοὶ καὶ φιλίας ὑπόθεσις ἡ εὐσέβεια» μετ' ὀλίγα φησὶν οὕτως· ὅτι δὲ ἡμῖν οὐδεὶς ἐπάγειν δύναται ταῦτα κατά τινων λεγόμενα, δῆλόν ἐστιν ἐξ ὧν ἀεὶ γράφομεν· οὔτε τὴν σάρκα τοῦ Σωτῆρος ἐξ οὐρανοῦ λέγοντες οὔτε ὁμοούσιον τῷ Θεῷ, καθ' ὅσον ἐστὶ σὰρξ καὶ οὐ Θεός· Θεὸς δὲ καθ' ὅσον εἰς ἓν πρόσωπον ἥνωται θεότητι.

ΤΟΜΟΣ ΣΥΝΟΔΙΚΟΣ

Λεοντίου Βυζαντίου, 131 Οὐαλεντῖνος καὶ πάλιν ὁ αὐτὸς

Ἀπολλινάριος καὶ οἱ σὺν ἐμοὶ τάδε φρονοῦμεν περὶ τῆς θείας σαρκώσεως·

Σάρκα ὁμοούσιον τῇ ἡμετέρᾳ σαρκὶ προσείληφεν ἀπὸ τῆς Μαρίας ὁ τοῦ Θεοῦ ζῶν Λόγος καθ' ἕνωσιν τὴν πρὸς θεότητα ἐκ τῆς πρώτης συλλήψεως τῆς ἐν τῇ Παρθένῳ καὶ **263** οὕτως ἄνθρωπος γέγονεν· ὅτι σὰρξ καὶ πνεῦμά ἐστι ὁ ἄνθρωπος κατὰ τὸν Ἀπόστολον[50]· καὶ τοῦτό ἐστιν τὸ γενέσθαι σάρκα τὸν Λόγον τὸ ἑνωθῆναι πρὸς σάρκα ὡς τὸ ἀνθρώπειον πνεῦμα· καλεῖται γὰρ καὶ ὁ καθ' ἡμᾶς ἄνθρωπος σάρξ. Ὁ δὲ Κύριος ὑπὲρ ἡμᾶς ἄνθρωπος· διὸ καὶ ἐπουράνιος ἕνεκα τοῦ ἰδίου πνεύματος ἐπουρανίου τυγχάνοντος[51]· ᾧ τὸ φρόνημα τῆς σαρκὸς οὐκ ἀντετάξατο. Καὶ οὕτως ἐλύετο ἐν Χριστῷ ἡ ἁμαρτία καὶ κατελύθη ὁ ἐκ τῆς ἁμαρτίας θάνατος καὶ ἡμεῖς μετέχοντες τοῦ κατορθώματος πίστει σωζόμεθα καὶ (ἐν) ὁμοιώσει τῇ πρὸς τὸν ἐπουράνιον γινόμεθα ὄντες χοϊκοῦ πατρός· ἀνάθεμα οὖν ὁ μὴ λέγων ἐκ τῆς Μαρίας τὴν σάρκα καὶ τῆς ἀκτίστου φύσεως λέγων αὐτὴν καὶ ὁμοούσιον τῷ Θεῷ· ἀλλὰ καὶ ὁ λέγων τὴν θεότητα παθητὴν καὶ ἐξ αὐτῆς τὰ πάθη τὰ ψυχικά.

Γρηγορίου Ναζιανζηνοῦ, Ἐπιστολὴ 202, πρὸς Νεκτάριον (B.E.Π. 60,319,15 ἑξ.)

165 οὐκ ἄκαιρον ἴσως ἀκοῦσαί σου τὴν σεμνοπρέπειαν, ὅτι μοι πυκτίον ἦλθεν ἐν χερσὶ τοῦ Ἀπολλιναρίου, ἐν ᾧ τὰ κατασκευαζόμενα πᾶσαν αἱρετικὴν κακίαν παρέρχεται. Διαβεβαιοῦται γὰρ μὴ ἐπίκτητον εἶναι τὴν σάρκα κατ' οἰκονομίαν ὑπὸ τοῦ μονογενοῦς Υἱοῦ προσληφθεῖσαν ἐπὶ μεταστοιχειώσει τῆς φύσεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς ἐν τῷ Υἱῷ τὴν σαρκώδη ἐκείνην φύσιν εἶναι. Καὶ κακῶς ἐκλαβὼν εὐαγγελικήν τινα ῥῆσιν εἰς μαρτυρίαν τῆς τοιαύτης ἀτοπίας προβάλλεται λέγων ὅτι «οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ (ὁ) ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου»[52]. Ὡς καὶ πρὶν τοῦ κατελθεῖν αὐτὸν υἱὸν ἀνθρώπου εἶναι καὶ κατελθεῖν ἰδίαν ἐπαγόμενον σάρκα ἐκείνην, ἣν ἐν τοῖς οὐρανοῖς ἔχων ἐτύγχανε προαιώνιόν τινα καὶ συνουσιωμένην. Λέγει γὰρ πάλιν ἀποστολικήν τινα ῥῆσιν τοῦ ὅλου σώματος τῆς συμφράσεως ἀποκνίσας ὅτι «ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ»[53]. Εἶτα κατασκευάζει τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἄνωθεν ἥκοντα τὸν νοῦν μὴ ἔχειν, ἀλλὰ τὴν θεότητα τοῦ Μονογενοῦς τὴν

50. Πρβλ. Β΄ Κορ. 7,1.

51. Πρβλ. Α΄ Κορ. 15,47. 52. Ἰω. 3,13. 53. Α΄ Κορ. 15,47.

τοῦ νοῦ φύσιν ἀναπληρώσασαν μέρος γενέσθαι τοῦ ἀνθρωπείου συγκράματος, **264** τὸ τριτημόριον ψυχῆς τε καὶ σώματος κατὰ τὸ ἀνθρώπινον περὶ αὐτὸν ὄντων, νοῦ δὲ μὴ ὄντος, ἀλλὰ τὸν ἐκείνου τόπον τοῦ Θεοῦ Λόγου ἀναπληροῦντος. Καὶ οὕπω τοῦτο δεινόν· ἀλλὰ τὸ πάντων χαλεπώτατον, ὅτι αὐτὸν τὸν Μονογενῆ Θεὸν τὸν κριτὴν τῶν πάντων, τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν καθαιρέτην τοῦ θανάτου, θνητὸν εἶναι κατασκευάζει, καὶ τῇ ἰδίᾳ αὐτοῦ θεότητι πάθος δέξασθαι καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει τοῦ σώματος καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώματι καὶ οὕτω παρὰ τοῦ Πατρὸς πάλιν ἀπὸ τοῦ θανάτου διαναστῆναι. *Τὰ δ' ἄλλα, ὅσα προστίθησι ταῖς τοιαύταις ἀτοπίαις, μακρὸν ἂν εἴη διεξιέναι.*

Σωκράτους, Ἐκκλ. Ἱστορία VI 13. Ἐπειδὴ δὲ οἱ φιλολοίδοροι τοὺς πολλοὺς συνήρπασαν ὡς βλασφήμῳ προσέχειν τῷ Ὠριγένει, μικρὰ διελθεῖν περὶ τούτων οὐκ ἄκαιρον εἶναι ἡγοῦμαι. Οἱ εὐτελεῖς καὶ ἀφ' ἑαυτῶν μὴ δυνάμενοι φαίνεσθαι ἐκ τοῦ ψέγειν τοὺς ἑαυτῶν κρείττονας δείκνυσθαι βούλονται. Τοῦτο πέπονθε πρῶτος Μεθόδιος τῆς ἐν Λυκίᾳ πόλεως λεγομένης Ὀλύμπου ἐπίσκοπος· εἶτα Εὐστάθιος ὁ τῆς ἐν Ἀντιοχείᾳ πρὸς ὀλίγον ἐκκλησίας προστάς· καὶ μετὰ ταῦτα Ἀπολινάριος καὶ τὸ τελευταῖον Θεόφιλος.

267 *Σωζομενοῦ, Ἐκκλησιαστικὴ Ἱστορία V 18.* Ἐντεῦθεν οὖν μόνον δημιουργεῖσθαι τὸ πεῖθον οἰόμενος (sc. Ἰουλιανὸς) οὐ συνεχώρει τοῖς χριστιανοῖς ἐν τοῖς τῶν Ἑλλήνων ἀσκεῖσθαι μαθήμασιν. Ἡνίκα δὴ Ἀπολλινάριος οὗτος εἰς καιρὸν τῇ πολυμαθίᾳ καὶ τῇ φύσει χρησάμενος ἀντὶ μὲν τῆς Ὁμήρου ποιήσεως ἐν ἔπεσιν ἡρῴοις τὴν ἑβραϊκὴν ἀρχαιολογίαν συνεγράψατο μέχρι τῆς τοῦ Σαοὺλ βασιλείας καὶ εἰς εἰκοσιτέσσαρα μέρη τὴν πᾶσαν πραγματείαν διεῖλεν, ἑκάστῳ τόμῳ προσηγορίαν θέμενος ὁμώνυμον τοῖς παρ' Ἕλλησι στοιχείοις κατὰ τὸν τούτων ἀριθμὸν καὶ τὴν τάξιν. Ἐπραγματεύσατο δὲ καὶ τοῖς Μενάνδρου δράμασιν εἰκασμένας κωμῳδίας

καὶ τὴν Εὐριπίδου τραγῳδίαν καὶ τὴν Πινδάρου λύραν ἐμιμήσατο. Καὶ ἁπλῶς εἰπεῖν ἐκ τῶν θείων Γραφῶν τὰς ὑποθέσεις λαβὼν τῶν ἐγκυκλίων καλουμένων μαθημάτων ἐν ὀλίγῳ χρόνῳ ἐπενόησεν ἰσαρίθμους καὶ ἰσοδυνάμους πραγματείας ἤθει τε καὶ φράσει καὶ χαρακτῆρι καὶ οἰκονομίᾳ ὁμοίᾳ τοῖς παρ' Ἕλλησιν ἐν τούτοις εὐδοκιμήσασιν. Ὥστε εἰ μὴ τὴν ἀρχαιότητα ἐτίμων οἱ ἄνθρωποι καὶ τὰ συνήθη φίλα ἐνόμιζον ἐπ' ἴσης οἶμαι τοῖς παλαιοῖς τὴν Ἀπολλιναρίου σπουδὴν ἐποίουν καὶ ἐδιδάσκοντο ταύτην πλέον αὐτοῦ τὴν εὐφυΐαν θαυμάζοντες ὅσῳ γε τῶν μὲν ἀρχαίων ἕκαστος περὶ ἓν μόνον ἐσπούδασεν· ὁ δὲ τὰ πάντα ἐπιτηδεύσας ἐν κατεπειγούσῃ χρείᾳ τὴν ἑκάστου ἀρετὴν ἀπεμάξατο.

Σωκράτους, Ἐκκλησιαστικὴ Ἱστορία. III 16. Ὁ μέντοι τοῦ βασιλέως νόμος, ὃς τοὺς Χριστιανοὺς ἑλληνικῆς παιδείας μετέχειν ἐκώλυε, τοὺς Ἀπολλιναρίους, ὧν καὶ πρότερον ἐμνημονεύσαμεν, φανερωτέρους ἀπέδειξεν· ὡς γὰρ ἄμφω ἥστην ἐπιστήμονες λόγων ὁ μὲν πατὴρ γραμματικῶν, σοφιστικῶν δὲ ὁ υἱός, χρειώδεις ἑαυτοὺς πρὸς τὸν παρόντα καιρὸν τοῖς Χριστιανοῖς ἀπεδείκνυον. Ὁ μὲν γὰρ εὐθύς, γραμματικὸς ἅτε τὴν τέχνην, γραμματικὴν Χριστιανικῷ τύπῳ συνέταττε· τά τε Μωυσέως βιβλία διὰ τοῦ ἡρωικοῦ λεγομένου μέτρου μετέβαλε καὶ ὅσα κατὰ τὴν Παλαιὰν Διαθήκην ἐν ἱστορίας τύπῳ συγγέγραπται· καὶ τοῦτο μὲν τῷ δακτυλικῷ μέτρῳ συνέταττε, τοῦτο δὲ καὶ τῷ τῆς τραγῳδίας τύπῳ δραματικῶς ἐξειργάζετο· καὶ παντὶ μέτρῳ ῥυθμικῷ ἐχρῆτο, ὅπως ἂν μηδεὶς τρόπος τῆς ἑλληνικῆς γλώττης τοῖς χριστιανοῖς ἀνήκοος ᾖ. Ὁ δὲ νεώτερος Ἀπολλινάριος εὖ πρὸς τὸ λέγειν παρεσκευασμένος τὰ **268** *Εὐαγγέλια καὶ τὰ ἀποστολικὰ δόγματα ἐν τύπῳ διαλόγων ἐξέθετο καθὰ καὶ Πλάτων παρ' Ἕλλησιν.* Οὕτω μὲν οὖν τῷ Χριστιανισμῷ χρειώδεις φανέντες τοῦ βασιλέως τὸ σόφισμα διὰ τῶν οἰκείων πόνων ἐνίκησαν. Ἀλλ' ἡ πρόνοια τοῦ Θεοῦ κρείσσων ἐγένετο καὶ τῆς τούτων σπουδῆς καὶ τῆς τοῦ βασιλέως ὁρμῆς. Ὁ μὲν γὰρ νόμος οὐκ εἰς μακρὰν ἀπέσβη τῷ βασιλεῖ ὡς προϊόντες δηλώσομεν, τῶν δὲ οἱ πόνοι ἐν ἴσῳ τοῦ μὴ γραφῆναι λογίζονται.

Ζωναρᾶ, Ἐπιτ. XIII 12, 22. Ὅθεν, τῶν παίδων τῶν χριστωνύμων εἰργομένων μετιέναι τοὺς ποιητὰς ὁ Ἀπολλινάριος λέγεται εἰς τὴν τοῦ ψαλτηρίου ὁρμηθῆναι παράφρασιν καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος εἰς τὴν ποίησιν τῶν ἐπῶν, ἵν', ἀντὶ τῶν Ἑλληνικῶν μαθημάτων ταῦτα οἱ νέοι μανθάνοντες, τήν τε γλῶσσαν ἐξελληνίζωνται καὶ τὰ μέτρα διδάσκωνται.

Γρηγορίου Ναζιανζηνοῦ, Ἐπιστολὴ 101 B.E.Π. 60,268, 8-10. Εἰ δὲ οἱ μακροὶ λόγοι καὶ νέα ψαλτήρια καὶ ἀντίφθογγα τῷ Δαβὶδ καὶ ἡ τῶν μέτρων χάρις ἡ τρίτη διαθήκη νομίζεται, καὶ ἡμεῖς ψαλμολογήσομεν καὶ πολλὰ γράψομεν καὶ μετρήσομεν.

Σωζομενοῦ, Ἐκκλησιαστικὴ Ἱστορία VI 25. Ἐκ τούτου δὲ καὶ ἐν ἄλλαις πόλεσι χωρὶς ἐκκλησίαζον (sc. οἱ Ἀπολλιναρισταὶ) ὑπὸ ἐπισκόποις ἰδίοις καὶ θεσμοῖς ἐχρῶντο ἀλλοτρίοις τῆς καθολικῆς Ἐκκλησίας, παρὰ τὰς νενομισμένας ἱερὰς ᾠδὰς ἔμμετρά τινα μελύδρια ψάλλοντες παρ' αὐτοῦ Ἀπολλιναρίου εὑρημένα. Πρὸς γὰρ τῇ ἄλλῃ παιδεύσει καὶ ποιητικὸς ὢν καὶ παντοδαπῶν μέτρων εἰδήμων καὶ τοῖς ἐντεῦθεν ἡδύσμασι τοὺς πολλοὺς ἔπειθεν αὐτῷ προσέχειν· ἄνδρες τε παρὰ τοὺς πότους καὶ ἐν ἔργοις, καὶ γυναῖκες παρὰ τοὺς ἱστοὺς τὰ αὐτοῦ μέλη ἔψαλλον. Σπουδῆς γὰρ καὶ ἀνέσεως καὶ ἑορτῶν καὶ τῶν ἄλλων πρὸς τὸν ἑκάστου καιρὸν εἰδύλλια αὐτῷ πεπόνητο, πάντα εἰς εὐλογίαν Θεοῦ τείνοντα.

Νείλου, Ἐπιστολὴ 49. Εἰ δὲ θαυμάζεις τοὺς γράφοντας τὰ ἔπη ὥρα σοι καὶ Ἀπολλινάριον τὸν δυσσεβῆ καὶ καινοτόμον θαυμάζειν πολλὰ λίαν μετρήσαντα καὶ ἐποποιήσαντα καὶ ματαιοπονήσαντα καὶ παντὶ καιρῷ ἐν λόγοις ἀνοήτοις καταστριβέντα οἰδήσαντά τε τοῖς ἀκερδέσι τῶν ἐπῶν καὶ φλεγμήναντα καὶ ὑδεριάσαντα τοῖς λογισμοῖς καὶ «ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς»[54] ὡς Δαυὶδ ἔλεγεν.

54. Ψαλ. 72,9.

ΑΠΟΣΠΑΣΜΑΤΑ ΑΠΟ ΑΠΟΛΕΣΘΕΝΤΑ

Σωζομενοῦ, Ἐκκλησιαστικὴ Ἱστορία 11 17. *Ὑπὸ δὲ τοῦτον τὸν χρόνον μέλλων τὸν βίον μεταλλάσσειν Ἀλέξανδρος Ἀλεξανδρείας ἐπίσκοπος διάδοχον αὐτοῦ κατέλιπεν Ἀθανάσιον, θείαις προστάξεσιν, ὡς ἡγοῦμαι, ἐπ' αὐτὸν ἀγαγὼν τὴν ψῆφον. Ἐπεὶ τόν γε Ἀθανάσιόν φασιν ἀποφυγεῖν πειραθῆναι καὶ ἄκοντα βιασθῆναι πρὸς Ἀλεξάνδρου τὴν ἐπισκοπὴν ὑποδέξασθαι. Καὶ μαρτυρεῖ Ἀπολλινάριος ὁ Σύρος ὧδε λέγων·*

269 168 οὐκ ὀκνεῖ δὲ καὶ μετὰ ταῦτα πολεμεῖν ἡ δυσσέβεια. Ἀλλὰ πρῶτον μὲν ἐπὶ τὸν μακάριον διδάσκαλον τοῦ ἀνδρὸς ὁπλίζεται. Καὶ οὗτος παρῆν συνήγορος ὡς πατρὶ παῖς· ἔπειτα καὶ ἐπ' αὐτόν, ὡς ἦκεν ἐπὶ τὴν τῆς ἐπισκοπῆς διαδοχήν, πολλῇ μὲν ἀποφυγῇ χρησάμενος, κατὰ Θεὸν δὲ ἀνευρεθεὶς ὡς καὶ τῷ μακαρίῳ ἀνδρὶ τῷ τὴν ἐπισκοπὴν ἐγχειρίσαντι προδεδήλωτο θείαις δηλώσεσιν οὐχ ἕτερον ἔσεσθαι τὸν διάδοχον ἢ τοῦτον. Ἐκαλεῖτο μὲν γὰρ ἐκ τοῦ βίου· ἤδη δὲ πρὸς ἀπαλλαγὴν τυγχάνων Ἀθανάσιον ὀνομαστὶ μὴ παρόντα ἐκάλει. Καὶ ὡς ὁ παρὼν ὁμώνυμος ὑπήκουε τῇ κλήσει πρὸς μὲν τοῦτον ἀπεσιώπα ὡς οὐ τοῦτον καλῶν. Αὖθις δὲ ἐχρῆτο τῇ κλήσει· καὶ ὡς ταὐτὸ πολλάκις ἐγίνετο ἀπεσιωπᾶτο μὲν ὁ παρών, ἐδηλοῦτο δὲ ὁ μὴ παρών. Καὶ προφητικῶς ἔλεγεν ὁ μακάριος Ἀλέξανδρος· «Ἀθανάσιε, νομίζεις ἐκπεφευγέναι· οὐκ ἐκφεύξῃ»· δηλῶν ὡς πρὸς τὸν ἀγῶνα ἐκαλεῖτο.

Ταῦτα μὲν ὁ Ἀπολλινάριος γράφει περὶ Ἀθανασίου.

169 Νεμεσίου, Περὶ φύσεως ἀνθρώπου σ.9 (Migne 40, σ. 504 ff.) Τινὲς μέν, ὧν ἐστι καὶ Πλωτῖνος, ἄλλην εἶναι τὴν ψυχὴν καὶ ἄλλον τὸν νοῦν δογματίσαντες ἐκ τριῶν τὸν ἄνθρωπον συνεστάναι βούλονται, σώματος καὶ ψυχῆς καὶ νοῦ· οἷς ἠκολούθησε καὶ Ἀπολλινάριος ὁ τῆς Λαοδικείας γενόμενος ἐπίσκοπος. Τοῦτον γὰρ πηξάμενος τὸν θεμέλιον τῆς ἰδίας δόξης καὶ τὰ λοιπὰ προσῳκοδόμησε κατὰ τὸ οἰκεῖον δόγμα.

170 ebenda 47. Ἀπολλιναρίῳ δὲ δοκεῖ τὰς ψυχὰς ἀπὸ τῶν ψυχῶν τίκτεσθαι, ὥσπερ ἀπὸ τῶν σωμάτων τὰ σώματα. Προϊέναι γὰρ τὴν ψυχὴν κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου

εἰς τοὺς ἐξ ἐκείνου πάντας τεχθέντας καθάπερ τὴν σωματικὴν διαδοχήν. Μήτε γὰρ ἀποκεῖσθαι ψυχὰς μήτε νῦν κτίζεσθαι. =[GREGOR von NYSSA] Περὶ ψυχῆς, Migne PG. 45, σ. 205.

171 ebenda 73. Ἀπολλινάριος δὲ ἐκ τῆς ἀβύσσου πεποιηκέναι τὸν Θεὸν τὸν οὐρανὸν καὶ τὴν γῆν βούλεται. Τῆς γὰρ ἀβύσσου Μωυσῆς οὐκ ἐμνημόνευσεν ἐν τῇ γενέσει τοῦ κόσμου ὡς γενομένης· ἐν δὲ τῷ Ἰὼβ εἴρηται ὁ ποιήσας τὴν ἄβυσσον[55]. Ἐκ ταύτης οὖν ὡς ἐξ ὕλης βούλεται τὰ ἄλλα πάντα γεγενῆσθαι· οὐ μὴν ἀγέννητον ἀλλὰ γεννητὴν αὐτὴν εἶναι πρὸ πάντων τῶν σωματικῶν προκαταβεβλημένην ὑπὸ τοῦ Δημιουργοῦ πρὸς τὴν τῶν ἄλλων ὑπόστασιν. Δηλοῖ δὲ καὶ τοὔνομα τῆς ἀβύσσου τὸ τῆς ὕλης ἄπειρον.

Μαξίμου Ὁμολογητοῦ, Σχόλιον εἰς Διονύσιον Ἀρεοπαγίτην, Περὶ Οὐρανίου Ἱεραρχίας. 9,3 (I 134 Comb.) Σημείωσαι, μάλιστα ἐντεῦθεν ἐπιστομίζεσθαι τὴν ἄκαιρόν τινων καὶ ἀδιάκριτον ἀπαιδευσίαν, οἳ τολμῶσι **270** φάσκειν τὰ θεῖα ταῦτα συγγράμματα Ἀπολλιναρίου εἶναι, μὴ ἐκ τῶν προσώπων ὧν μνημονεύει καταστοχαζόμενοι τῆς ἀρχαιότητος τοῦ ἀνδρός, ἀλλὰ ψευδεπίγραφον λέγοντες τὴν Διονυσίου προσηγορίαν μηδὲ ὅτι νῦν ἐξ εἰδωλολατρῶν εἶπεν αὐτὸν ἐπιστρέψαι, καίτοι Ἀπολλινάριος οὐκ ἐκ τούτων ἦν.

Τοῦ αὐτοῦ, Εἰς τὴν Ἐκκλησιαστικὴν ἱεραρχίαν 7, 2 (I 422 Comb.) Οὗτος γὰρ ὁ Παπίας ἐν τῷ τετάρτῳ αὐτοῦ βιβλίῳ τῶν κυριακῶν ἐξηγήσεων τὰς διὰ βρωμάτων εἶπεν ἐν τῇ ἀναστάσει ἀπολαύσεις· εἰς ὅπερ δόγμα μετὰ ταῦτα ἐπίστευσεν Ἀπολλινάριος, ὃ καλοῦσί τινες χιλιονταετηρίδα· πῶς οὖν Ἀπολλιναρίου τὰ τοῦ ἁγίου Διονυσίου συγγράμματα κατὰ τούς τινων λήρους, τὰ ἀναιροῦντα Ἀπολλινάριον;

55. Πρβλ. Ἰὼβ 36,16.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

ΕΙΣ ΤΗΝ ΜΕΤΑΦΡΑΣΙΝ ΤΟΥ ΨΑΛΤΗΡΟΣ ΠΡΟΘΕΩΡΙΑ*

1 Ἕλπομαι ἀθανάτοιο Θεοῦ κεκορυθμένος οἴμῃ
σοὶ χάριν ἀντὶ πόνων φορέειν καὶ κέρδος ἐπ' ἔργῳ
καὶ τυφλὸς γεγαὼς δοκέειν φάος ἄλλο κομίζειν,
Μαρκιανὲ κλυτόμητι· τί γὰρ νύ τοι ἔπρεπεν ἄλλο
ἢ τό μοι εὑρέμεναι σέθεν ἄξιον; Οὐ γὰρ ἐφετμῆς
σεῖο, πάτερ, λαθόμην· ἐθέλω δέ τοι ἥπιος εἶναι
εἰς ἀγαθὸν σπεύδοντι. Τί δ' ἥδιον ἠὲ μερίμναις
σῇσιν ἐπ' ἀτρύτοισι νόον φιλόμολπον ἐγείρειν,
μεμνῆσθαι δ' ἐπέων, ὧν φθέγξαο τοῖα πιφαύσκων·
2 «Οὔ τις ἐχεφροσύνῃ μεμελημένος ἄλλο τι ῥέζειν
ὤφελεν ἢ ψυχὴν ἀρεταῖς μεροπηίδα φέρβειν·
τοῦτο δ' ἄρα πρώτιστα Θεὸς πόρεν ἀνδράσιν ἔργον,
ἀνδράσιν, οἷσι Θεὸς μέλεται καὶ δῶρα Θεοῖο·
τοὔνεκά μοι βάζοντι φίλων ἐπιμαίεο μύθων.
Οἶσθ', ὅτι Δαυίδου μὲν ἀγακλέος ἤθεα μέτροις
Ἑβραίοις ἐκέκαστο καὶ ἐκ μελέων ἐτέτυκτο
θεσπεσίων τὸ πρόσθεν, ὅθεν φόρμιγγι λιγείῃ
μέλπετο καὶ μελέεσσιν· ἀτὰρ μετ' Ἀχαίδα γῆρυν
αὖτις ἀμειβομένων κατὰ μὲν χάρις ἔφθιτο μέτρων,
μῦθοι δ' ὧδε μένουσιν ἐτήτυμοι· οὐ γὰρ ἀοιδῆς,
ἀλλ' ἐπέων Πτολεμαῖος ἐέλδετο. Ἔνθεν Ἀχαιοὶ
μείζονα μὲν φρονέεσκον ἐπὶ σφετέρῃσιν ἀοιδαῖς,
ἡμετέρας δ' οὐ πάμπαν ἐθάμβεον ἀλλ' ἐπεὶ ἔργον
εὐδικίης ἐκάλυψεν ὅλην χθόνα, οὐδέ τι νεῖκος
οὐδ' ἔρις ἐν λαοῖσιν, ἀναιμάκτοις τε θυηλαῖς
πανσυδίῃ βασιλῆα θεὸν καλέουσι πόλεις.
Τοὺς μὲν ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί ῥ' ἀπάνευθεν

* Κατὰ τὴν ἔκδοσιν τοῦ A. Ludwich, Apollinarii metaphrasis psalmorum (Bibliotheca Teubneriana), Leipzig, 1912.

3 εἰσέτι δουλεύουσι θεουδείης ἐρατεινῆς·
ἡμεῖς δ', ὡς κ' ἐπέοικε, τά περ πρότεροι λίπον ἄνδρες
ἐκ μελέων, μέτροισιν ἐνήσομεν, εἰς δὲ μελιχρὴν
Δαυίδου βασιλῆος ἐγείρομεν αὖτις ἀοιδὴν
ἑξατόνοις ἐπέεσσιν, ἵνα γνώωσι καὶ ἄλλοι,
γλῶσσ' ὅτι παντοίη Χριστὸν Βασιλῆα βοήσει
καί μιν πανσυδίῃ γουνάσσεται ἔθνεα γαίης·
οὐδ' ὁ σκυτοτόμος τὸ λέγων ἐψεύσατο Παῦλος.
Οὐκ ἀίεις, ὡς πρόσθε τεὸς Δαυῖδος ἀμύμων
πνεύματι θεσπίζων Αἰγύπτιον ἔκφατο λαὸν
πρῶτα δικαιοσύνης ἱκέτην ἔμεν, εἶπέ τε χεῖρας
Αἰθίοπας πρώτιστον ὀρέξασθαι βασιλῆι;
Τοὔνεκα νῦν κέλομαί σε πολὺ πρώτιστον ἰόντα
ἐσθλαῖς Μαρκιανοῖο παραιφασίῃσι πιθῆσαι·
πὰρ γὰρ ἐμοὶ πρώτῳ προμολὼν χθόνα Κωνσταντίνου
ἤθεα καὶ λαόν τ' ἐδάης καὶ ἐπάσσαο σίτου».
Ἔννεπες, αὐτὰρ ἐγὼ πιθόμην πολυκερδέι μύθῳ·
4 οἷα δέ σοι στήλην δοκέων ἐρικυδέα τεύχειν
ἀντὶ παραιφασίης ἀγαθῆς κλυτὸν αἶνον ἀείδω.
Οὗλέ τε καὶ μέγα χαῖρε, Θεὸς δέ τοι ὄλβια δοίη
σῆς σοφίης καὶ τοῦτο, πάτερ, κειμήλιον ἔστω
Μαρκιανοῦ πινυτῇσιν ὑπ' εὐχωλῇσι μεμηλός,
ὃς μετὰ παρθενίην λιγυρὴν ἠσπάσσατο μολπὴν
γήραος εὐφήμοιο συνέμπορον αἰὲν ἐλέσθαι.
Καὶ γὰρ ἐποπτεύων βασιλήια θαύματα θυμῷ
πάντα μέν, ἣ θέμις ἐστίν, ἐθάμβεεν, ἔξοχα δ' ἄλλων
Πνεύματος ἀχράντοιο μέγα σθένος, ὃ πρὶν ἐόν περ
Υἱέι καὶ Γενετῆρι πανείκελον ἶσά τε ῥέζον
κάρτεϊ πανσθενέι καὶ ὁμὸν θρόνον ἀμφιπολεῦον
καὶ γέρας ἐν τρισσῇσι μιῆς θεότητος ὀπωπαῖς
Υἱέος οὐρανόθεν μετ' ἀνάστασιν ἆλτο Θεοῖο,
ὄφρα κεν ἀλλόγλωσσον ὅλητ' ἀλλόθροον αὐδήν,
τὴν πρὶν ὑπερβασίη μερόπων συνέχευεν ἀλιτρῶν,
εἰς ἕνα τιμήεντα πάλιν μετὰ θεσμὸν ἐλάσσῃ
εὐδικίης, καὶ γλῶσσα πάλιν κόσμοιο γένηται.
Γλώσσαις δ' ἐξαπίνης προφανὲν φλογερῇσιν ὁμοῖον

5 ἀντιθέων πυρόεν κεφαλαῖς ὑπερέζετο φωτῶν,
Χριστοῦ ὑποδρηστῆρας ἀριστοπόνοιο διδάσκον
γλωσσέων εὐφραδέων πυκινὸν θρόον· ἔνθεν ἄκουον
Πάρθοι χαλκοκορυσταὶ ἅμ' ἱπποδάμοις Ἐλαμίταις
καὶ Μήδων κλυτὰ φῦλα καὶ οἳ περιναιετάουσι
μεσσατίην ποταμῶν καὶ Καππαδόκειαν ἄρουραν,
Πόντον, Ἰουδαίην καὶ ὅλην Ἀσιήτιδα γαῖαν,
οἳ Φρυγίην ἐνέμοντο καὶ οἳ Πάμφυλον ἔδεθλον,
οἵ τ' ἔχον Αἴγυπτον σταχυηκόμον οἵ τε Κυρήνην,
οἵ τ' ἐρατὴν Λιβύην φιλοποίμνιον ἀμφενέμοντο,
οἵ τ' ἐξ Αὐσονίης γενεῆς μεταδήμιοι ἦσαν.
Ἔθνεα δ' Ἑβραίων καὶ ὅσος σφέας ἄμφεπε λαός,
οἵ τ' ἔλαχον Κρήτην ἑκατόμπολιν, οἵ τε γενέθλης
Ἀρραβικῆς καλέοντο, βαθύγλωσσοι γεγαῶτες,
θεσπεσίων ἀίεσκον ἐῆς γλώσσης ἀρετάων,
ἅς σφισιν ἀπροφάτως ἀδαήμονες ἴαχον ἄνδρες
πάσης γὰρ τῶν φθόγγος ἐπέδραμεν ἄντυγα γαίης,
6 καὶ μύθων ἐπάκουσαν ἑῶν κατὰ πείρατ' ἀρούρης,
εἰσόκεν ἐσχατιὴν ἀψορρόου ὠκεανοῖο
παρθενικῆς ἀλόχευτον ἐπ' ὠδίνεσσι λοχείην,
καὶ γόνον αὐτογένεθλον ἄτερ βροτέων ὑμεναίων,
καὶ λόγον ἐν λαγόνεσσι γυναίαις, υἷα θεοῖο,
καὶ Θεὸν ἀνδρομέῃ προφανέντ' ἀψευδέι μορφῇ,
καὶ βροτὸν ἀθανάτοιο βίην γενετῆρος ἔχοντα,
καὶ νέκυν ἐν νεκύεσσι καὶ οὐ θανάτοιο δαμέντα,
δούρατί τ' οὐτηθέντα καὶ οὐκ εἴξαντα σιδήρῳ,
μνήματί τ' εὐνασθέντα καὶ ἐκπεράσαντα βερέθρων
παντοίην Ἀίδαο βίην, λύσαντά τε νεκροὺς
κοιρανίης στυγεροῖο παλαιγενέος θανάτοιο,
καὶ Θεὸν ἐν θνητοῖς καὶ ἐν οὐρανῷ ἄγχι τοκῆος,
ἄνθρωπον γεγαῶτα καὶ οὐ λήγοντα Θεοῖο,
ἀλλὰ παλιννόστοισιν ἐλευσόμενον σθενέεσσιν,
ὡς μιν ὑπὲρ νεφέλης ἱερῆς πάρος εἶδον ἰόντα
ἐκ γαίης, γενέτην δέ, τὸν οὐκ ἀπεόντα τοκῆος,
κυκλόθεν εἰσαΐοντες, ὑπερβασίης ἀλεγεινῆς
7 ὧν τ' ὄφις ἀδρανέων μερόπων νόον ἠπεροπεύσας

ψευδαλέων ἐδίδαξε θεῶν λελάθοιντο καὶ ἄτης
μαχλάδος, ἥ τε μάλιστα βροτῶν περισίνατο φῦλον,
μούνου δ' ἀθανάτοιο Θεοῦ κεχαροίατο πίστει,
Υἱέι καὶ Γενετῆρα μέγαν καὶ Πνεῦμα φαεινὸν
εἰν ἑνὶ κυδαίνοντες ἀτερμάντοισι λιτῇσι.

Τοὔνεκα δὴ καὶ γλῶσσαν Ἰήονα —καὶ γὰρ ἐτύχθη
ἐκ παλαχῆς θεότευκτος, ἑνὸς δ' ἐξῶρτο λόχοιο
παντοίῃ μεροπηὶς ὁμοῦ γλώσσῃ καὶ ἀοιδή—
ἀθάνατον Βασιλῆα πολύλλιτον ὑμνοπολεῦσαι
Μαρκιανὸς ποθέεσκεν, ἐγὼ δέ οἱ ἤνυσα βουλὴν
Χριστὸν ἀεὶ ζώοντα λαχὼν ἐπαρωγὸν ἀοιδῆς.

ΜΕΤΑΦΡΑΣΙΣ ΤΟΥ ΨΑΛΤΗΡΟΣ

ΨΑΛΜΟΣ Α'

α. Δαβὶδ προφήτου καὶ βασιλέως μέλος.
β. Πρῶτον ἄναξ μελέεσσι μέγας Δαυῒδος ἄεισεν
πνεύματι θεσπίζων τουτὶ μέλος λιγυρόν.

1 **8** Ὄλβιος, ὅς τις ἀνὴρ ἀγορὴν δ' οὐ νίσσετ' ἀλιτρῶν
οὐδ' ἐπὶ δὴν στήριξεν ἀτασθάλου ἴχνος ἀταρπῷ
οὐδ' ὁλοαῖς ἕδρῃσιν ἐφέζετο λυμαντήρων,
2 ἀλλ' ἔχεν ἠιθέῳ κραδίην συμφράδμονα θεσμῷ
θεσπέσιον νύκτας τε καὶ ἤματα θεσμὸν ἀείδων.
3 Ἔσσεται οἷά περ ἔρνος ἐφ' ὑδρηλῇσι κελεύθοις
καίριον ἀντέλλον σφέτερον μελιηδέα καρπόν,
9 ἠνεκέως φύλλοισιν ἀκειρεκόμοισι τεθηλός·
πάντα οἱ ἰθύνοιτο κατὰ χρέος, ὅσα τελέσσοι.
4 Οὐ τοῖοι γεγάασιν ἀτάσθαλοι, οὔ νύ τι τοῖοι,
ἀλλὰ κόνει ἴκελοι, τήν ῥα χθονὸς ὤλεσ' ἀήτης.
5 Τοὔνεκεν εἰς κρίσιν οὔ ποτ' ἀναστήσονται ἀλεῖται
οὐδ' ἄρ' ἁμαρτίνοοι πινυτῶν βουλῇσι δικαίων,
6 οὕνεκεν εὐαγέων Βασιλεὺς ὁδὸν οἶδε δικαίων·
αὐτὰρ ἁμαρτινόων ὁλοὴ τρίβος αἰὲν ὀλεῖται.

ΨΑΛΜΟΣ Β'

Ἐπιγραφῆς ὁ ψαλμὸς εὑρέθη δίχα,
ἡνωμένος δὲ τοῖς παρ' Ἑβραίων στίχοις
ἀλλ' ὧδε δευτέρευσε Δαυίδου κρότοις,
ἐπεὶ παρ' αὐτοῖς εἵνατος τμᾶται δίχα.

1 Τίφθ' ὑπεροπλίην κενεόφρονα σύνθετο φῦλα;
2 **10** Καὶ γαίης βασιλῆες ἀολλίσθησαν ἑτοῖμοι
καί σφεων ἠγερέθοντο δικασπόλοι εἰς ἓν ἰόντες
ἀθανάτου κατέναντα Θεοῦ κατέναντά τε Χριστοῦ.
3 Δεσμοὺς μὲν σπάσομεν, ζυγόδεσμα δὲ ῥίψομεν αὐτῶν.
4 Οὐράνιος ναέτης κείνων [τε] γελάσσεται [ὕβριν]
καί σφεας ἀθάνατος Βασιλεὺς γελόων ὀνόσαιτο.
5 Τῆμος ἀμείλιχα πᾶσι κοτεσσάμενος καταλέξει
καὶ χόλον ἀμπνείων πραπίδων σύμπαντας ἀτύξει.
6 [Τοῦδ' ὑπὸ] μὲν γὰρ ἐγὼ Βασιλεύς πανυπέρτατος ἔστην
βουλὰς ἀθανάτοιο διαγγέλλων γενετῆρος
11 οὔρεος ἀχράντοιο, τό περ Σιῶνος ἀκούει.
7 Ἀθάνατος Βασιλεύς με φίλῳ προσφθέγξατο μύθῳ·
ἡμέτερος πάις ἐσσί, τέκον δέ σε σήμερον αὐτός.
8 Δίζεο δὴ παρ' ἐμεῦ, κλῆρον δέ τοι ἔθνεα δώσω
καί σεο κοιρανίης αἶσαν κλυτὰ πείρατα γαίης,
9 ὄφρα σιδηρείῳ σκήπτρῳ σφέας ἶφι νομεύοις
σκεῦος ὅπως κεραμῆος ὑπερμενέως ἀμαθύνων.
10 Ἀλλ' ἄγε νῦν ξυνίοιτε, ἀριστοπόνοι βασιλῆες·
12 παιδεύθητε δὲ πάντες, ὅσοι κοσμήτορες αἴης.
11 Δείδιτε, δουλοσύνης δὲ κεράσσατε χάρματι δεῖμα
καί οἱ ἀγάλλεσθε τρομερῇ φρενὶ τέρψιν ἐλόντες.
12 Λάζεσθ' οὖν σοφίης, ἵνα μή ποτε χώσεται ἐσσήν,
εὐσεβέος δ' ἅμα πάντας ἀπορραίσειε κελεύθου.
13 Εὖτε θοῶς φλογόεντα νόον βαρύθυμον ἐγείρῃ,
πάντες ἄμ' ὄλβιοί εἰσι πεποιθότες αἰὲν ἐπ' αὐτῷ.

ΨΑΛΜΟΣ Γ′

1 *Δαυίδου λιγυρὸν τρίτατον μέλος, ἡνίκα φεύγων*
υἱὸν Ἀβεσσάλωμον ἑὴν λίπε κοίρανος ἕδρην.

2 Δυσμενέες τί τοσοῖδε περιπλήθουσιν ἐμεῖο;
Πολλοὶ δ' ἐγρόμενοί μοι ἀνάρσιοι ἀντιφέρονται
3 οὔ τινά μοι ψυχῇ θεόθεν βάζοντες ἀρωγήν.
4 **13** Ἀλλ' ἐμέθεν, Βασιλεῦ, σὺ διηνεκέως προμαχίζοις
κῦδος ἐμὸν γεγαὼς κεφαλὴν θ' ὑπεραυχέα τεύχων.
5 Κικλήσκω βοόων, ὁ δ' ἀπ' οὔρεος ἔκλυεν ἁγνοῦ.
6 Αὐτὸς ἐκοιμήθην, κατὰ δ' ἔσχε με νήδυμος ὕπνος·
ἂν δ' ἔστην, ὅτ' ἐμῆς Βασιλεὺς ἀνθέξεται ἀλκῆς.
7 Οὔ ποτε μυριάδας λαῶν πεφοβημένος εἴην,
οἵ κέ με κυκλώοντες ἐπιβρίσωσιν ὁμαρτῇ.
8 Ἔγρεο καί με σάω, πανυπέρτατε Σῶτερ ἐμεῖο,
ὅττι σύ μευ σύμπαντας ἔλες κενεαυχέας ἐχθρούς,
αὐτὰρ ἁμαρτινόων ὀλοοὺς ξυνέαξας ὀδόντας.
9 Σεῖο φάος, Βασιλεῦ, σέο τ' εὐλογίην πόρε λαῷ.

ΨΑΛΜΟΣ Δ′

1 *Τέτρατος ἐκ μελέων Δαυίδου ψαλμὸς ἐτύχθη.*

2 Εὐδικίης ἐμέθεν Θεὸς ἔκλυεν εὐξαμένοιο,
14 στεινομένῳ δ' εὖρυνε, θοῶς δ' ἀπάλαλκεν ἀνίην.
Ἵλαθι καί μευ, Ἄναξ, ἐπικέκλυθι εὐχωλάων.
3 Ἀνέρες, εἰς τί τόσον τρέφετε βαρυπήμονα θυμόν;
εἰς τί φίλην ματίην καὶ ψεύδεα πάντα τίθεσθε;
4 Ὡς δ' ὅσιον φράζεσθε, Ἄναξ ὃν ἔφηνεν ἀγητόν·
αὐτὸς ἐπουράνιός μευ Ἄναξ βοόωντος ἀκούσοι.
5 Μῆνις ἀτασθαλίης προφερεστέρη ὔμμι τετύχθω·
φράζεσθ' ἐν λεχέεσσι φίλου μελεδήματα θυμοῦ.
6 Ἐλπὶς ὁμοῦ καὶ θῦμα δίκης Βασιλῆα γεραίροι.
7 Πολλοί φασι· τίς ἄμμι φερέσβιον ὄλβον ὀρέξει;
Ἄμμι τεῆς τέκμαρ χρύσεόν σεο φέγγος ὀπωπῆς.
8 Εὐφροσύνην κραδίῃ δωρήσαο πᾶσαν ἐμεῖο·
ἐκ σίτου γλυκεροῖο καὶ ἐκ λαθικηδέος οἴνου
ἔκ τε φερεζώοιο βίης ἔπλησθεν ἐλαίου.
9 **15** Αἰὲν ἐν εἰρήνῃ καταλέξομαι ὕπνον ἀμέλγων,
οὕνεκεν ἐλπωρῇ με, Μάκαρ, καὶ μοῦνον ἐρείδεις.

ΨΑΛΜΟΣ Ε′

1 *Τῆς κληρονομούσης πέμπτον εἰς τέλος μέλος*
Δαυῒδος ἠλάλαξεν εὐφήμῳ βοῇ.

2 Μύθων ἡμετέρων, πανυπέρτατε, κέκλυθι, ποιμήν,
3 αὐδῆς μευ ξύνες ὦκα, ἀρὴν δ' ἐπιδέρκεο φωνῆς,
αὐτὸς Ἄναξ, Θεὸς αὐτός· ἐγὼ δέ σε λίσσομαι αἰεί.
4 Ἡμετέρης ἠῶθεν, Ἄναξ, ἐσακούσεαι αὐδῆς·
ἐξ ἠοῦς ἀναφανδὰ παρεσσομένῳ προφανείης,
5 οὕνεκεν ἀμπλακίην ἐθέλων Θεὸς οὔ ποτ' ἐτύχθης
οὐδέ τις ἐνναέτης παρὰ σοὶ κακομήχανος ἔσται
6 οὐδὲ τεῆς ἀθέμιστος ὁμέστιος ἔσσετ' ὀπωπῆς.
Ἐργατίνας ἔστυξας ἀλιτροσύνης ἅμα πάντας,
7 γλώσσης ψευδαλέης ὀλετὴρ ἐν πᾶσιν ἐτύχθης·
ἐχθαίρει δολόεντα καὶ ἀνδροφόνον Θεὸς ἄνδρα.
8 Αὐτὰρ ἐγώ σεο δῶμα τεῷ μετελεύσομαι οἴκτῳ,
δειμαλέος δὲ σέθεν καθαρὸν προσπτύξομαι ἱρόν.
9 **16** Ἡγήσαιό με σεῖο δικαιοσύνῃ χάριν ἐχθρῶν,
ἡμετέρην δ' ἴθυνον ἐπ' ὄμμασι σοῖσιν ἀταρπόν·
10 οὐ γὰρ ἀληθείην ποτ' ἐπὶ στόματος φορέουσι·
τῶνδε βαρύζηλοι κραδίαι γεγάασι μάταιαι,
λαυκανίη δ' οἰχθέντι τάφῳ πανομοίιός ἐστι
καὶ γλῶσσαι δολεροῖσιν ἀεὶ μεμελήατο μύθοις.
11 Κρῖνον, Ἄναξ· βουλέων δὲ κακῶν ἄπο πάγχυ πέσοιεν
ἠδὲ κατὰ πληθὺν σφετέρων χάριν ἀμπλακιάων
κτήσιος ἐξελάοιντο τεὴν ἐρέθοντες ἐρωήν.
12 Σοὶ μὲν ἐπευχόμενοι, Βασιλεῦ, κεχαροίατο πάντες·
κεῖνοι μὲν κεχάροιντο. Σὺ δ' οἰκήσειας ἐν αὐτοῖς.
Σοὶ δ' ἀγαπαζόμενοι τεὸν οὔνομα καυχήσονται,
13 ὅττι δικαιοσύνης ὑποφήτορα φῶτα γεραίρεις.
Ἡμέας ἐστεφάνωσας ἅτ' εὐδοκίης κλυτῷ ὅπλῳ.

ΨΑΛΜΟΣ Ϛ′

1 **17** *Ἕκτον ἄναξ μελέεσσι φίλοις Δαυῒδος ἄεισε*
μείλιχον ὀγδοάτης ἀμφὶ μέλος λιγυρόν.

2 Μή με τεὸς βαρύμηνις, Ἀκήρατε, θυμὸς ἐλέγξῃ

μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή,
3 ἀλλ᾽ ὀλιγηπελίην, Βασιλεῦ, ἐλέησον ἐμεῖο.
Ἔσσό μοι ἰητήρ, ταράχου δέ μευ ὀστέα παῦσον
4 καὶ ψυχήν, ἣ πολλὸν ἀτυζομένη δεδόνηται.
Καὶ σύ, Μάκαρ, κοτέων εἴως πότε μῆνιν ἀέξεις;
5 Λῦσον ἐμόν, μεταθεὶς πρότερον κότον, ἦτορ ἀνάγκης·
ῥύεο Παμβασιλεῦ, μ᾽ ἐλεητύος εἵνεκα σεῖο·
6 τίς γὰρ ἐπιμνήσαιτο σέθεν θανάτοιο πεδηθείς;
τίς δέ τοι εἰν Ἀίδαο βοὴν εὔφημον ἀύσαι;
7 Ἔμπα γε μὴν ἐμόγησα περὶ στοναχῇσιν ἐμῇσιν,
αἰεί μευ κατὰ νύκτα σαόφρονα λέκτρα λοέσσω,
δάκρυσιν ἡμετέροισιν ἐνηέα δέμνια τέγξω.
8 Μῆνις ἐπιβρίσασα ἐμὴν κλονέεσκεν ὀπωπήν,
γηραλέος γενόμην μετὰ δυσμενέεσσιν ἐμοῖσιν.
9 Ἐργατίναι, χάζεσθε, ἀτασθαλίης ἀλεγεινῆς,
18 οὕνεκά μευ κλαυθμοῖο βοῆς ἐμὸς ἔκλυεν ἐσσήν·
10 αὐδῆς ἡμετέρων Θεὸς ἔκλυεν εὐχωλάων,
νωιτέρην ὑπέδεκτο Θεὸς πανυπέρτατος εὐχήν.
11 Αἶσχος δυσμενέεσσιν ἐμοῖς τάραχός τε τετύχθω,
ὦκα μάλ᾽ αἰσχύνοιντο μεταστρεφθέντες ὀπίσσω.

ΨΑΛΜΟΣ Ζ΄

1 *Χουσὶ πάρος Δαυῖδον ἐφύβρισεν, αὐτὰρ ὁ μεμφθεὶς*
ποιμένι τιμήεντι φίλους παρακάθετο μύθους.
Ἔμπα γε μὴν βασιλῆος ὅδ᾽ ἦν πάρος ἕβδομος ὕμνος.

2 Θάρσυνος ἐλπωρῇ, Βασιλεῦ, σέο πάντοτ᾽ ἐτύχθην·
ἐκ πάντων, λίτομαί σε, διωκόντων με σαώσοις,
3 μή ποτ᾽ ἀφαρπάξειε λέων ἐμὸν οἷά τις ἦτορ,
πάμπαν κηδεμονῆος ἀμύντορος οὐ παρεόντος.
4 Ἀλλ᾽ εἰ τοῖον ἔρεξα, τό περ σέο μῆνιν ἐγείρει,
ἔργμασιν εἰ στυγεροῖσι φέρω κατὰ χεῖρας ἀθέσμους
5 ἤ τι κακῶν ῥεκτῆρα κακῶς ἔπρηξα καὶ αὐτός,
δυσμενέων ἄπρηκτος ἐμῶν ἄπο πάγχυ πέσοιμι
6 **19** καί μευ ἕλοι ψυχὴν ἐλόων καταδήιος ἀνὴρ
καὶ βίοτον κατὰ πάμπαν ἐμὸν ζωήν τε πατήσοι
καὶ κλέος ἀμφιβόητον ἐμὸν κονίῃσι μιήνοι.

7 Ἀλλὰ κοτεσσάμενος βριαρῶν ἀνεγείρεο θώκων
καί μευ [ἐν] οὐλομένων ἐπαείρεο πείρασιν ἐχθρῶν·
σῇσιν ἐφημοσύνῃσιν ἀνέγρεο κάρτος ὀπάζων,
8 πᾶσα δὲ κυκλώσειεν ὁμήγυρις ἀμφὶ σὲ λαῶν,
ἧς, Μάκαρ, ἡγήσαιο μετήορος ὑψόσ᾽ ἀερθείς.
9 Αὐτὸς Ἄναξ λαοῖσι δικασπόλος ἔσσεται αἰεί·
εὐδικίης κατὰ θεσμὸν ἐμῆς, Βασιλεῦ, μὲ δικάζοις
καὶ φρενὸς ἡμετέρης ἀγαθῆς ἐπιείκελα τεύχοις.
10 Ἀμπλακίης τέλος ἔσται, ἐπιθύνοις δὲ δίκαιον·
νεφροὺς καὶ κρύφια κραδίης μυχὰ μοῦνος ἐλέγχοις.
11 Ὡς ὁσίῳ μοι Ἄναξ ἐπαρηγόνα χεῖρα φυλάσσοι
πάντοτε ῥυόμενος μερόπων ἰθύφρονα φῦλα.
12 Αἰὲν Ἄναξ ὅσιός τε θεμιστοπόλος τε περίφρων
καὶ σθένεϊ κρατερός, καὶ ἀνεξίκακον λάχε θυμὸν
20 οὐ δεδαὼς τρηχεῖαν ἑκάστοτε μῆνιν ἐγείρειν.
13 Παύσασθε, πρὶν ἄορ ταναὸν θήγοιτο φαεινὸν
καὶ τόξον τανύσειεν ἑτοιμότατον γὰρ ἐτύχθη·
14 ὅπλα γὰρ οὐλομένου θανάτου τέκτηνεν ἐν αὐτῷ,
τοῖσι δὲ καρφομένοις εἰργάσσατο πικρὰ βέλεμνα.
15 Δέρκεο νῦν ὠδῖνος ἐῆς ἀθεμίστιον ἔργον·
κύσσατο μὲν μόχθον, τέκε δ᾽ ἀμπλακίην ἀλεγεινήν·
16 χάσμα μέγ᾽ ἐξώρυξε, κακῇ δ᾽ ἔσκαψε μενοινῇ,
ἀλλ᾽ εἰς ὃν περ ἔτευξε πέσοι κακοεργέα βόθρον,
17 κἀκ κεφαλῆς οἱ ἄλγος ἐπιστρέψειεν ἑτοῖμον
καὶ οἱ ὑπὲρ κορυφῆς ἐπιβήσεται ὕβρις ἀεικής.
18 Εὐδικίης Βασιλῆος ἐπάξιον αἶνον ἀείσω,
οὔνομα δ᾽ Ὑψίστου λιγυρῇ φόρμιγγι βοήσω.

ΨΑΛΜΟΣ Η΄

1 *Δαυίδου ληναῖος ὅδ᾽ ὄγδοος ὕμνος ἐτύχθη*

2 Ἄφθιτε νωιτέρης βιοτῆς οἴηκα φυλάσσων,
21 ὡς ἄρα τοι θητὸν ἐπὶ χθονὸς οὔνομ᾽ ἐτύχθη
καί τοι ἀριπρεπὲς εὖχος ὑπέρδραμεν οὐρανὸν αὐτὸν
3 ἐκ στόματος βρεφέων, ὅθεν ἤνυσας αἶνον ἑτοῖμον
πευκεδανῶν, ἄχραντε Πάτερ, σέθεν εἵνεκεν ἐχθρῶν,
ὄφρά κεν ἐχθρὸν ὁμοῦ καθέλοις καὶ ἀμύντορα λύσοις.

4 Ὄψομαι οὐρανὸν εὐρύν, ὃν ἤδρασε δάκτυλα σεῖο,
ἄστρα τε καὶ μήνην, οἷς πυθμένα θήκαο χειρί.
5 Τίς γὰρ ἔην ἄνθρωπος, ἐπεὶ μιμνήσκεαι αὐτοῦ,
ἢ πάις ἀνθρώπου, ὅτι οἱ καὶ ἐπίσκοπός ἐσσι;
6 Μείονά μιν ποίησας ἐπουρανίων στρατιάων
ἀμφιπεριστέψας καὶ κύδεϊ καὶ γεράεσσιν,
7 ἔργα τεῶν ἔστησας ἐπιθύνειν παλαμάων·
πάντα δέ οἱ θαλεροῖσιν, Ἄναξ, ὑπεθήκαο ποσσίν,
8 ἀγρονόμους τε βόας [τε] καὶ εἰροπόκων γένος οἰῶν
ὅσσα τε καρποτόκον πεδίον καταβόσκεται ἄλλα,
9 αἴθριά τ' οὖν πετεηνὰ καὶ ἰχθυόεντα γένεθλα,
ὁππόσα ποντοπόρους παρεπιστείβουσι κελεύθους.
10 Ἄφθιτε νωιτέρης βιοτῆς οἴηκα φυλάσσων,
ὡς ἄρα τοι θνητὸν ἐπὶ χθονὸς οὔνομ' ἐτύχθη.

ΨΑΛΜΟΣ Θ'

1 *Δαυίδου κρυφίων χάριν υἱέος εἴνατος ὕμνος.*

2 **22** Ἀλλήκτῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω,
ἔργα σέθεν θνητὰ περιφραδέως ἀγορεύσω.
3 Ἐν σοὶ εὐφροσύνην ἐρατὴν καὶ χάρμα τελέσσω,
οὔνομα δ' Ὕψιστον κιθάρῃ σέθεν ὑμνοπολεύσω.
4 Δυσμενέος κακότητι μεταστρεφθέντος ὀπίσσω
ἦντα καταφθίνοιντο τεῶν κεκμηότες ὅσσων,
5 οὕνεκά μευ κατὰ θεσμὸν ἐτίσαο λωβητῆρας,
ἀρχὲ δικαιοσύνης, βριαρῶν ὑπερέζεο θώκων.
6 Ἔθνεσιν ἠπείλησας, ἄφαρ δ' ἐξέφθιτ' ἀλείτης·
οὔνομα δ' αὐτοῦ πᾶσι διαμπερὲς ἠμάλδυνας.
7 Ἔφθιτο δυσμενέος τεύχεα, πολιάς τ' ἀλάπαξας·
σὺν πολλῷ δ' ὁμάδῳ μνημήιον ὤλετο πάντῃ,
8 αὐτὰρ ἐπουράνιος Βασιλεὺς μάλα πάντοτε μίμνει·
εὐνομίῃ στήριξεν ἐὴν πανυπέρτατον ἕδρην,
9 ὄφρα διακρίνειε δίκῃ κλυτὰ πείρατα γαίης,
23 καὶ σφετέροις λαοῖσι δίκην ἰθεῖαν ὀρέξει.
10 Ἀθάνατος Θεός ἐστι δύης ἀνάπαυμα πενιχρῷ,
ἐν δὲ βαρυφροσύναις ἐπιτάρροθος ἄρμενος ἔστη.

11 Ἐλπὶς ἔοις πάντεσσιν, ὅσοι μάθον οὔνομα σεῖο,
οὕνεκεν οὐ προλέλοιπας ἐελδομένους σέο, Ποιμήν.
12 Ἐνναέτην Σιῶνος ἀεὶ φορμίζετ' Ἄνακτα,
πρήξιας ἀθανάτου πυκινοῖς ἀγγείλατε δήμοις,
13 ὡς σφέων ἐμνήσθη φθιμένων διζήμενος αἷμα
οὐδὲ βοῆς δειλῶν ἐπελήσατο πάγχυ πενιχρῶν.
14 Ἀδρανίην ἐλέησον ἐμὴν δηίους ἀπερύκων,
αὐτὸς ἀνυψώων με καὶ ἐκ θανάτοιο πυλάων,
15 πάντα πύλαις Σιῶνος ὅπως τεὸν αἶνον ἀείσω.
Γηθήσω μάλα σῇσιν ἀλεξικάκοισιν ἀρωγαῖς.
16 Ἔθνεα δυσφροσύνῃσιν ἐπετρώθησαν ἑῇσιν·
ᾗ δε πάγῃ κρύπτεσκον, ἐὴ ξυνεέργετο πέζα.
17 Τεύχων ἰθυδίκην Βασιλεὺς ἀρίδηλος ἐτύχθη·
ἀμφ' ἔργοις παλάμης σφετέρης πεπέδηται ἀλιτρός.
18 Εἰς Ἀίδην παλίνορσοι ἀποστρέψειαν ἀλεῖται,
24 ἔθνεα πάντα Θεοῖο λελασμένα αἰὲν ἐόντος·
19 οὐ γὰρ Ἄναξ πτωχοῖο διηνεκέως λελάθοιτο,
οὐδέ ποτ' ἀδρανέων σταθερὴ παραμείβεται ἐλπίς.
20 Ἔγρεο, μὴ δὲ βίῃ κρατέων ἄνθρωπος ἀνάσσοι·
φῦλα διακρίνοιντο τεῶν κατεναντίον ὅσσων.
21 Στῆσον, Ἄναξ, ἀγαθὸν θεσμογράφον ἄλλον ἐπ' αὐτούς·
ἔθνεά μιν γενεῆς βροτέης ἴστωσαν ἐόντα.
22 Τίπτ' ἐπιδευομένων, πανυπέρτατε, τηλόθεν ἕστης,
τειρομένων ἐπίκουρον ἀπηώρησας ὀπωπήν;
23 Πτωχὸς ὑπερβασίῃ φλέγεται κακοεργέος ἀνδρός·
βουλῇσιν φθινύθουσιν ἑαῖς ἀλιτήμονες ἄνδρες.
24 Ἵμερον εὖ μάλα πάντες ἐπευφήμησαν ἀλιτροῦ
καὶ μύθοις ἀθέμιστον ἀρειοτέροις ἐνέπουσι.
25 Θυμὸν ἀειζώοντος ἀτάσθαλος ὦρορ' Ἄνακτος·
ἄπλετα λυσσώων οὐ δίζεται οὐδ' ἐρεείνει
οὐδὲ Θεὸν βλεφάροισιν ὑπερφιάλοισι δοκεύει.
26 Πάντοτε δ' ἀτραπιτοῖσιν ἐλεγχίστῃσιν ὁδεύει·
ὀφθαλμοῖς σφετέροισι τεοὺς ἠρνήσατο θεσμούς·
25 ἄρξει δυσμενέων γεγαὼς κακοεργὸς ἁπάντων·
27 σκέψατο γὰρ πραπίδεσσι μένειν κακότητι πεποιθώς.

28 Οἰγίστοιο πόνου καὶ ἀρῆς στόμα τοῖο βέβυσται,
γλῶσσαν ἀεὶ δολόεσσαν ἔχει περίφορτον ἀνίης.
29 Ἕζεται ὁρμαίνων ἀμφ' ἀφνειοῖο θοώκοις,
βουλαῖς κρυπταδίῃσιν ἀναίτιον ἐξεναρίζων·
αἰεὶ δ' ὀφθαλμοῖς περιδέρκεται ἄνδρα πενιχρόν.
30 Ὡς δ' ὁλοὸς ξυλόχοισι λέων κακὰ μήδεα πέμπει,
θᾶσσον ὅπως ἐλεεινὸν ἀφαρπάξειε προΐκτην,
βουλῆς ἁρπαλέης ἵνα μιν μέλπηθρα τελέσσῃ.
31 Ἐν δὲ λίνῳ δολόεντι κακὸν καὶ ἀνήνορα τεύξει,
ἀλλὰ πέσοι κεκυφώς, πρὶν Ἄναξ κλήζοιτο πενιχρῶν.
32 Εἶπε γὰρ ἀρχαίων ἀμνήμονα μῆτιν Ἄνακτος,
καί οἱ ἀπεστράφθαι πανδερκέα πάμπαν ὀπωπήν.
33 Ἔγρεό μοι, Βασιλεῦ, παλάμην δ' ὕψιστον ἄειρον
μηδὲ βοῆς μογερῶν ἐπιλήθεο πάγχυ πενιχρῶν.
34 Τίπτε κακορρέκτης ἐρέθει Θεὸν αἰὲν ἐόντα;
Εἶπε γὰρ ἐν στήθεσσιν, ὅτ' οὐκέτι δίζεται ἐσσήν.
35 Εἰσοράᾳς, ὅτι μόχθον ὁμοῦ καὶ θυμὸν ἀέξεις
26 ἰσχανόων παλάμῃσιν ἑλεῖν ἀέκοντας ἀνάγκῃ·
μὴ γάρ σοι προλέλοιπεν Ἄναξ ἀχρήμονα φῶτα
ἢ πάρος ὀρφανικῷ ἐπιτάρροθος αὐτὸς ἐτύχθης;
36 Φωτός, Ἄναξ, κρυεροῖο βραχίονα λεπτὰ κεάσσοις,
οὐδὲ τέλος κακίης σφετέρης διζήμενος εὕροι.
37 Ἀλλὰ Θεὸς μετὰ πᾶσι διηνεκέως βασιλεύοι·
φῦλα κακοφροσύνης σφετέρης ἀπολοίατο γαίης.
38 Ἀδρανέων Θεὸς αὐτὸς ἐπεκρήηνεν ἐέλδωρ,
τῶνδε δ' ἑτοιμότατον κραδίης πόθον οὔασιν ἔγνω,
39 ὄφρα κεν ὀρφανικοῖσι καὶ ἀκλειέσσι δικάζοι,
ἀνθρώπων ἵνα μή τις ἔχῃ μεγαλαυχέα γῆρυν.

ΨΑΛΜΟΣ Ι'

1 *Δαυίδου δέκατος πολυάρητος πέλει αἶνος.*

Πῶς ἐρέει τις ἐμεῖο Θεῷ περιθαρσέα θυμὸν
στρουθὸν ὀρεσσιβότοισιν ὅπως θρῴσκοντα νομῆσι;
2 Τόξα κακοὶ τανύουσι, βέλεμνα δ' ἔθεντο φαρέτρῃ,
ἰθυνόους ὀρφνῇθεν ὀιστεῦσαι μεμαῶτες,

3 ἀφραδίῃ καθελόντες, ἅ περ τεκτήναο, Ποιμήν.
Ἀλλὰ τί τοῖον ἔρεξε Θεῷ μεμελημένος ἀνήρ;
4 **27** Νηῷ Παμβασιλεὺς πολυκυδήεντι ἀνάσσων,
οὐρανὸν ἀστερόεντα λαχὼν ὑψαύχενα θῶκον,
φῶτα, μετ' ἀκτέανον πανεπίσκοπον ὄμμα τιταίνων
καὶ βλεφάροις βροτέης γενεῆς διζήμενος ἔργα.
5 Αὐτὸς Ἄναξ ἀγαθόν τε καὶ οὐλοὸν ἄνδρα δικάζοι·
ὃς δ' ἄδικον φιλέει, ψυχῆς ἔθεν ἐχθρὸς ἐτύχθη.
6 Οὐρανόθεν χαλεποῖσι λίνα φθισίμβροτα πέμψει·
πῦρ καὶ θεῖον ὁμοῦ καὶ ἀμειδέος ἄσθμα θυέλλης
σφωιτέρου πέλεται πολυπήμονος αἶσα κυπέλλου,
7 ὅττι δίκαιος Ἄναξ μάλα τ' εὐδικίην ἀγαπάζει
καί οἱ ἀεὶ ἰθεῖαν ὁδὸν θηήσατ' ὀπωπή.

ΨΑΛΜΟΣ ΙΑ'

1 *Ἑνδέκατον Δαυΐδος ἐς ὀγδοάτην ἔφατ' ἠῶ.*

2 Μοῦνε, σάω μ'· ὅσιον γὰρ ἄδην ἐξέφθιτο φῦλον,
ἔργα δ' ἀληθείης μεροπηίδος ὤλετο ῥίζης.
3 Μύθοις μαψιδίοις ἕταρον προσέειπεν ἕκαστος,
χείλεσιν ἐφθέγξαντο δόλους φρεσὶ μητιόωντες.
4 **28** Ἐξολέσαι Θεὸς αἶψα δολόφρονα χείλεα πάντα
καὶ μεγαλαυχέα γλῶσσαν ὑπερφιάλων ἀλεγεινῶν,
5 πάντας, ὅσοι γλώσσῃσιν ἀνηέρθησαν ἐῆσι
καὶ σφίσιν ὠίσαντο φέρειν ἐπὶ χείλεσιν ἔργα·
τίς βροτὸς ἐξ ὑμέων Βασιλεὺς ἄχραντος ἐτύχθη;
6 Εἵνεκεν ἀκτεάνων μογερῶν στοναχῆς τε πενιχρῶν
αὐτὸς ἀναστήσεσθαι Ἄναξ ἐπένευσε κραταιὸς
θήσεσθαί τε φόως ἀναφανδά τε φέγγεϊ ῥέξαι.
7 Μῦθοι θεσπέσιοι, μῦθοι γεγάασιν ἄθικτοι,
ἀργύρῳ ἰσόμοροι φλογερῇ δμηθέντι καμίνῳ,
μοίραις πλειοτέραις κεκαθαρμένῳ ἕφθ' ὑπὲρ αἶσαν.
8 Ἀλλ' ἡμέων ἐν πᾶσι φύλαξ φρουρός τε φανείης,
ἔνθεν Ἄναξ καὶ μέχρις ἀτερμάντοιο βιώνης.
9 Ἄστρασιν εὐκύκλοιο πόλου στείχουσιν ἁλεῖται,
ὡς ἀγαθὸς μερόπων γενεὰς ὤρῃσιν ἀέξεις.

ΨΑΛΜΟΣ ΙΒ′

Δαυίδου κρατεροῖο δυωδέκατος πέλει ὕμνος.

Τίπτε τόσον μεγαλωστὶ λελασμένος ἔπλευ ἐμεῖο;
μέχρι τίνος βασίλειον ἀποστρέψειας ὀπωπήν;
29 μέχρι τεῦ ἡμετέρῃ μένεα φρενὶ μέρμερα πέσσω
ὠδίνων πραπίδεσσιν ὁμοῦ νύκτας τε καὶ ἦμαρ;
μέχρι τεῦ ἐχθρὸς ἐμεῖο καρήατος ὑψόθι θύνει;
Ἀλλ᾽ ἐπιδέρκεο θᾶσσον ἐμῆς τ᾽ ἐπικέκλυθι φωνῆς·
δὸς φάος, ὄφρ᾽ ὕπνον προφύγω, θανάτοιο τοκῆα,
ὄφρα μὴ ἐχθρὸς ἐμὸς μέγ᾽ ἐπεύξεται ὥς με δαμάσσας·
αἴ κεν ὀρινοίμην, κεχαροίατο δήιοι ἄνδρες.
Αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἐλπίδι χαίρω,
πάντοτε γηθήσαιμι μετὰ φρεσὶ σῇσιν ἀρωγαῖς.
Εὐέρκτῃ Βασιλῆι πολύλλιτον ὕμνον ἀείσω,
οὔνομα δ᾽ Ὑψίστου λιγυροῖς μελέεσσιν ἰήνω.

ΨΑΛΜΟΣ ΙΓ′

Δαυίδου σθεναροῦ τρισκαιδέκατος πέλει ὕμνος.

Οὐκ εἶναι Θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων·
αἴσχεα τεκταίνων στυγερὸς καταφαίνεται ἔργοις,
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
Ποιμὴν οὐρανόθεν βρότεον σκοπιάσσατο φῦλον
ὀψόμενος, τίς ἄνακτα Θεὸν διζήμενος εἴη.
Πάντες ἀποκλίναντες ὁμῇ δεδμήατο λώβῃ,
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
Λαυκανίην οἰχθέντι τάφῳ φορέουσιν ὁμοίην
30 γλώσσαις ἀργαλέῃσι δόλον περιμητιόωντες·
οὐλόμενον πέσσουσ᾽ ὀφίων ὑπὸ χείλεσιν ἰόν,
ῥιγίστοιο πόνου καὶ ἀρῆς στόμα τῶνδε βέβυσται,
ὦκα πόδες θύνουσιν ἐπ᾽ ἀνδροφόνοισι κελεύθοις.
Λυσιμελὲς σφετέρῃσιν ὁδοῖς περιπέπταται ἄλγος·
οὐδέ ποτ᾽ εἰρήνης λαθικηδέος εἶδον ἀταρπόν·
οὐδὲ φόβον κατέναντα θεουδέα θῆκαν ὀπωπῆς.
Τῶν δ᾽ ἀγαθῶν ἀγνῶτες, ἀεὶ συμφράδμονες ἄτης,
λαὸν ἐμὸν κατέδοντες ὅπως εὐαλθέα σῖτον,

ἀφραδέως ἐλάθοντο Θεὸν βασιλῆα λίτεσθαι.
Δειμαίνεσκον Ἄδην, ὅτε δείματος οὐ χρέος ἦεν,
ὡς Θεὸς ἐν μέσσῃσι δικαιοτάτῃσι γενέθλαις.
Ἀκτεάνων μή μοί τις ἀτιμήσειε μερίμνας.
οὕνεκεν ἀθάνατος κείνων Θεὸς ἐλπὶς ἐτύχθη.
Τίς πόροι ἐκ Σιῶνος ἐπίρροθον Ἰσραήλου;
Λαοῦ ὅταν στρέψειε Θεὸς καταδούλιον ἦμαρ,
τῆμος ἀγαλλέσθω περιώσιον Ἰσραῆλος.

ΨΑΛΜΟΣ ΙΔ′

Δαυίδου πινυτοῦ δέκατος καὶ τέτρατος ὕμνος.

Τίς κλισίαις, ἄφθαρτε, παραυλίσσαιτο τεῇσιν;
31 Ἢ σεο ναιετάοι τίς ἐπ᾽ οὔρεος ἀχράντοιο;
Εὐδικίῃ καὶ ἀκηρασίῃ μεμελημένος ἀνήρ,
στήθεσιν εὐαγέεσσιν ἀεὶ νημερτέα βάζων,
ἐκπάγλως δολερῆς στυγέων μελεδήματα γλώσσης,
ὃς κακὸν οὐ τέκτηνεν, ἑῷ δ᾽ ἔρραψεν ἑταίρῳ,
οὐδὲ κακοῖς νείκεσσεν ὀνειδείοισι θυραῖον.
Μωμητὸν βασιλῆι κακορραφὲς ἔπλετο φῦλον,
τοῖς δ᾽ ἄρα δειμαίνουσι Θεὸς μέγα κῦδος ὀπάζοι.
Ὅς δέ κέ που ὀμόσειε καὶ ὅρκια πιστὰ φυλάξει
μηδὲ τόκον δυσάλυκτον ἑαῖς παλάμῃσιν ἀγείροι
μηδὲ δίκῃ βλάψειεν ἀναίτιον ἀνέρα δώροις,
οὔ ποτ᾽ ὀρινθείη τρομέων βιότοιο θυέλλας.

ΨΑΛΜΟΣ ΙΕ′

Δαυίδου χαρίεντος ἐπὶ στήλης ἐριτίμου
πρὸς δεκάτῳ πέμπτον τοῦτο μέλος λιγυρόν.

Ἄφθιτ᾽, ἐμὲ φρούρησον, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.
Εἶπα Θεῷ βασιλῆι· σύ μευ Θεὸς ἔπλεο μοῦνος·
οὐδὲ γὰρ ἡμετέρων ἀγαθῶν ἐπιδεύεαι αὐτός.
Θηητὴν ὁσίων χθονίοις ἀνέφηνε γενέθλην
32 παρθέμενος πινυτοῖσι μετὰ σφίσι μήδεα θυμοῦ.
Ἀδρανίαι πλήθουσι, καὶ ἐν σφίσιν εἰσὶ ταχεῖαι·
ἀνδρῶν εὐσεβέων ταχιναὶ βεβρίθασι νοῦσοι.

Νόσφι φόνων ἀδίκων κλισίας σφέων εἰς ἓν ἀγείρω
οὔνομά τ' ἐκ πραπίδων οὐ χείλεσι μνήσομαι αὐτῶν.
Αὐτὸς Ἄναξ κλήρου καὶ ἐμεῦ πέλει αἶσα κυπέλλου,
αὐτὸς ἐμοὶ Βασιλεὺς ζωαρκέα κλῆρον ὀπάζων.
Σχοῖνοί μοι κρατεροῖσιν ἐφωρμήθησαν ἐπ' ἔργοις·
καὶ γὰρ κλῆρος ἐμὸς κρατερὸς καὶ πιστὸς ἐτύχθη,
Μήτιος αἰνήσω πινυτῆς βασιλῆα δοτῆρα·
παννύχιος νεφροῖσιν ἐφ' ἡμετέροις ἐδαμάσθην.
Αἰὲν ἀλεξητήρα Θεὸν προτιόσσομαι ἄντην·
δεξιτερῆς προπάροιθεν ἐμεῦ πέλει, ὥς κέ μ' ἐρείδοι.
Τοὔνεκεν ἰάνθην κραδίη γήθησά τε γλώσση
οὐδέ μευ ἀμπαύοιτο φίλον δέμας ἐλπίδι χαῖρον.
Οὕνεκεν οὐ ψυχὴν Ἀΐδῃ λείψειας ἐμεῖο
οὐδ' ὅσιον φθαρτοῖς ἐναρίθμιον ἀνδράσι θείοις.
33 Εὐαγέας σήμηνας ἐμοὶ βιότοιο κελεύθους·
πλῆσον ἐυφροσύνης με, μάκαρ, μετὰ σεῖο προσώπου,
δεξιτερῇ σεο τέρψις ἀειζώουσα τετύχθω,

ΨΑΛΜΟΣ ΙΣ'

Εὐχὴ Δαυίδου ἑκκαιδέκατος πέλει ὕμνος.

Κλῦθί μευ εὐδικίης, πανυπέρτατε Δῶτορ ἑάων,
ἱκεσίαις τεὸν ὄμμα, μάκαρ, τανύσειας ἐμῇσι,
κέκλυθι νωιτέρης δολεροῖς οὐ χείλεσιν εὐχῆς.
Ἐκ σέθεν εὐθέσμοιο δίκης τέλος ἄμμι φανείη·
ὄμματά μευ δέρκοιντο τεὴν ἰθεῖαν ἀταρπόν.
Ἔγνως μευ κραδίην, δεδαὼς δ' ἐσκέψαο νυκτός,
καί με διοπτεύων καθαρὸν πυρὶ πολλὸν ἐφεῦρες.
Ἔργοις ἀνδρομέοις ἵνα μὴ στόμα πάγχυ μιήνω·
σῶν χάριν ἀτρίπτους ἐπέων ἐφύλαξα κελεύθους.
Ἴχνεσι σοῖς ἀγαθοῖσιν ἐμὸν φίλον ἴχνος ἐρείδοις,
ὄφρα κε ῥιζωθέντες ἐμοὶ πόδες ἄτρομοι εἶεν.
Αὐτός, Ἄναξ, ἐβόησα, φίλης δέ μευ ἔκλυες αὐδῆς·
κλῖνον ἐμοὶ τεὸν οὖας, ἐμῶν δ' ἐπικέκλυθι μύθων.
Θηητὴν ἀνάφαινε τεὴν οἰκτίρμονα βουλὴν
34 ῥυόμενος σύμπαντας ἐπελπομένους σέθεν ἀλκῇ
ἐκ τῶν, οἳ μεμάασιν ἐριδμαίνειν σέο χειρί.

Οἷά περ ὀφθαλμοῖο, Μάκαρ, γλήνην με φυλάσσοις·
σεῖο πολυζήλων σκέπαϊ πτερύγων με πυκάζοις
ἐξ ἀνδρῶν ἀνόμων, οἵ μοι κακότητα τέλεσσαν.
Ἐχθροὶ θυμὸν ἐμεῖο περιστιχόωντες ἔρυκον,
ἀπρήκτοιο κόρου σφετέρην ξυνέεργον ἀλοιφήν,
ᾧ στόματι κρυόεσσαν ὑπερβασίην κατέλεξαν.
Οἵ μέ ποτ' ἐξελάοντες ἐκυκλώσαντο μολόντες,
ἐν γαίῃ κατέπηξαν ἐπικλίναντες ὀπωπάς.
Ὡς δὲ λέων μεθέπεσκον ἑτοιμοτάτην ἐπὶ θήρην,
εἰσάμενοι σκύμνῳ σκότιον λόχον ἀμφιέποντι.
Ἔγρεο καὶ φθάμενος χθονὶ κάββαλε, γούνατα λύσας·
δυσσεβέος μάλα θυμὸν ἀφαρπάξειας ἐμεῖο,
φάσγανον ἄμφηκες δηίων ἐξαίνυσο χειρός.
Ἐξ ὀλίγων με σάω καὶ ἀπὸ χθονός, ἄφθιτε Ποιμήν,
δασσάμενος σκεδάσειας ἔτι ζωοὺς διὰ γαίης.
Σῶν κρυφίων ἔπλησαν ἐὴν πολυχανδέα νηδύν,
πλησθέντες σιάλων λίπον υἱάσι λείψανα δαιτός.
Αὐτὰρ ἐγὼ Βασιλῆι μετ' εὐδικίης προφανείην·
ἄρκιον εἰς κόρον ἄμμι φανέν σεο κῦδος ἐτύχθη.

ΨΑΛΜΟΣ ΙΖ'

35 *Δαυίδου θεράποντος ἐπουρανίου Βασιλῆος*
τοῦτο μεγασθενέος βιοτῆς τέλος, ὡς πρὶν ἔειπεν,
ὁππότε δυσμενέων μιν ἄναξ ἀπελύσατο πάντων
Σαούλου τ' ὀλοοῖο λιλαιομένου μιν ὀλέσσαι.
Ἕφθ' ἅμα καὶ δέκατον προσφθέγξατο πνεύματι κῶμον.

Κάρτος ἐμὸν —σὲ γὰρ οἷον ἀεὶ Θεὸν ἀμφαγαπάζω—,
Αὐτὸς ἔρεισμα καὶ ἄλκαρ ἐμὸν καὶ ἀρωγὸς ἐτύχθης,
ἐλπὶς ἐμὴ τελέθεις καὶ ἐμῶν ἐπιτάρροθος ἔργων,
ἄρρηκτον βιότοιο κέρας καὶ ὑπέρμαχος ἀλκή.
Ὑμνείων σε λιταῖς δηίων ἄπο χεῖρας ἀλύξω.
Ὠδῖνες θανάτου με περιστιχόωντο βαρεῖαι
χείμαρροί τ' ὀρόθυνον ἀμήχανον ἀμπλακιάων,
Ταρταρίων μ' ὠδῖνες ἐκυκλώσαντο βερέθρων,
πλεκτὰ δέ με προύτυψε τανηλεγέος λίνα πότμου·
αὐτὰρ ἐγὼ κίκλησκον ἐπειγόμενος Θεὸν ἄτῃ,

οὐρανόθεν Βασιλῆος ἀρηγόνα χεῖρα βοήσας.
Εὐαγέος καλέοντος ἐμὸν θρόον ἔκλυε νηοῦ·
φθόγγος ἐμὸς δύνειεν ἐς οὔατα πιστὰ Θεοῖο.
8 Χθὼν βριαρὴ δεδόνητο, τρόμος δέ μιν ἔλλαβε πᾶσαν,
36 βυσσόθεν ἠλιβάτων ὀρέων τετάρακτο θέμεθλα
θεσπέσιον τρομέοντα χόλον καὶ μῆνιν ἄνακτος.
9 Ἀθανάτου κοτέοντος ἀπείριτος ὤρνυτο καπνὸς
καὶ πυρὶ λαμπόμενον Μάκαρος σθένος ὦρτο προσώπου,
ἄνθρακες ἐξ αὐτοῖο πυριφλεγέθοντες ἀνῆφθεν.
10 10 Οὐρανόθεν κατέπαλτο πόλον φλογοειδέα κλίνας,
ἀθανάτου πεφόρητο γνόφος παρὰ ποσσὶ Θεοῖο·
11 ἐμβεβαὼς ὀχέεσσιν ἑοῖς πεπότητο Χερουβίμ,
ἵπτατο βυκτάων ἀνέμων πτερύγεσσιν ἀερθείς·
12 κευθόμενος κνέφαϊ —τὸ γὰρ ἤθελεν ἄλκαρ ἑλέσθαι—
ἀμφί ἑ κυκλώουσαν ἀγακλέα θῆκε καλύπτρην.
Οἷά περ αἰθερίαις νεφέλαις κεκρυμμένον ὕδωρ.
13 Ὥρμηθεν νεφέλαι σφετέρων ὑπὸ μαρμαρυγάων,
ἄνθρακες ὀρνυμένοιο πυρὸς μίγνυντο χαλάζῃ.
14 Τῆμος δ' ἐβρόντησεν ἀπ' οὐρανόθεν Θεὸς αὐτός,
ἀθανάτῃ δ' Ὕψιστος ἀπ' αἰθέρος ἴαχεν αὐδῇ.
15 Θεσπεσίοις ἐκέδασθεν ἐπιτροχόωσιν ὀιστοῖς,
πάντες ἅμ' ὠρίνθησαν ὑπ' ἀστεροπῇσι θαμείαις·
16 ὑδροτόκοι δ' ἀνέτελλον ἀκηράσιοι τότε πηγαὶ
37 καὶ πάσης ἐρίβωλα θεμείλια φαίνετο γαίης,
ἄφθιτε· σὴν γὰρ ἅπαντα περιτρομέεσκον ὁμοκλήν·
πνεύματος ἐπτοίηντο τεοῦ τόσον ἄσθμα καὶ ὀργήν.
17 Οὐρανόθεν προέηκε, θοῶς δέ μ' ἐρύσατ' ἀνάγκης,
ἐκ δὲ πολυσμαράγων με θοῶς προσέδεκτο ῥεέθρων.
18 Ῥύσεται ἐκ δηίων μ', οἵσιν περιώσιος ἀλκή,
ἀνδρῶν τ' ἐχθομένων, ὅτι φέρτεροί εἰσιν ἐμεῖο.
19 Ἠπεδανῷ προύτυψαν ἐν ἤματι θωρηχθέντες.
Καί μευ Ἄναξ προμάχιζεν, ἐπεστήριξε δ' ἐρωήν,
20 θαρσαλέον δ' ἔστησεν ἐπ' εὐρυχόροισιν ἀταρποῖς.
Ῥύσεται ἐκ δηίων μ', αὐτὰρ στυγέοντας ἐλέγξει.
21 Μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι,
ἡμετέρων τόδε κέρδος ἀκηρασίης παλαμάων,

22 οὕνεκεν ἀθανάτοιο φίλας ἐφύλαξα κελεύθους
οὐδὲ νόῳ φρασάμην ἕτερον Θεὸν —οὐδὲ γὰρ ἦεν—
23 οὕνεκά οἱ ζωοὺς ὁρόω φρεσὶ πάντοτε θεσμοὺς
οὐδέ οἱ ἀχράντων φυλακὴν λίπον ἐννεσιάων.
24 Καί οἱ ἀμωμήτοισι παρέσσομαι ἴχνεσιν αἰεί,
ἀμπλακίης ἀπάνευθε νόον Βασιλῆι φυλάξω
25 μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι,
38 ἡμετέρων δέρκοιτο δ' ἀκηρασίην παλαμάων.
26 Ἤν ὁσίων συνέριθος ἔῃς, ὅσιός κε γένοιο,
καί κε νόῳ ξυνεόντι μάθοις παρ' ἀθῴου ἀθῷον,
27 ἐσθλῷ δ' ἀνέρι πάντα μεμιγμένος ἐσθλὸν ἀκούσαις
ἠδὲ πάλιν στρεπτῷ παρεὼν βροτῷ εὔστροφος εἴης.
28 Αὐτὸς λαὸν ἀεὶ χθαμαλόφρονα ῥύσεαι ἄτης,
ὀφθαλμὸν δ' ἀκόρητον ὑπερφιάλων ἀλαώσαις.
29 Αὐτὸς λύχνον ἐμὸν πολυφεγγέα πάντοτε τεύξοις,
ἄμμι διαστράψοις δνοφερὸν κνέφας ἐκ σέθεν αἴγλης.
30 Νεύματι σῷ προφύγοιμι κακῶν πολυπήμονα πείρην,
πύργον ὑπερβαίην πίσυνος Θεῷ αἰὲν ἐόντι.
31 Ἀθανάτου βασιλῆος ἀκήρατοί εἰσι κέλευθοι
καὶ μῦθοι πυρόεντες ἀναζείουσιν ἄνακτος·
τῶν δ' ὑπεραθλεύῃσιν, ὅσοις πέλει ἐλπὶς ἐπ' αὐτῷ.
32 Τίς μάκαρ ἀθάνατος πλὴν ἀθανάτου Βασιλῆος;
ἠὲ τίς ἡμετέροιο Θεοῦ Θεὸς ἐκτὸς ἐτύχθη;
33 Ἀμφιβαλών μ' ἔζωσε Θεὸς περιώσιον ἀλκήν,
39 θήκατο δ' ἡμετέρην καθαρὴν καὶ ἄμωμον ἀταρπὸν
34 τεύχων ὠκυπόδεσσι πόδας κεμάδεσσιν ὁμοίους·
αὐτὰρ ἐφ' ὑψίστοισιν ἐμὸν φίλον ἴχνος ἐρείδων,
35 χεῖρας ἐμὰς βριαράς τε μενεπτολέμους τε διδάσκων
παγχάλκειον ἔτευξε βραχίονας ἠύτε τόξον.
36 Καί με πόρες μερόπεσσι φόως ἀλκτῆρά τ' ἀνάγκης,
καὶ σέο δεξιτερὴ πρόμος ἕπλετο πάντοτ' ἐμεῖο,
σεῖο, Μάκαρ, σοφίῃ κραδίην ἰθύνομαι αἰεί,
πάντοτε κυδιάνειρα τεὴ σοφίη με διδάσκει.
37 Ἔμπεδον ἴχνος ἔχω, Σὺ δ' ἐμὰς εὔρυνας ἀταρπούς·
38 οὔ τις ἐλαυνόμενόν με δρόμῳ παρελεύσεται ἐχθρῶν,
39 οὐδὲ βίης λήξαιμι, πάρος λήξουσι δαμέντες·

οὐδὲ πιεζομένοις σταθερὸν σφίσιν ἔσσεται ἴχνος,
ἀλλὰ ποσὶ δμηθέντες ὑφ' ἡμετέροισι πέσοιεν.
40 Ἠνορέῃ μ' ἐκόρυσσας ἀριστοπόνῳ κατὰ δῆριν,
ἀντιβίους ξυνέδησας ἐμῶν ὑπένερθε πεδίλων.
5 41 Δυσμενέες πεφόβηντο φυγῇ μετὰ νῶτα βαλόντες,
αὐτὰρ ἀπεχθαίροντας ἀδευκέι πέφνες ὀλέθρῳ.
42 Αὐτοὶ μὲν βοάασκον, ὁ δ' οὐ σφίσιν ἦεν ἀμύντωρ·
ἀθάνατον καλέεσκον, ὁ δ' οὐκ ἀίεσκε λιτάων.
43 Τοὺς διαλικμήσαιμι ἅτε χνόον ὄντα θυέλλῃ,
10 **40** πηλὸν ὅπως πεζῇσιν ἐπιστείψαιμι κελεύθοις.
44 Δημοτέρων ἔριδός με διχοστασίης τε σάωσον,
καί με καταστήσειας, ἄναξ, κοσμήτορα λαῶν.
Λαός, ὃν ἀγνώσσω, θέτο μευ ζυγῷ αὐχένα δοῦλον·
45 οὔασιν ἡμετέρην ταχυπειθέσι δέξατο φωνήν·
15 ἀλλοδαποὶ γεγαῶτες ἐπεψεύσαντό με παῖδες,
46 μαψιδίως μετὰ γῆρας ἔβαν ἀλλότριοι υἷες
πάντοτε χωλεύοντες ἑῶν ἀπάνευθε κελεύθων.
47 Ζώει ἐμὸς Βασιλεὺς καὶ ἀεὶ πολύαινος ἐτύχθη·
ἡμετέρου βιότοιο Θεὸς πανυπέρτατος εἴη,
20 48 ἔκδικος αἰὲν ὁμῶς γεγαὼς δηίους κεραΐζοι,
ἡμετέρῳ δαμάσας θεοτερπέι κάρτεϊ λαόν.
49 Χωομένων κακότητος ὑπ' ἀντιβίων με φυλάσσοι·
ἀλλ' ἐπαειρομένων, Βασιλεῦ, πολὺ φέρτερος εἴην,
ἀνέρος ἐξ ὀλοοῖο κακορραφίης με σαώσοις.
25 50 Τοὔνεκα σὴν ἀναφανδὰ διίξομαι ἔθνεσιν οἴμην,
οὔνομα δ' ὕψιστον κιθάρῃ σέθεν ὑμνοπολεύσω,
51 οὕνεκα φέγγος ἄειρας ἀλεξίκακον Βασιλῆος,
ἀθανάτην δ' ἐλεημοσύνην τεκτήναο Χριστῷ,
Δαυίδῳ καὶ τοῖο διηνεκέεσσι γενέθλαις.

30

ΨΑΛΜΟΣ ΙΗ'

1 *Ὀκτωκαιδέκατος Δαυίδου ψαλμὸς ἐτύχθη.*

2 Οὐρανοὶ ἄφθιτον εὖχος ἀπαγγέλλουσι Θεοῖο.
41 Χειρῶν δ' ἀθανάτων ἔδος οὐρανοῦ ἔργα λιγαίνει.
3 Ἤματι τιμήεντα λόγον προσερεύξατο ἦμαρ
35 καὶ νὺξ ἀμβροσίῃ σοφίην ὑπεθήκατο νυκτί.

4 Οὐ θρόος ἀλλόγλωσσος ἔην πολὺς οὐδέ τι μῦθοι,
ὧν αὐδῆς λελάθοιντο καὶ οὐκ ἀίοιεν ἁπάντων·
5 σφωίτερος μὴν φθόγγος ὅλην μετενίσσετο γαῖαν
καὶ μῦθοι πεπότηντο διὰ κλυτὰ πείρατα γαίης.
6 Σκηνὴν ἠελίῳ παρεθήκατο τιμήεσσαν· 5
λαμπόμενος δ' αὐτὸς θαλάμων ἅτε νυμφίος ὦρτο·
εἴκελα γηθήσετε δρόμον τελέοντι γίγαντι·
7 οὐρανίης ἑτέρωθεν ἰὼν προελεύσεται ἄκρης,
εὖ δὲ καταντήσειε φανεὶς ἑτέρης ὑπὲρ ἄκρης·
οὐδ' ἔσθ' , ὅς κε φύγῃ φλογερὴν ἀκτῖνα φανεῖσαν. 10
8 Θεσμὸς ἀκηράσιος ψυχοστρόφος ἐστὶν ᾽ ανακτος,
πιστὴ μαρτυρίη σοφίην βρεφέεσσι φυτεύει.
9 Εὐφροσύνην κραδίῃσι δίκαι τεύχουσι Θεοῖο,
ἐννεσίῃ στίλβουσα καὶ ὄμμασι φέγγος ἀέξει.
10 Θεῖον ἀεὶ καθαρόν τε καὶ ἔμπεδον ἔπλετο δεῖμα· 15
42 ἔγνων εὐδικίας παναληθέας αἰὲν ᾽Ανακτος,
11 χρυσοῦ καὶ ψηφῖδος ἀρειοτέρας ἐριτίμου
καὶ πολὺ τερπνοτέρας μελικηρίδος ἱμεροέσσης.
12 Ταῦτα τεὸς θεράπων κεχαρημένος οἶδε φυλάσσειν
μισθὸν ἔχων φυλακῆς ἀγαθῶν περιώσιον ἔργων. 20
13 Τίς κεν ἀναγνοίη πληθὺν βροτὸς ἀμπλακιάων;
Αἰέν, ᾽Αναξ, κρυφίων με κακῶν ἀπάνευθεν ἐρύκοις,
14 μηδέ μοι ἀλλοτρίων κτεάνων φρεσὶν ἵμερος εἴη·
εἰ μή μευ κρατέοιεν, ἀμώμητός κε γενοίμην
νιψάμενος κακότητος ἀτασθαλίης τ' ἀλεγεινῆς. 25
15 Μῦθοι δ' εὐδοκίῃ μεμελημένοι ἰθύνοιντο
καί σευ ἐμῆς κραδίης μελέτη κατεναντίον ὄσσων·
αἰὲν ἀλεξητὴρ καὶ ἐπίρροθος ἔπλευ ἐμεῖο.

ΨΑΛΜΟΣ ΙΘ'

1 *Ἐννεακαιδέκατος Δαυίδου ψαλμὸς ἐτύχθη.* 30

2 Εὐξαμένῳ Θεὸς ἦμαρ ἀλεξήσειεν ἀνάγκης
καί σευ Ἰακώβου πρόμαχος Θεὸς ἄφθιτος εἴη.
3 Ἐξ ἁγίου χατέοντι φίλην ὀπάσειεν ἀρωγήν,
ἐκ δ' ἑρατῆς Σιῶνος ἀλεξίκακος πέλας ἔλθοι.

4 Αὐτὸς παντοίης σευ ἐπιμνήσαιτο θυηλῆς
καί σεο καρφομένην θυσίην πλήσειεν ἀλοιφῆς.
5 Πάντα τοι ἀθάνατος κραδίῃ μεμελημένα ῥέξοι,
43 πᾶσαν ἀναπλήσειε τεὴν θεοτερπέα βουλήν.
6 Σεῖο φερεζώῳ κραδίην κεχαρησόμεθ' ἀλκῇ,
ἀθανάτῳ πίσυνοι μεγαλαυχέες ἐσσόμεθ' αἰεί·
πάντα τεῶν πλήσειεν ἐναίσιμα δῶρα λιτάων.
7 Νῦν ἐδάην, ὡς χριστὸν ἑὸν Θεὸς ἐξεσάωσε·
καί οἱ ἀπ' οὐρανόθεν μεμαὼς καλέοντος ἀκούσαι·
κλεινὸν δεξιτερῆς σφετέρης περὶ κάρτεϊ φέγγος.
8 Οἵδε μὲν οὖν ἵπποισι καὶ ἅρμασιν ἐμβεβαῶτες,
ἡμεῖς δ' ἀθανάτῳ πίσυνοι μεγαλιζόμεθ' αἰεί.
9 Οἵδε πόδας πεπέδηντο, λάθον δ' ἔκπαγλα πεσόντες,
ἡμῖν δ' ἐγρομένοις ἰθύνετο πάντα κατ' αἶσαν.
10 Ἄφθιτε, καρτερόθυμον ἀεὶ βασιλῆα σαώσοις,
εἰσαίοις δ', ὅτε δή σε λιταζόμενοι καλέσαιμεν.

ΨΑΛΜΟΣ Κ'

1 *Δαυίδου κλυτὸς οὗτος ἐεικοστὸς πέλει ὕμνος.*

2 Αἰὲν Ἄναξ, ἄχραντε, τεῷ περὶ κάρτεϊ χαίροι
καὶ σέο γηθήσειεν ἀεὶ κατὰ θυμὸν ἀρωγῇ,
3 οὕνεκά οἱ ψυχῇ κεχαρισμένον ἦδος ἔδωκας,
εὐχωλὴν δ' ἐτέλεσσας, ἅλις δ' ἔλε χείλεσι καρπόν.
4 Μειλιχίαις προύτυψας ἐπ' εὐλογίαις μιν ἰαίνων,
44 στέμμα λίθων γεραρῶν κεφαλὴν ἐστέψαο τοῖο·
5 ῥηίστην βιοτὴν διζημένῳ ἐγγυάλιξας,
ἤμασι μηκεδανοῖσι διηνεκέως βίον ἕλκειν.
6 Κῦδος ἔχει περίπυστον ἀλεξικάκῳ σέθεν ἀλκῇ,
καί οἱ ὑπερτερίην καί τοι πλέον εὖχος ὀρέξοις.
7 Πάντοτ' ἀτέρμαντον καὶ ἀγήραον ὄλβον ὀπάζοις,
χάρματι δ' εὐφραίνοιτο τεῷ, Μάκαρ, ἀμφὶ προσώπῳ.
8 Ἐλπωρὴν ἀνέθηκε Θεῷ γεραρώτερος ἐσσήν,
Ὑψίστου δ' ἐλέῳ πολυθαρσέας ἵρισε πέζας.
9 Ἀντιβίοις ἅμα πᾶσι τεὴν ἐπὶ χεῖρα κορύσσοις,
δεξιτερή σεο πάντας ἀπεχθαίροντας ἐφεύροι.

10 Σεῖο καταφλεχθεῖεν ὑπ' ὄμμασιν ἶσα καμίνῳ,
εἰνὶ δὲ τῷ πυρόεντι κότῳ σύμπαντας ἀτύζοις,
καί σφεας ὀλλυμένους δηλήσεται ἀκαμάτη φλόξ.
11 Πάντα μάλ' ἐξολέσειας ἔῆς ἀπὸ καρπὸν ἀρούρης
καὶ σπόρον αἰνοτόκον μεροπηίδος ἔκτοθι φύτλης,
12 οὕνεκά σοι βρίσαντες ἐπ' ἄλγεα μυρία θέντο·
ἀσταθὲς ἐν στέρνοισιν ἐπεφράσσαντο νόημα.
13 Ἀντιβίων τρέψειας ἐλέγχεα νῶτον ἀκωκῆς,
εἴκελον, ὧν μεθέηκας, ἐὴν τελέσειας ὀπωπήν.
14 Ἀλλ' ἐπιθαρσήσας σθένεϊ μεγαλίζεο, Ποιμήν·
αὐτὰρ ἐγώ σεο κάρτος ἀοίδιμον ὑμνοπολεύσω.

ΨΑΛΜΟΣ ΚΑ'

1 **45** *α. Ἀγαθὸν ἑῴας ἀντιλήψεως μέλος*
Δαυῖδος εἰκοστόν τε καὶ πρῶτον βοᾷ.
β. Πρῶτον Δαβῖδος καὶ ἐεικοστὸν μέλος,
ἦσεν δ' ἑῴας ἀντιλήψεως ὕπερ.

2 Δέρκεο· τίπτε, Μάκαρ, μέ, Μάκαρ, κατὰ πάμπαν ἔλειπες;
3 τῆλέ μευ ἀμπλακίης ἔπεα ζωῆς ἀπερύκοις.
Πρὸς σέ, Μάκαρ, βοάασκον, ἐμὴν δ' οὐκ εἴσεαι αὐδήν,
οὐδὲ μάλ' ἠγνοίησα τεὸν νόον ἐν φρεσὶ νυκτός.
4 Ἐν δ' ἁγίῳ ναίεις, κλέος ἄσπετον Ἰσραήλου.
5 Ἡμετέρων πατέρων ἀριδείκετος ἐλπὶς ἐτύχθης
καί σφεας ἐλπομένους στυγερῶν ἐρρύσαο μόχθων·
6 πρὸς σέ, Μάκαρ, βοάασκον, ἑῆς δ' ἐσάωθεν ἀνάγκης
οὐδέ σευ ἀθανάτης ἀντ' ἐλπίδος αἶσχος ἐφεῦρον.
7 Αὐτὰρ ἐγὼ σκώληξ τε καὶ οὐκ ἄνθρωπος ἐτύχθην,
μῶμος ἐν ἀνθρώποις, λαῷ δ' ἀποφώλιος ὕβρις.
8 Πανσυδίῃ μ' ἐπέμυξαν, ὅσοι πάρος ἔδρακον ὄσσοις,
χείλεσιν ἐφθέγξαντο, κάρη δ' ὑπέροπλον ἔσεισαν·
9 εἰς Θεὸν ἐλπωρὴν ἔλαχεν, ῥύσαιτό μιν ἄτης·
46 ἁρπάξει κακότητος, εἴ οἱ καταθύμιός ἐστι.
10 Τεκνογόνου κευθμῶνος, Ἄναξ, Σύ μ' ἐλύσαο γαστρός·
ἐλπίδα κικλήσκω σε καὶ ἐν μαζοῖσι τεκούσης·
11 σοὶ πίσυνος γενόμην μυχὰ νηδύος εἰσέτι ναίων·

αὐτὸς ἐμὸς Θεός ἐσσι φίλης ἐν γαστέρι μητρός.
Μή μευ ἀποσταίης, ὅτι μοι πέλας ἦμαρ ἀνάγκης
12 οὐδ' ἐπιδευομένῳ μοι ἐπίρροθος ἄλλος ἐτύχθη.
13 Πολλοὶ μὲν κεροέντες ἐκυκλώσαντό με μόσχοι,
ζατρεφέες δ' ἐπὶ τοῖσι περιστιχόωντό με ταῦροι·
14 ἀμφί μοι ὡρμήθησαν ἐὸν στόμα δεινὰ χανόντες,
οἷα λέων ὀλοὸς βρυχώμενος ἅρπαγι θυμῷ.
15 Ὡς δ' ὕδωρ προχυθὲν κεκέδαστό μευ ὀστέα πάντα,
κηρὸς ὅπως κραδίη κατετήκετο γαστέρι μέσσῃ.
16 Τέρσετο δ' ἠπεδανῷ πανομοίιος ὀστράκῳ ἀλκή,
καὶ γλῶτταν δ' ἐπέδησεν ἀμηχανίη μευ πάμπαν.
Εἰς δὲ τέλος θανάτου με καθελκύσαντες ἔθεντο.
17 Ἑσμὸς ἀπειρέσιός με κυνῶν κυκλώσατο τόσσος,
καί με περίστιξε κλισίη κακοεργὸς ἀλιτρῶν,
ἡμετέρας ὤρυξαν ὁμοῦ χεῖράς τε πόδας τε.
18 Ὀστέα δ' ὀφθαλμοῖσιν ἀπηρίθμησαν ἅπαντα,
47 καί με διοπτεύσαντες ἀκηδέα κάλλιπον αὖτως.
19 Ἅπλετα λυσσώοντες ἐμοὺς δάσσαντο χιτῶνας,
καὶ κλήροις πεπάλαχθεν, ὅστις κ' ἐμὰ πέπλα κομίσσῃ.
20 Ἀλλ' ἐμέθεν μὴ νόσφιν ἀποπλάγξειας ἀρωγήν,
ἀντιλαβεῦ δέ γ' ἐπιστρεφέος κάμνοντος παιδός,
21 ἡμέτερον ξίφεος τανυήκεος ἅρπασον ἦτορ,
ῥύεο μουνογένειαν ἐμὴν κυνὸς ὑβριστῆρος·
22 εὖ με σάω, Βασιλεῦ, στόματος βλοσυροῖο λέοντος,
ἐξ ὀλοῶν κεράων ῥύσαιό με μουνοκερήων.
23 Σεῦ ὄνομ' ἀγγείλαιμι κασιγνήτοισιν ἐμοῖσι
καί σε μέσον κλισίης θεοτερπέο ὑμνοπολεύσω.
24 Αἶνον ἀεισάντων, ὁπόσοι φρίσσουσιν Ἄνακτα,
σπέρμα δ' Ἰακώβοιο Θεὸν Βασιλῆα γεραίροι
καί μιν ὑποδδείσειεν ἅπας σπόρος Ἰσραήλου·
25 οὐ γὰρ ὀνοσσάμενος πτωχοῦ πάρος ἔστυγεν εὐχὴν
οὐδ' ἀπ' ἐμεῦ ἔστρεψεν ἑὴν χαρίεσσαν ὀπωπήν,
ἀλλὰ ἐκικλήσκοντος ἐμῶν ἐπάκουσε λιτάων.
26 Ἐκ σέθεν αἶνος ἐμὸς μεγάλην μεθ' ὁμήγυριν ἀνδρῶν,
εὐσεβέων κατέναντα φίλας τίσαιμι θυηλάς.
27 **48** Δαισάμενοι χατέοντες ἐὸν πλησαίατο θυμόν,
Ποιμένα δ' αἰνήσσουσι θεουδέες ἄφθιτον ἄνδρες·

αὐτῶν θυμὸς ὄνοιτο διηνεκέος βιότοιο.
28 Ἀθανάτου μνήσαιντο παλίνδρομα πείρατα γαίης
καί μιν γουνάσσονται ἐνωπαδὸν ἔθνεα πάντα·
29 θείη κοιρανίη καὶ Ἄναξ Θεὸς ἔπλετο δήμων.
30 Δαισάμενοι λιτάνευσαν ἀριπρεπέες χθονὸς ἄνδρες·
Ἄντα ἐγουνάσσονται, ὅσοι χθονὸς ἔρχατ' ἔνερθε.
31 Ζώει θυμὸς ἐμὸς φῦλόν τέ μευ αὐτῷ ἔριθος·
ὀψιγόνων τάδε φῦλα Θεῷ φρασάτω Βασιλῆι.
32 Οὐρανοὶ εὐδικίην ἀγαθὴν ἐρέουσι Θεοῖο
λαῷ ἀεξομένῳ, τὸν ἀγήραος ἔκτισεν ἐσσήν.

ΨΑΛΜΟΣ ΚΒ'

1 *Εἰκοστὸν ἤδὺ δεύτερόν τε μέλπεται*
τῷ καλλινίκῳ τοῦτο Δαυίδῳ μέλος.

Οὔ τινος ἀθάνατός μ' ἐπιδευέα πάγχυ νομεύοι.
2 Εὖ με παρὰ χλοάοντι κατεστηρίξατο χώρῳ,
θυμὸν ἐπ' ὀλβίστοις ἀναπαύματος ὕδασι φέρβεν.
3 **49** Ἐξ ὀλιγηπελίης παλινάγρετον ἦτορ ἐγείρει,
πρὸς δὲ δικαιοσύνης ἱερὰς ἴθυνεν ἀταρποὺς
εἵνεκεν ἀθανάτοιο μεγασθενέος Βασιλῆος.
4 Εἰ γὰρ καὶ θανάτοιο μέσον σκιόεντος ὁδεύσω,
οὔ κεν ὑποδείσαιμι τεῇ περιθάρσυνος ἀλκῇ·
σκῆπτρόν σευ ῥόπαλόν τε παραιφασίην φρενὸς ἔσχον.
5 Ἀθανάτην μοι, Ἄναξ, παρεθήκαο σεῖο τράπεζαν
ῥιγεδανῶν βρίθουσαν ἐμῶν κατεναντίον ἐχθρῶν.
Νωιτέρην ἀγαθῷ κεφαλὴν πίηνας ἐλαίῳ·
οἷά περ εὐφροσύνης σέο μοι δέπας ἔμπεδον ἔστω.
6 Σεῖο διηνεκέως ἐλεημοσύνη με διώκοι
ἤμασι μηκεδανοῖσι Θεοῦ ναίοντα μέλαθρα.

ΨΑΛΜΟΣ ΚΓ'

1 *Πρὸς κλεινὸν ἦμαρ σαββάτου πρώτου μέλος*
Δαυῖδος ἠλάλαξεν εἰκοστὸν τρίτον.

Χθὼν Βασιλῆος ἔφυ καὶ ὅσος χθονὸς ἔπλετο κόσμος,
ἄστεα καὶ ξύμπαντες, ὅσοι περιναιετάουσιν·

2 αὐτός μιν κατένασσεν ἐπ᾽ ἀτρυγέτοιο θαλάσσης
καὶ ποταμῶν καθύπερθεν ἑῇ τεχνήσατο βουλῇ.
3 Τίς βροτέης γενεῆς ἐπιβήσεται οὔρεϊ θείῳ;
ἢ τίς ἐπ᾽ εὐαγέος δαπέδου φίλον ἴχνος ἐρείσει;
4 **50** Ὃς καθαρὰς παλάμας κραδίην τ᾽ ἄχραντον ἔχῃσιν
οὔ ποτε μαψιδίοισιν ἐὸν πνεῦμ᾽ ἠπεροπεύσας
οὐδ᾽ ὅρκον δολόεντα φίλῳ παρὰ μοῖραν ὀμόσσας.
5 Οὗτος ἀπ᾽ ἀθανάτοιο κομίσσεται αἶνον Ἄνακτος,
θεσπεσίην δ᾽ ἐλεητὺν ἄφαρ Σωτῆρος ἐφεύροι.
6 Ἥδε Θεὸν Βασιλῆα βροτῶν ποθέουσα γενέθλη,
ἐλδομένη Θεὸν αὐτὸν Ἰακώβοιο νοῆσαι.
7 Ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες,
εὖ δ᾽ ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες,
ὥς κεν ἐυκλείης μεμαὼς παρελεύσεται ἐσσήν.
8 Τίς δ᾽ ὅδ᾽ ἐυκλείης Βασιλεὺς ἄχραντος ἐτύχθη;
Ἀθάνατος σθεναρός τε καὶ ἀπροτίοπτος ἐρωῇ,
ἀθάνατος μενέχαρμος ἀεὶ περὶ κάρτεϊ γαίων.
9 Ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες,
εὖ δ᾽ ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες,
ὥς κεν ἐυκλείης μεμαὼς παρελεύσεται ἐσσήν.
10 Τίς δ᾽ ὅδ᾽ ἐυκλείης Βασιλεὺς ἄχραντος ἐτύχθη;
Μοῦνος Ἄναξ σθενέων ὅδε κύδεος ἄφθιτος ἐσσήν.

ΨΑΛΜΟΣ ΚΔ′

1 **51** *Τέτρατον εἰκοστόν τε μέλος Δαυῒδος ἄεισεν.*

Σοὶ περιθαρσήεις, Βασιλεῦ, μεγαλίζομαι ἦτορ,
2 μηδ᾽ ἐπιπιστεύσας τοι ἐλεγχέα μῶμον ἑλοίμην
μηδὲ γέλως ὀλοοῖσι παρ᾽ ἀντιβίοισι γενοίμην
3 ἀψεγέες γὰρ πάντες, ὅσοις Θεὸς ἐλπὶς ἐτύχθη·
μαψιδίων πρηκτῆρες ἐπαισχύνοιντο κακοῖσιν.
4 Ἀμφαδίην γνοίημι, Μακάρτατε, σεῖο κελεύθους,
καί με τρίβους ἀγαθάς τε θεοδμήτους τε διδάσκοις·
5 σὴν μετ᾽ ἀληθείην με πολύλλιτον ἡγεμονεύοις,
ὡς δ᾽ ἀλκτὴρ ἀγαθός με ἐοικότα πάντα διδάσκοις.
Λισσόμενός σ᾽ ἄλληκτα πανημέριον δρόμον ἕλκω·

6 ἀλλὰ τεῆς ἐλεημοσύνης μεμνημένος εἶης,
ἐκ παλαχῆς μετὰ πᾶσι νέμοις οἰκτίρμονα θυμόν.
7 Μή μευ ἀτασθαλίην σφαλερῆς μεμνήσεται ἥβης,
εὖ δὲ Θεὸς γεγαὼς ἐλεητύος ἄξια ῥέξοις
εἵνεκα τιμήεντος ἐνηείης Βασιλῆος.
8 Πρηΰνοός τε καὶ ἰθύδικος Θεὸς αἰὲν ἐτύχθη·
52 τοὔνεχ᾽ ἁμαρτινόοις ὁσίην ὁδὸν ἔφρασε θυμῷ.
9 Ἀνδρῶν εὐδικίης ἡγήσεται ἠπιοθύμων,
ἀτραπιτοὺς σφετέρας ἀγανόφροσιν ἐξαναφαίνοι.
10 Ἀθανάτου πᾶσαι νημερτέες εἰσὶν ἀταρποί,
μαρτυρίην μεθέπουσι συνημοσύνην τε Θεοῖο.
11 Εἵνεκεν ἀθανάτοιο μεγασθενέος Βασιλῆος
ἀμπλακίαις πυκινῇσιν ἐμαῖς, Πάτερ, ἵλαος εἴης.
12 Τίς τόσον ἀθάνατον τρομέων ἄνθρωπος ἐτύχθη;
Εἰς ἀρετὴν σπεύδων θεοτερπέα θεσμὸν ἀνύσσοι,
13 αἰὲν ἐπ᾽ ὀλβίστοις κραδίην πολυγηθέα βόσκων,
καὶ χθόνα τιμήεσσαν ἑοὶ κτησαίατο παῖδες.
14 Ἀθάνατον τρομέουσι πέλει περιώσιος ἀλκή,
οὔνομα δ᾽ ἀθανάτοιο φέρει τρομέουσιν ὄνειαρ,
συνθεσίην ἀρίδηλον ἐὴν σφίσιν ὄφρα φαείνῃ.
Νωλεμέως ὀφθαλμὸν ἀπηώρησα Θεοῖο,
15 οὕνεκά μευ δολεροῖο πάγης ἐξέσπασε πέζας.
16 Οὐρανόθεν μοι, Ἄναξ, πανδερκέα τεῖνον ὀπωπήν,
οὕνεκα μουνογενής τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.
17 **53** Ψυχῆς ἡμετέρης πυκιναὶ βρίθουσιν ἀνίαι,
ἀλλά με ῥιγεδανῆς ἀπολύσεαι αὐτὸς ἀνάγκης.
18 Ἀδρανίην καὶ μόχθον ἰδὼν ἐμὸν ἵλαος εἴης·
19πληθὺν ἐμῶν δηίων ἐπιδέρκεο νηλεοθύμων,
οἵ μοι ὀδυσσάμενοι ἀθεμίστιον ἔχθος ἔθεντο.
20 Ψυχῆς ἡμετέρης περικήδεο καί με φύλασσε·
μηδέ μ᾽ ἔλοι ποθὲν αἶσχος , ἐπεὶ σύ μοι ἐλπὶς ἐτύχθης.
21 Σεῦ ἕνεκ᾽ ἰθυνόους καὶ ἐνηέας εὗρον ἑταίρους.
22 Ἰσραήλου πᾶσαν ἀλεξήσειας ἀνάγκην.

ΨΑΛΜΟΣ ΚΕ′

Δαυίδου πέμπτός τε καὶ εἰκοστὸς πέλει ὕμνος.

Ἡμετέρῳ δικάσειας, Ἄναξ, ἀγανόφρονι θυμῷ·
μή μ' ὀλιγηπελίη πίσυνον Βασιλῆι δαμάσσῃ.
Εἰ δ' ἄγε πείρησαι καὶ ἐμὴν σκοπιάζεο βουλήν·
νεφροὺς καὶ κραδίην κρίνοις περιθαλπέι πυρσῷ.
Ὀφθαλμῶν ἐλεητὺς ἐμῶν σέθεν ἀντίον ἐστί,
καί σευ ἀληθείῃ γενόμην καταθύμιος αἰεί.
Οὔ ποτε μαψιδίοισι μολὼν ἐκάθισσα θοώκοις
οὐδ' ἐπαγειρομένοισι συνέμπορος ἦλθον ἀλείταις·
τέκτοσιν ἀμπλακίης ὀλοοῖς ἤχθηρα παρεῖναι,
54 δυσσεβέων δ' ἀθέριξα κακὴν καὶ ὑπέρβιον ἕδρην.
Ἀχράντοισιν ἐμὰς ἀπονίψομαι ὕδασι χεῖρας,
καί σεο βωμόν, Ἄναξ, πανακήρατον ἀμφιπολεύσω,
εἰσόκεν εὐφήμοιο βοῆς κλυτὸν αἶνον ἀίσθω
καί σεο θέσκελα ἔργα περιφραδέως ἀγορεύσω.
Θεσπεσίων ἀρίδηλον ἕδος ἐπόθησα μελάθρων,
ὄλβιστον δ' ἀνάπαυμα τεῆς ἐρικυδέος ἀλκῆς.
Μή μευ θυμόν, Ἄναξ, μετὰ δυσσεβέεσσιν ὀλέσσῃς
μηδὲ μετ' ἀνδροφόνοισι βίου ποτὲ μοῖραν ὀπάσσῃς
κείνοις, ὧν γεγάασιν ἀτασθαλίαι παλάμῃσι,
καί σφεων δεξιτεραὶ μογεροῖς βρίθουσ' ὑπὸ δώροις.
Αὐτὰρ ἐγὼ σπεύδων βίον ἤλασα μείλιχον αἰεί·
ῥυσάμενός μ' οἰκτειρον, ἐπεὶ σταθερὸν λάχον ἴχνος·
καί σε, Μάκαρ, μέλψαιμι παρὰ κλισίῃσι λιγαίνων.

ΨΑΛΜΟΣ ΚΣ′

Πρόσθεν ἀνακτορίης γεραρῆς Δαυΐδος ἀμύμων
ἕκτον ἐεικοστόν τε σοφὸν τεχνήσατο κῶμον.

Ἄλκαρ ἐμὸν καὶ φέγγος Ἄναξ, τίνα δειμαίνοιμι;
αὐτὸς ἐμεῦ βιότοιο πρόμος, τίς κέν με φοβοίη;
Σαρκοφάγοι μεμαῶτες ἐμοῖς μελέεσσι πελάσσαι
55 κάππεσον ἀδρανίῃ δήιοι καὶ ἀνάρσιοι ἄνδρες.
Οὐκ ἀλέγω, οὐδ' εἴ μοι ἅπας στρατὸς ἀντίος ἔλθοι·
ἐλπὶς ἐμὴ Θεός ἐστι, τί μοι δέος ἔπλετο χάρμης;

Ἐν λιτόμην θεόθεν, τὸ δέ μοι τριπόθητον ἐτύχθη,
ναιετάειν μεγάροισι διηνεκέως Βασιλῆος,
αἰεὶ θεσπεσίην σκοπιαζέμεν ὄμμασι τέρψιν,
αἰεὶ νηὸν Ἄνακτος ἀκήρατον ἀμφιπολεύειν.
Ὥρῃ ἀναγκαίῃ κλισίῃσί μ' ἔκευθεν ἑῆσιν,
ἀθανάτοις καλύβης με παρ' ἐνδομύχοισι καλύπτων,
ἠλιβάτου περίπυστον ὑπὲρ πέτρης ἀναείρας.
Νῦν δ' ἐμὸν ὦδ' ἀνάειρεν ἐπ' ἀντιβίοισι κάρηνον·
θείην ἀμφέρρεξα θύος κλισίην ἀλαλάζων·
ἀθάνατον ψαλμοῖσι καὶ εὐεπίῃσιν ἀείσω.
Πρὸς σέ, Μάκαρ, βοώντος ἐμῆς ἐπικέκλυθι φωνῆς·
κέκλυθι καὶ μ' ἐλέαιρε. Νόος δέ τοι εἶπεν ἐμεῖο·
νωιτέρῃ μέμονε κραδίῃ τεὸν ὄμμα νοῆσαι,
σὸν φάος εὐάντητον ἀεὶ διζήμενος εἶην.
Μή μευ σὴν χαρίεσσαν ἀποστρέψειας ὀπωπὴν
μηδὲ παρακλίνειας ὀδυσσάμενος θεράποντι.
Αὐτός, Ἄναξ, ἐπίκουρος ἔοις καὶ μή με μεθείης
μηδέ με καλλείψειας, ἐὼν Θεὸς αἰὲν ἀμύντωρ,
οὕνεκα δή με πατὴρ καὶ πότνια κάλλιπε μήτηρ·
56 ἀθάνατος δ' ὑπέδεκτο καὶ ἐξεσάωσε φυλάσσων.
Σῇσι, Μάκαρ, θέσπισον ἀεὶ βαίνειν με κελεύθοις,
εἵνεκα δυσμενέων ἀγαθῇ μ' ἴθυνον ἀταρπῷ.
Μή με πόροις ψυχῇσιν ἑλώριον ἔμμεναι ἐχθρῶν,
οὕνεκά μευ κατέναντ' ἄδικοι ἐπιμάρτυροι ἔσταν·
αὐτῇ δυσνομίῃ δ' ἀδίκοις ἐψεύσατο λώβαις.
Ἐν γαίῃ μακάρων Θεοῦ ὄψομαι ὄμμασιν ὄλβον.
Ἐλπωρὴν Βασιλῆι Θεῷ παρακάτθεο πᾶσαν·
θάρσει, καί σεο θυμὸς ἀεὶ κρατερώτατος ἔστω,
ἐλπωρὴν δὲ Θεῷ παρακάτθεο πᾶσαν Ἄνακτι.

ΨΑΛΜΟΣ ΚΖ′

Εἰκοστὸν ἕβδομόν τε Δαυΐδου μέλος.

Πρὸς σέ, Μάκαρ, βοάω, σιγῇ μὴ δή με παρέλθοις·
μή σεθεν ἠρεμέοντος ἐρυκομένου τε σιωπῇ
πυθμένα νισσομένοις χθόνιον πανομοίοις εἴην.

2 Εὐχωλῆς ἐπάκουσον ἐμῆς, Μάκαρ, ἀντομένοιο,
εὖτε πρὸς ἄχραντον παλάμας σέο νηὸν ἀείρω.
3 Μή μευ ἁμαρτινόοις κραδίην ἅμα σύνδρομον ἕλκοις
μηδὲ μετ' ἐργατίνῃσι κακορραφίης με δαμάσσῃς,
εἰρήνην σφετέροισιν ὅσοι λαλέουσιν ἑταίροις,
ἄλγεα δ' ἐν στέρνοισι κατακρύπτουσι ἑοῖσιν.
4 **57** Οὐλομένων δέξαιντο πόνων ἀντάξιον ἄτην·
δὸς σφίσιν, ὦ Βασιλεῦ, σφετέρων ἀντάξια ἔργων,
οἷά τε χερσὶν ἔρεξαν ὁμῶς κομισαίατο δῶρα·
μισθὸν ἕλοιντο δίκῃ μεμελημένον ὧν δόσαν ἄλλοις,
5 ἀθανάτου ὅτι πάμπαν ἔσαν ἀμνήμονες ἔργων,
ἔργων δ' ἐξελάθοντο Θεοῦ μεγάλου παλαμάων·
αἰεί σφεας καθέλοις καὶ μή ποτε πάμπαν ἐγείροις.
6 Ἀθάνατος πολύαινος ἐμῆς Θεὸς ἔκλυεν αὐδῆς,
7 αὐτὸς Ἄναξ ἐπίκουρος ἐμὸ πρόμαχός τε τέτυκται.
Οἶδα νόῳ, πόσον ἐλπὶς ἐφεύρατο κέρδος ἀρωγῆς
ὑψικόμοις τ' ἀνέθηλεν ἐμὸν δέμας ἶσα πετήλοις·
καί οἱ ἑκὼν ἀγαθόν τε καὶ ἄσπετον αἶνον ἀείσω.
8 Αἰὲν Ἄναξ λαοῖο βίη καὶ κάρτος ἐτύχθη
σφωιτέου χριστοῖο διηνεκέως προμαχίζων.
9 Λαὸν σὸν καὶ κλῆρον εὐκλήεντα σαώσοις
καὶ σφέας ἠνεκέως ἀγαθοῖς ἀνάειρε νομεύων.

ΨΑΛΜΟΣ ΚΗ'

1 *Ὄγδοον εἰκοστόν τε μέλος κλισίηθεν ὁδεύων*
Δαυῒδος κελάδησε σοφῇ φόρμιγγι λιγαίνων.

Οἴσετε Παμβασιλῆι, Θεοῦ μεγαλαυχέες υἷες,
58 οἴσετε Παμβασιλῆι Θεῷ ἁπαλόχροας ἄρνας,
2 οἴσετε Παμβασιλῆι Θεῷ τιμήν τε καὶ εὖχος,
οἴσετε τιμήεντι φερώνυμον εὖχος Ἄνακτι·
αὐλῇ ἐν ἀχράντῳ λιτανεύσατε ποιμένα κόσμου.
3 Ἀθανάτου βόμβησε ἐφ' ὕδασιν ἄτρομος αὐδή,
ἀρχὸς ἐυκλείης ἀριδείκετος ἐβρόντησεν,
αὐτὸς Ἄναξ πολέεσσιν ἐφ' ὕδασιν ἀμφιβέβηκε.
4 Φωνὴ Παμβασιλῆος ἐῇ περιώσιος ἀλκῇ,
φωνὴ Παμβασιλῆος ἀριπρεπέεσσιν ἐπ' ἔργοις.

5 Φωνὴ θεσπεσίη περιμήκεας ἔθλασε κέδρους,
ἀθάνατος κέδρους βριαρὰς Λιβάνοιο κεάσσοι
6 λεπταλέας τεύχων Λιβανήιον οἷά τε μόσχον·
μουνογενὴς δ' ἅ περ υἱὸς ὀρέστερος οἰοκερῆος.
7 Θεσπεσίῃ τέμνουσα πυρὸς φλόγα Ποιμένος αὐδή,
8 θηροκόμων δονέουσα Θεοῦ διὰ γῆρυς ἐρήμων·
ἀγροτέρης πανέρημα Κάδης Θεὸς ἀμφελελίζοι.
9 Ἐρχομένης ἐλάφοιο δρόμου θρόος ἶσος Ἄνακτος,
59 ὅς τε λίην βόμβησεν ἀπὸ δρυμὰ μακρὰ καλύψων·
πᾶς δέ τις ἐν νηῷ μάκαρος Θεοῦ εὔχος ἀείσοι.
10 Ναιετάει Βασιλεὺς ἀρετὰς κρουνηδὸν ἰούσας·
ἀθάνατος καὶ ἄπαυστος Ἄναξ θώκοισι θαάσσοι.
11 Αὐτὸς ἑοῖς λαοῖσι βίην ἄρρηκτον ὀπώζοι,
αὐτὸς ἐν εἰρήνῃ ζωαρκέι λαὸν ἀέξοι.

ΨΑΛΜΟΣ ΚΘ'

1 *Εἰκοστὸν κελάδησε καὶ εἴνατον ἱερὸν ὕμνον*
Δαυῒδος πινυτὸς δωμησάμενος νέον οἶκον.

2 Σὸν κράτον ὑψώσαιμ', ὅτι προσεδέξαο, Ποιμήν,
οὐδέ μ' ἐπευχομένοις δηίοις δωρήσαο χάρμα.
3 Ἡμάτιος βοάασκον, ἐμὴν δ' ἰήσαο νοῦσον,
4 ψυχὴν δ' ἐξ Ἀίδαο παλίσσυτον ἦγες ἐμεῖο
καί με κατερχομένων ὑπὸ πυθμένα ῥύσαο γαίης.
5 Εὐαγέες, μελέεσσι Θεὸν φορμίξατε θείοις
καί οἱ ἀκηράσιον μνημήιον αἰνετὸν ἔστω,
6 οὕνεκα μηνίσαντι Θεῷ κότος ἐστὶ βαρύφρων
καὶ μεταμηνίσαντι φάος πραπίδεσσι βιώνης·
ἑσπέριον κλαυθμὸν τέρψις μεταμείψεθ' ἑῴη.
7 **60** Εἶπον· ἔνευες τοί, ὅτι μοι σάκος οὔποθεν εἴη.
8 Κάλλεϊ νωιτέρῳ σθένος ἄφθιτον ἐκ σέθεν ἔστω·
ὄμμα σέθεν στρέψαντος ἐμὰ κλόνος εἵλετο γυῖα.
9 Πρὸς σέ, Μάκαρ, βοόων λίτομαι Θεὸν αἰὲν ἐόντα.
10 Τί πλέον, εἰ πόρον αἷμα καὶ εἰς Ἀίδαο κατῆλθον;
μή σε κόνις μέλψειεν, ἀληθείην δ' ἀγορεύσει;
11 Εἰσαΐων μ' ἐλέησεν Ἄναξ καὶ ἐπίρροθος ἔστη·

12 θρῆνον ἐμὸν μετέθηκε, γόον δ' ἠλλάξατο χάρμα·
εὐφροσύνην μ' ἔζωσεν, ἔρηξε δὲ πένθιμον ἦμαρ.
13 Φορμίζειν σ' ἐμὸς ὄλβος, ὅλον δέ με καίνυται οἶμη·
ἄφθιτε Παμβασιλεῦ, σὲ διηνεκέως ἀναμέλψω.

ΨΑΛΜΟΣ Λ′

1 *Τήνδε τριηκοστὴν ἱερὴν πεφορημένος οἶμην*
πνεύματι Δαυῖδος θεσπεσίῳ βοάᾳ.

2 Μή με καταισχύνειας, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης·
σῇ, Μάκαρ, εὐδικίῃ περικήδεο καί με φύλασσε.
3 Ὠκύτερόν με σάω κλίνας ἀριήκοον οὖας·
νωίτερος Θεὸς ἔσσο κατὰ χρέος ἀσπιδιώτης,
οἴκῳ ἀοσσητῆρι πανείκελος, ὥς με σαώσῃς.
4 **61** Αὐτὸς ἐμὸν πολύχαλκον ἔδος καὶ ἐυσταθὲς ἄλκαρ,
ἡμετέρου γεγαὼς βιότου τροφὸς ἡγεμονεύοις.
5 Ῥηιδίως, Ἄχραντε, πάγης κρυφίης με σαώσοις,
οὕνεκα νωιτέρου βιότου πρόμος ἔπλεο μοῦνος.
6 Πνεῦμα φίλον σέο χερσὶ φερεζώοις παραθείην·
ἀρχὸς ἀληθείης τελέθων ἐπελύσαο μόχθων.
7 Ἀπρήκτου ματίης ὠδύσσαο πάντοτε φρουρόν·
αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἐλπίδι χαίρω,
8 σῇ φρένα τερψάμενός τ' ἐλεημοσύνῃ κεχαροίμην·
ὅττι μευ ἀδρανίην ἀγανόφροσιν εἶδες ὀπωπαῖς,
ψυχὴν ἡμετέρην ὀλοῆς ἐσάωσας ἀνάγκης,
9 οὐδέ με δυσμενέος παλάμῃ ξυνέεργες ἀνιγρῇ·
ἴχνιά μευ στήριξας ἐπ' εὐρυχόροιο κελεύθου.
10 Τειρόμενόν μ' ἐλέησον, ἐπεὶ περικήδομαι αἰνῶς·
μῆνις ἐπιβρίσασα δ' ἐμὴν κλονέεσκεν ὀπωπὴν
γαστέρα θ' ἡμετέρην καὶ ἐμὸν πολυώδυνον ἦτορ.
11 Ἀμφ' ὀδύναις πυκινῇσι μαραινόμενον βίον ἔλκω,
ἐν στοναχαῖς τ' ἐνιαυτοὶ ἀπολλήγουσι βιώνης.
Κάρτος ὀιζυρῆς πενίης ἐξέφθιτο μόχθοις
καί μευ φρικαλέη ταραχὴ λάβεν ὀστέα πάντα.
12 Αἶσχος ὑπὲρ πάντας γενόμην περιώσιον ἐχθρούς,
μωμητὸς γνωστοῖσι, φίλοισι δὲ δεῖμα θυραίοις,
62 οἵ με πάρος λεύσσοντες ἔβαν μάλα νόσφι φυγόντες.

13 Νεκρὸς ὅπως ἄπρηκτος ἀπὸ κραδίης ἐπελήσθην,
τεύχει ἀπολλυμένῳ πανομοίιος ἐξεφαάνθην,
14 μῶμον ἐλεγχήεντα περικτιόνων ἐπακούσας,
οἵ θ' ἅμ' ἀγειρόμενοί μοι ἐναντίοι ἠερέθοντο,
στήθεσιν ὁρμαίνοντες ἐμεῦ ἀπὸ θυμὸν ἐλέσθαι·
15 αὐτὰρ ἐγὼ κάλεόν σε Θεόν· σὺ γὰρ ἐλπὶς ἐμεῖο.
16 Σῇσι, Μάκαρ, μετὰ χερσὶν ἐμοὶ κλῆροι γεγάασι·
ῥύεο δυσμενέων με καὶ ἀντιβίων παλαμάων.
17 Ἀθάνατον προύφαινε τεῷ θεράποντι πρόσωπον·
εἵνεκα σῆς ἀγαθῆς ἐλεημοσύνης με σαώσοις.
18 Μὴ πόθεν αἶσχος ἔλοιμι· σὲ γὰρ καλέεσκον ἀρωγόν·
εἰς Ἀίδην κατάγοιντο καταισχυνθέντες ἀλεῖται.
19 Ἄφθογγ' ἂν δολόεντα γενοίατο χείλεα φωτῶν,
ὅσσα κατεφθέγξαντο κακορραφίην ὁσίοιο
πολλὸν ἀγηνορίῃσιν ὀνοσσάμενα στυγερῇσι.
20 Σῆς ἀγανοφροσύης ἀπερείσιος ἐσμὸς ἐτύχθη,
ἣν κρύψας μάλα δή σε περιτρομέουσι φυλάσσων·
σῆς ἐπιδευομένοις εἰργάσσαο πάντοτ' ἀρωγῆς
ἀνδρομέης κατέναντα πολυτλήτοιο γενέθλης.
21 **63** Ἔκτοσθεν βροτέης ταραχῆς σφέας ἀμφικαλύπτοις,
νείκεος ἐν κλισίῃσι τεαῖς ἀπάνευθε πυκάζοις.
22 Αἰνετός, ὅς ῥ' ἐλετὺν ἐν ἄστεϊ θῆκεν ἀγητήν.
23 Θαμβήσας ἐφάμην πεσέμεν σέο νόσφιν ὀπωπῆς·
ἔνθεν, Ἄναξ, βοόωντος ἐμῶν ἐπάκουε λιτάων.
24 Ἀμφαγαπαζέσθων ὅσιοι σύμπαντες Ἄνακτα,
οὕνεκ' ἀληθείης Βασιλεὺς ἐμπάζεται αἰεὶ
μισθὸν ὑπερφιάλοις ἀντάξιον ἐγγυαλίζων.
25 Θαρσεῖτε, κραδίη δὲ μάλ' ὑμέων ἔμπεδος ἔστω,
ὅσσοι ἐπουρανίοιο Θεοῦ ἐλπίζετ' ἀρωγήν.

ΨΑΛΜΟΣ ΛΑ′

1 *Τοῦτο τριηκοστὸν τελέθει καὶ πρῶτον ἄεισμα*
Δαυίδου πινυτοῦ καλὰ μελιζομένου.

Ὄλβιοι, οἵ τ' ἀνέδειχθεν ἐλεύθεροι ἀμπλακιάων
οἷσί τ' ἀτασθαλίαι μεμελημέναι οὐκέτ' ἔασιν·

2 ὄλβιος, οὗ Θεὸς ἔργα παρέδραμεν ἀμπλακιάων,
γλῶσσαν ἔχων δολερῶν ἀδαήμονα δυσφροσυνάων.
3 Ὀστέα γηράσκοντα δυσαλθέϊ πύθετο σιγῇ
νωλεμέως καὶ ἄπαυτα πανημέριον βοόωντος·
4 **64** πάντοτε γάρ μευ, Ἄναξ, ἐπεμαίεο χειρὶ βαρείῃ·
δείλαιος γενόμην, ὅτι μοι χροΐ πῆχθεν ἄκανθαι.
5 Ἀμπλακίην ἀνέφηνα, νόου δ' οὐκ ἔσκεπον ἄτην·
εἶπα Θεῷ πρῆξίν μευ ἀτάσθαλον ἐξαγορεῦσαι·
αὐτὸς δ' ἡμετέρης κραδίης παρελήλυθας ἄτην.
6 Τῆς δ' ἕνεκ' ἔσθ' ὁσίοισι λιτὴ μετ' ἐναίσιμον ὥρην,
οὐδ' ἐπιχευομένων ὑδάτων τρέσσειαν ἀνάγκην.
7 Σὺ ξυνεεργούσης με πελέσκεο πύργος ἀνίης·
χάρμα φίλον, σύ με τεῦξον ἐλεύθερον ἀμφιβαλόντων.
8 Γνοίης ἐξ ἐμέθεν, ποίην χρέος οἷμον ὁδεύειν·
εἰς σέ, Μάκαρ, στήριξα διαμπερὲς ὄμματ' ἐμεῖο.
Ὀφθαλμῶν ἀμαρυγὰς ἐμῶν σέο νέρθεν ἐρείσω.
9 Παύσασθ' ἡμιόνοισι πανείκελοι ἠδὲ καὶ ἵπποις
γινόμενοι· σοφίης γὰρ ἀγακλέος ἄμμοροί εἰσι·
γαμφηλὰς ξυνέαξαν ὀρειχάλκοισι χαλινοῖς,
οἳ σέθεν οὐ μεμάασι γεγηθότες ἆσσον ἱκέσθαι.
10 Παντοδαπαὶ μάστιγες ἀεὶ γεγάασιν ἀλιτροῦ,
ᾧ δὲ Θεὸς μεμέλητ', ἔλεος περικυκλώσειε.
11 **65** Χάρμα καὶ εὐφροσύνη θεοτερπέας ἄνδρας ἐρύκοι,
καὶ κλέος ἀμφιβόητον ἐν ἰθυνόοισι μελέσθω.

ΨΑΛΜΟΣ ΛΒ'

1 *Τόνδε τριηκοστὸν καὶ δεύτερον ἴαχεν ὕμνον*
Δαυΐδος κιθάρῃ μείλιχα τερπόμενος.

Χαίρετέ μοι Βασιλῆι, δίκης ὑποφήτορες ἄνδρες·
ἀνδράσιν ἰθυνόοισι μεταπρέπει ἄσπετος αἶνος.
2 Μέλψατό μοι ζώοντα Θεὸν φόρμιγγι λιγείῃ.
Μέλψατε οἱ δεκάδεσσι μέλος νευρῇσιν ἱέντες·
3 ἐκ πραπίδων νέον ὕμνον ἀείσατε Παμβασιλῆι,
εὖ δ' ἀναμελπέσθω ἑ δίκης ἐπιήρανος αἶνος,
4 οὕνεκεν ἀθανάτοιο Θεοῦ Λόγος ἰθὺς ἐτύχθη,
πάντα δέ οἱ μάλα πιστὰ πέλει βασιλήια ἔργα.

5 Εὐδικίην φιλέει λαθικηδέα καὶ θέμιν ἐσσήν,
πᾶσα Θεοῦ βέβριθεν Ἄδην ἐλεητύος αἶα.
6 Οὐρανοὶ ἐρρίζωθεν ἐφημοσύνῃ Βασιλῆος
καὶ πᾶσ' ἀθανάτου στόματος σφέων πνεύματος ἀλκή·
7 ἀσκὸν ὅπως πόντοιο ῥόον πολυηχέ' ἀγείρων,
τέχνῃ κατθέμενος κρυφίοις ταμίῃσιν ἀβύσσου.
8 Δειμαίνοι Βασιλῆα Θεὸν κλυτὰ πείρατα γαίης,
ἐκ δ' αὐτοῦ δονέοινθ', ὁπόσοι χθόνα ναιετάουσιν.
9 **66** Οὕνεκεν αὐτὸς ἔειπε, καὶ ἐκτετέλεσθεν ἅπαντα·
αὐτὸς Ἄναξ ἐκέλευσε, τὰ δ' ἐβλάστησεν ὁμαρτῇ.
10 Ἀθάνατος σκεδάσειεν ἀπείριτα δήνεα δήμων
καὶ λαῶν ὀνόσαιτο πολυστρεφέας μελεδῶνας
δήνεά θ' ὑψινόων παραμείψεται ἡγητήρων.
11 Βουλὴ δ' ἀθανάτοιο διηνεκέως ἐπιμίμνει,
μέρμερα δὲ κραδίης γενεῆς ἄπο μέχρι γενέθλης.
12 Φῦλον ἀεὶ μακαριστὸν ἐᾧ βασιλῆι πεποιθός,
λαός, ὃν ἐκ πάντων ἐπελέξατο κλῆρον ἑλέσθαι.
13 Οὐρανόθεν βασιλεὺς πανδερκέα τεῖνεν ὀπωπήν,
ἀνδρομέην σφετέρης ἐκ παστάδος εἶδε γενέθλην·
14 ὄμμασιν ἐνναετῆρας ὅλης θηήσατο γαίης,
15 ὃς θνητῶν κραδίην παλάμῃ τεκτήναθ' ἑκάστην,
ὃς σφέων ἐν πραπίδεσσι διαμπερὲς ἔργα δοκεύει.
16 Οὐ σθένος οἶδεν ἄνακτα μεγακλήεντα σαῶσαι,
οὐδὲ γίγας κακότητα φύγοι περιθάρσυνος ἀλκῇ·
17 ἵππος ἐνὶ πτολέμοις ἀχρήιος ἄνδρα σαῶσαι,
οὐδέ κεν αὐτὸς ἄλυξε περὶ σθένεϊ βλεμεαίνων.
18 Ὀφθαλμοὶ τετάνυσθεν ἐπὶ τρομέοντας Ἄνακτος,
67 ὀφθαλμοὶ μεγάλοιο Θεοῦ τρομέοντας ὁρῶσιν,
ὅσσοι θεσπεσίῳ ἐλέῳ μεμελημένοι εἰσί,
19 ψυχὰς ἐκ θανάτοιο τανηλεγέος ἀπερύξαι
καὶ θρέψαι στονόεντι πιεζομένους φρένα λιμῷ.
20 Ἡμέτερος μάλα θυμὸς ἀπηώρηται Ἄνακτος,
οὕνεκεν ἡμείων πρόμαχος καὶ ἀρωγὸς ἐτύχθη.
21 Ἀμφ' αὐτῷ κεχάροιτο νόος πραπίδεσσιν ἰανθείς,
καὶ ἐὸν ἡμετέρῃ ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη.
22 Αὐτός, Ἄναξ, ἐλεητύν ἀπείριτον ἄμμιν ὀπάζοις,
οἷά σευ ἐλπίζοντες ἀεὶ ποτιδέγμεθ' ἀρωγήν.

ΨΑΛΜΟΣ ΛΓ′

1 *Ὁππότ' Ἀβιμέλεχον μενεδήιον ἠπεροπεύσας*
ᾤχετο Δαυΐδος, σφετέρην δ' ἠλλάξατο μορφήν,
τόνδε τριηκοστὸν τρίτατόν θ' ἅμα κῶμον ἔμελψεν.

2 Εὐφήμοις ἐπέεσσιν ἀεὶ Βασιλῆα βοήσω,
νωλεμέως γλώσσῃ σφέτερον μέλος αἰνετὸν οἴσω.
3 Κυδαίνοιτό μευ ἦτορ ἐν ἀθανάτῳ Βασιλῆι·
μείλιχοι εἰσαΐοντες ἐῷ κεχαροίατο θυμῷ.
4 Ἀμφ' ἐμοὶ ἀθάνατον μεγαλίζετε Ποιμένα κόσμου,
καί οἱ ἀγειρόμενοι ἀναείρομεν οὔνομα πάντες.
5 Οὗας θῆκεν ἑτοῖμον ἀνιχνεύσαντί μοι ἐσσήν,
παντοίης δ' ὀλοῆς με θοῶς ἐξείλετ' ἀνίης.
6 **68** Σπεύσατέ οἱ πελάσαι, καί οἱ φρεσὶ φέγγος ἐπέλθοι,
ὥς κεν ἀμωμήτοισιν ἀεὶ λάμποιτε προσώποις.
7 Ὧδε πτωχὸς ἄυσε, Θεὸς δέ οἱ ἔκλυεν αὐδῆς,
παντοίης δ' ἐφύλαξεν ἐλεγχέος ἔκτοθεν ἄτης.
8 Ἄγγελος ἀμφιέπων Θεοῦ ἵξεται ἔνθα καὶ ἔνθα,
κυκλόθεν εὐσεβέων ἀνδρῶν σφέας ὄφρα σαώσῃ.
9 Γευσάμενοι δέρκεσθε, Ἄναξ ὅτι μείλιχός ἐστιν·
ὄλβιος αἰὲν ἀνὴρ σφετέρῳ Βασιλῆι πεποιθώς.
10 Εὐαγέες σύμπαντες, ἀεὶ περιδείδιτ' Ἄνακτα·
εὐσεβέων οὐ γάρ τευ ἐφιμείρων τις ἐτύχθη.
11 Δευομένους ἐδάμασσε πολυκτεάνους ποτὲ πείνῃ,
εὐσεβέων δ' ἀγαθοῖσι μέγα βρίθουσι γενέθλαι.
12 Δεῦρ' ἴτε μοι, φίλα τέκνα, ἐμῶν δ' ἐπικέκλυτε μύθων,
ὄφρα φόβον Βασιλῆος ἐνηέος ὔμμε διδάξω.
13 Τίς ποθέει χαρίεντος ἰδεῖν βιότοιο γαλήνην,
ἰσχανόων πολύολβα διαμπερὲς ἤματα λεύσσειν;
14 Γλῶσσαν σὴν ἀπόπαυσον ἐλεγχίστης κακότητος,
καὶ στυγερῶν ἀπάνευθε δόλων σέο χείλεα κεύθοις.
15 Φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἀναφαίνεο τέκτων,
εἰρήνης ἐρατεινὰ μετ' ἴχνια πάντοτε βαίνων.
16 Ὀφθαλμοὶ Βασιλῆος ἐποπτεύουσι δικαίους
καὶ σφέων εὐχωλῆσιν ἑτοιμότατον πόρεν οὖας.

17 **69** Ἄλγεα τεκταίνοντας Ἄναξ δοκέεσκεν ὀπωπαῖς,
ὄφρα κεν ἐξολέσῃ σφέτερον μνημήιον αἴης.
18 Εὐσεβέες βοάασκον, ἀτὰρ Θεὸν εὗρον ἀρωγόν,
παντοίης δ' ἀπάνευθεν ἑῆς ἐφύλαχθεν ἀνίης.
19 Οἷς κραδίη τέθραυσται, ἀεὶ Θεὸς οἶδεν ἀρήγειν,
πνεύματι δὲ σφετέρῳ χθαμαλόφρονα φῶτα σαώσει.
20 Πολλαὶ καὶ πυκιναὶ ὁσίων γεγάασιν ἀνῖαι,
καὶ σφέας ἐκ πασέων ἀπολύσεται ἄφθιτος ἐσσήν.
21 Αὐτὸς Ἄναξ κήδοιτο καὶ ὀστέα πάντα φυλάξοι,
ἐκ δ' αὐτέων οὐκ ἄν τι καταφθείροιτο ἐαχθέν.
22 Πότμος ἁμαρτινόων ὀλοὸς καὶ ἄποτμος ἐτύχθη,
οἱ δ' ὅσιον στυγέοντες ἀτάσθαλοι αἰὲν ἔσονται.
23 Δμώων σφωιτέρων κραδίας ἀπολύσεται ἄτης,
οὔκ κεν ἁλιτραίνοιεν ἑῆς χατέοντες ἀρωγῆς.

ΨΑΛΜΟΣ ΛΔ′

1 *Τόνδε τριηκοστὸν καὶ τέτρατον ἴαχεν ὕμνον*
Δαυΐδος λιγυρῇ μελπόμενος κιθάρῃ.

Νωιτέροις ὀλετῆρσιν, Ἄναξ ἄχραντε, δικάζοις,
νωιτέροις δηίοισιν ὑπερμενέως πολεμίζοις.
2 Ἀσπίδα καὶ ξίφος ὀξὺ λαβὼν ἐπιτάρροθος εἴης,
3 φάσγανον ἄμφηκες δηίων κατέναντα τιταίνοις.
Ἔννεπέ μευ ψυχῇ· σέθεν ἀσφαλὲς ἔρκος ἐτύχθην.
4 **70** Θυμὸν ἀνιχνεύοντας ἐμὸν διὰ μῶμον ἐλέγχοι,
κήδεά μοι ῥάπτοντας ἀποστρέψειας ὀπίσσω.
5 Οἷα κόνις δνοφεροῖσιν ἐλαυνέσθωσαν ἀήταις
καὶ σφέας ἀθανάτοιο διάκτορος ὀξὺς ἐπείγοι.
6 Οἶμος ὀλισθηρὴ ζοφερή θ' ἅμα τοῖσιν γενέσθω
καὶ σφέας ἀθανάτοιο διάκτορος αἶψα διώκοι.
7 Κρύβδην μαψιδίως ὅτι μοι λίνον ἑστήσαντο,
μαψιδίως ἐμὸν ἦτορ ὀνείδεσιν ἐστυφέλιξαν.
8 Ἣν φρεσὶν οὐ δοκέουσι πάγην, σφέας ἀγρεύσειεν,
ἧς δὲ κατεκρύψαντο, γενοίατο κέρδεα θήρης
ὀλλύμενοι δολόεντι λίνῳ, τό περ ἔπλεκον αὐτοί.
9 Αὐτὰρ ἐμοὶ ψυχὴ κεχαρήσεται ἀμφὶ Ἄνακτι
καί οἱ ἀλεξικάκῳ περὶ φέγγεϊ γηθήσειεν.

10 Ὀστέα πάντ' ἐρέει· τίς τοι, Μάκαρ, ἄλλος ὁμοῖος;
Ῥυόμενος πτωχὸν κρατερῶν ἀπὸ λυμαντήρων,
πτωχόν τ' ἠδὲ πενιχρὸν ἀφ' ἁρπαλέων ὀλετήρων.
11 Μάρτυρες ἀνστάντές μ', ὅσα μὴ μάθον, ἐξερέεινον·
12 ἀντ' εὐεργεσίης κακοεργέα μισθὸν ἐδέγμην,
ἠμετέρην ἄσπερμον ἐπεσσυμένων φρένα θέσθαι.
13 Αὐτὰρ ἐπειγόμενος βαλόμην πέρι πένθιμον εἶμα,
71 νηστείης δ' ἐδάμασσα πόνοις βαρυώδυνον ἦτορ·
εὐχωλὴ δ' ἐπὶ κόλπον ἐμὸν στρεφθεῖσα θαάσσοι.
14 Ὡς φίλῳ ὥς τε κασιγνήτῳ, τόσον ἤνδανον αἰεί,
ὡς δὲ κατηφιόων, ἐδάμην φρενὶ πένθος ἀέξων.
15 Οἱ δ' ἐμέθεν κατέναντα γεγηθότες ἠγερέθοντο·
μάστιγες ξυνάγερθεν, ἐγὼ δ' οὐκ πάμπαν ἀνέγνων·
σπλάγχνα βίῃ ῥήγνυντο, καὶ οὐ ἐνόησαν ἀνίην·
16 καί μ' ἐπέμυξαν ἄδην, λώβην δ' ἀπεπειρήσαντο
ἀντιβίην κρυεροῖσιν ὀδὰξ ἐν χείλεσι φύντες.
17 Εἰπέ, Μάκαρ, πότε δή μευ ἴδοις δυσάλυκτον ἀνάγκην;
Ψυχὴν ἠμετέρην κακοεργέος ἔξελε φύτλης,
αὐτὰρ μουνογένειαν ἐμὴν ῥύσαιο λεόντων.
18 Ἠγαθέῃ Βασιλῆα παρὰ κλισίῃ κελαδήσω,
πὰρ λαῷ μεγαλοσθενέτῃ τεὸν ὕμνον ἀείσω.
19 Μὴ δή μοι κεχάροιντ' ἀθεμίστια δυσμενέοντες,
οἵ με μάτην στυγέουσιν, ἀτὰρ νεύουσιν ὀπωπαῖς,
20 οἵ ῥά μοι εἰρήνῃ προσεοικότα μυθίζοντο,
πικρὰ δέ μοι φρονέουσι δολοφροσύνῃ κοτέοντες·
21 θυμοδακὲς κατέναντα διὰ στόμα μηκύνοντες
φάντο κακῶν χαίροντες ἐμῶν θηήτορες εἶναι.
22 **72** Εἰ θηήσαο τοῦτο, Μάκαρ, μὴ δή με παρέλθοις,
μή μευ ἀποσταίης, πανεπίσκοπε Δῶτορ ἑάων.
23 Μηδὲ δίκην ἄγνωστον ἐμὴν παρελεύσεαι ὄσσοις·
σῇσιν ὑπ' εὐδικίῃσιν, Ἄναξ, μ', ἄχραντε, δικάζοις.
24 Σῇ μ' ἐλεημοσύνῃ κρίνοις, πανεπίσκοπε Ποιμήν·
μηδ' ἐπιγηθήσειαν ἀνάρσιοι ἀνέρες ἡμῖν,
25 μηδὲ γέλως φρενὸς ἄλγος ἐμῆς ποτε διπλόον εἴη,
μηδ' ἐλεημοσύναις με καταβρώξειαν ἑῆσιν.
26 Αἶσχος ἕλοι σύμπαντας ἐμῇ κεχαρηότας ἄτῃ,
ὅσσοι δὲ φρονέουσιν ὑπέρβια, μῶμον ἕλοιντο.

27 Χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·
πάντοτε μελπόντων μεγαλαυχέα δῶρα Θεοῖο
εἰρήνην θεράποντος ἑοῦ ποθέοντες ἰδέσθαι.
28 Γλῶσσα δικαιοσύνην ἐμέθεν σέο πυκνὰ λιγαίνοι,
σεῖο πολυκλήεντα πανημαδὸν αἶνον ἀείσοι.

ΨΑΛΜΟΣ ΛΕ'

1 *Ἄφθιτον ἀθανάτου θεράπων Δαυῒδος ἀμύμων*
τοῦτο τριηκοστὸν μελέων καὶ πέμπτον ἔμελψεν.

2 Ἔννεπεν ὃν κατὰ θυμὸν ἀτασθάλλων ἀθέμιστος,
73 οὐ φορέων Βασιλῆος ἐπ' ὄμμασι δεῖμα Θεοῖο,
3 οὐλομένην δολεροῖσιν ἐπ' ἄλγεσι γλῶσσαν ἀέξων,
αἰεὶ δυσφροσύνην στυγερὴν διζήμενος εὑρεῖν.
4 Ἀμπλακίῃ σφέτεροι δολερῇ μεμελήατο μῦθοι,
οὔ ποτε παντοίην ὁσίην ὁδὸν ἀμφαγαπάζειν.
5 Ἀλλὰ καὶ ἐν λεχέεσσιν ἀτασθαλίῃσιν ἀλείτης
οὐδ' ἀγαθὸν ῥέξαι βουλεύσατο οὐδὲ νοῆσαι
οὐδέ τ' ἀπεχθαίρει κακίης πολυπήμονος ἄλγος.
6 Ἄφθιτε τιμήεις, ἔλεος τεὸν οὐρανὸς ἴσχει,
σεῖο δ' ἀληθείη καὶ νεφέλῃσι χορεύει,
7 σεῖο δικαιοσύνη πανομοίιος οὔρεσι θείοις·
ἴσας εὐδικίᾳ φορέοις βυθίῃσιν ἀβύσσοις,
τετραπόδων ἀγέλας μερόπων θ' ἅμα φῦλα σαώσοις.
8 Ὅσσε τεὴν ἐλετύν, Ἄναξ, πλήθουσαν ἀέξεις·
σῶν πτερύγων μερόπεσσιν ἀεὶ σκέπας ἔσσεται ἐλπίς.
9 Πιαλέοις ἀγαθοῖσι τεῶν βρίθουσι μελάθρων,
καὶ σφέας εὐφροσύνης ἀγανὸς χειμάρροος ἄρδοι,
10 οὕνεκεν εὔζωος παρὰ σοί, Μάκαρ, ἔπλετο πηγή·
ἐν δὲ τεῷ θεοτερπὲς ἰδοίμεθα φέγγεϊ φέγγος.
11 Σὴν ἐλεημοσύνην, Βασιλεῦ, ποθέουσι τανύσσαις
καὶ σέθεν ἰθυνόοισιν δικαιοσύνην ἀναφαίνοις.
12 **74** Μή μοι ἐλεγχῆεν καὶ ὑπέρβιον ἴχνος ἐπέλθοι
μηδέ θ' ἁμαρτινόοιο, Μάκαρ, παλάμη με δονοίη.
13 Κεῖσ' ἔπεσον σύμπαντες ἀτασθαλίης θεράποντες,
οὐδέ τ' ἀναστήσονται ἀκηδέες, ἔνθεν ἔλασθεν.

ΨΑΛΜΟΣ ΛϚ′

Ἀμφ' ἕκτῳ χαρίεντι τριηκοστὸν λίγα μέλπων
ἔβραχε Δαυῒδος ἡδὺ μέλος κιθάρῃ.

Μή ποτέ μοι φθονέσειας ἰδὼν κακοεργέα φῶτα
μηδ' ἐπιθαμβήσειας ἐπ' ἐργατίναις κακότητος·
2 οἳ δε γὰρ οἷά τε χόρτος ἄφαρ κατατερσαίνονται
πίπτοντες χλοεροῖσι θοῶς λαχάνοισιν ὁμοῖοι.
3 Ἐλπωρὴν ἀνάτειλε Θεῷ καὶ μείλιχα ῥέζε,
καὶ χθόνα ναιετάοις, νεμέθοι δέ σε πλοῦτος ἀπείρων·
4 χαίρων ἀθανάτῳ καταθύμια πάντα κομίζοις.
5 Ἀμφαδίην Βασιλῆι τεὰς ἀνάφαινε κελεύθους·
ἔλπεο μηδ' ἀπόλῃγ', ὁ δέ τοι σύμπαντα τελέσσει·
6 καὶ σέθεν ἀξοίσειε δικαιοσύνην ἅτε φέγγος,
εὐδικίην δὲ τεὴν πανομοίιον ἤματι μέσσῳ.
7 Λίσσεό μοι κρατερὸν μειλισσόμενος Βασιλῆα·
μή ποτε ῥηίστης βιοτῆς ζῆλός σε χαλέψῃ
ἀνδρὸς δυσφροσύνῃ μεμελημένου αἰὲν ἀθέσμου.
8 **75** Δεινὸν φεῦγε κότον καὶ ἀμειδέα κάλλιπε θυμόν·
μή ποτέ μοι φθονέσειας ἀλιτροσύνης ἀλεγεινῆς·
9 οἱ γὰρ ἀλιτραίνοντες ἀποφθινύθοιντο κακοῖσιν,
οἱ δὲ Θεὸν μίμνοντες ὅλην κτησαίατο γαῖαν.
10 Ἀλλ' ἔτι βαιόν, ἄφαρ παρελεύσεται ἐλπὶς ἀλιτροῦ,
καί οἱ ἀνιχνεύσειας ἕδος, τὸ δ' ἄφαντον ἐτύχθη·
11 ἄνδρες δ' ἠπιόθυμοι ὅλην κτησαίατο γαῖαν
εἰρήνης ἀγαθοῖσιν ἀγαλλόμενοι πυκινοῖσιν.
12 Εὐδικίης θεράποντα φυλάξεται αἰὲν ἀλιτρὸς
καί οἱ λυσσητῆρας ἐπιβρύξειεν ὀδόντας·
13 αὐτὰρ ὅ μιν λεύσσων Πανυπέρτατος ἡδὺ γελάσσει
γινώσκων, ὅ οἱ ἦμαρ ὀλέθριον εἶσιν ἑτοῖμον.
14 Φάσγανον ἄμφηκες κακοεργέες ἐσπάσσαντο,
νευρὴν ἐξετάνυσσαν ἀμαιμακέτῳ περὶ τόξῳ
πτωχὸν ἑλεῖν σπεύδοντες ἀποφθῖσαί τε πένητα,
ἰθυνόους ξιφέεσσι κατασφάξαι μεμαῶτες.
15 Ἀλλὰ σφέων ξίφος ὀξὺ διὰ στέρνοιο περήσοι,
καὶ τόξα στονόεντα, Μάκαρ, διὰ λεπτὰ κεάσσοις.

16 Φέρτερόν ἐστ' ὀλίγιστον ἀγακλήεντι δικαίῳ,
ἀμπλακίης ἢ πλοῦτον ἀπειρέσιον ξυναγείρειν.
17 Λεπταλέοι τρίβοιντο βραχίονες ἀφρονεόντων·
ἀθάνατος κλυτὸν ἴχνος ὑποστήσειε δικαίων.
18 **76** Αὐτὸς Ἄναξ ἄχραντος ὁδοὺς δεδάηκεν ἀμώμων·
αἶσ' ἀγαθῶν καὶ κλῆρος ἀεὶ σταθερώτατος ἔσται·
19 οὔ κεν ἐπαισχύνοιντο δυσηχέα καιρὸν ἀνάγκης,
λιμῷ δ' ἐν κρυόεντι κόρῳ βρίθοιεν ἁπάντων.
20 Ἀμπλακίης θεράποντες ἄδην ἀπολοίατο πάντῃ·
ἀντιβίων δ' ὅτε κῦδος ὑπερτέλλοι Βασιλῆος,
καπνῷ ἀποφθινύθοντι ὁμῶς πανομοίοι ἔσκον.
21 Χρῃσάμενος κακοεργὸς ἀνὴρ οὐκ οἶδ' ἀποδοῦναι,
οἰκτείρει δὲ δίκαιος ἀεὶ καὶ πᾶσιν ὀπάζει.
22 Οἵ μιν ἐπαινήσοντες ὅλην κτησαίατο γαῖαν,
οἱ δὲ κακαῖς βάλλοντες ἀραῖς ἀπολοίατο πάντῃ.
23 Νεύμασι θεσπεσίοις ἰθύνεται ἴχνια φωτός,
καὶ σφετέρων Θεὸς αἰὲν ἐφιμείροιτο κελεύθων·
24 οὐδ' ὁλοοῖς θραύοιτο πεσὼν περὶ ῥήγμασι γαίης,
οὕνεκά οἱ παλάμην Βασιλεὺς ἐπίκουρος ἐρείδει.
25 Πρόσθε νέος γενόμην, νῦν αὖτέ με γῆρας ἱκάνει
οὐδ' ἐπιδευόμενον θεοτερπέα πάμπαν ἀνέγνων
οὐδέ οἱ ἐλδομένην γενεὴν ζωαρκέος ἄρτου.
26 Οἰκτείρειν δεδάηκε πανημέριός τε δανείζειν,
καί οἱ καλλιπέτηλος ἐπ' εὐλογίῃ σπόρος ἔσται.
27 **77** Φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἐμπάζεο ἔργων,
28 καὶ χθόνα ναιετάοις. Ὅτ' Ἄναξ θέμιν ἀμφαγαπάζει,
οὐδὲ σφωιτέρους ὑπερόψεται ἀθλητῆρας·
ἀθανάτου φρουροῖντο διηνεκέεσσιν ἀρωγαῖς,
αὐτὰρ ἀθεσμοσύνῃ μεμελημένοι ἐξελάοιντο
φῦλά τε δυσσεβέων ἀπολοίατο νηλεοθύμων.
29 Εὐδικίης θεράποντες ὅλην κτησαίατο γαῖαν
καί μιν ναιετάοιεν ἀτερμάντοισι χρόνοισι.
30 Θείην εὐσεβέος σοφίην στόμα πάντοτε μέλῃσι,
γλώσσῃ δ' εὐδικίην βασιλήιον ἐξαγορεύσει·
31 θεσπεσίου φορέει κραδίην ἐγκύμονα θεσμοῦ,
οὐδέ οἱ ἴχνια πάγχυ παραβλάπτοιτο πεσόντι.

32 Εὐδικίης θεράποντα λίην ποτιδέρκετ' ἀλείτης
καί μιν ὑπερμενέως ἐπιμαίεται ἐξεναρίξαι·
33 ἀλλ' οὔ οἱ παλάμῃσι Θεὸς λείψει μιν ἐέλδωρ
οὐδὲ δικαζόμενον νίκης χατέοντα μεθήσει.
34 Τέτλαθι Παμβασιλῆα, φύλασσε δὲ τοῖο κελεύθους,
καί σε μεταχρόνιον κλήρου χθονίοιο τελέσσει·
φῦλα καταφθιμένων ἀλιτήμονα θηήσαιο.
35 Εἶδον ἐφ' ὑψίστων ἀναειρόμενον κακοεργὸν
πολλὸν ὑπὲρ Λιβάνοιο θυώδεος ὑψόθι κέδρων,
36 δύσμορον ἀλλά μιν οὐκέτ' ἐπεφρασάμην παροδεύων,
78 οὐδέ μοι αὐτό οἱ οὖδας ἐφαίνετο μαστεύοντι.
37 Μειλιχίην φρούρησον, ἵν' εὐθέα πάντα νοήσῃς,
ὡς ἀγαθ' εἰρήνης ὑποφήτορι λείψανα μίμνει.
38 Πανσυδίῃ δ' ἀθέμιστος ἀποφθείροιτο γενέθλη·
δυσσεβέων φθινύθοιεν ἀδευκέι λείψαν' ὀλέθρῳ.
39 Ἀλκῆεν δ' ὁσίοισι φάος Βασιλῆος ἐτύχθη,
καὶ σφίσι τειρομένοις ταχὺς ἵξεται ἀσπιδιώτης
40 ἀθανάτην ἐπίκουρον ἀεὶ σφίσι χεῖρα τιταίνων,
δευομένους τ' ἀδίκοιο βίης ἀπολύσετ' ἀλιτρῶν,
ἐκ δὲ κακῶν σώζοιντο μεμηλότες ἐλπίδι θείῃ.

ΨΑΛΜΟΣ ΛΖ'

1 *Μιμνήσκων παθέων βροτέων Δαυῖδος ἀμύμων,*
ὧν πάθε καὶ παθέων πανυπέρτατος ἔσκε πεπονθώς,
ἀμφὶ τριηκοστὸν μέλος ἕβδομον ἴαχε μέλπων.

2 Μή με τεὸς βαρύμηνις, Ἀκήρατε, θυμὸς ἐλέγξῃ
μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή,
3 οὕνεκ' ἐμοῖς μελέεσσι τεοὶ κατέπηχθεν ὀιστοὶ
καί σευ ὅπως δηίην μοι ἐπεστηρίξαο χεῖρα.
4 Τίς κ' ἐμὸν ἐξακέσαιτο δέμας σέο μηνίσαντος;
79 ἢ πόθεν ὀστείοισιν ἐμοῖς ἀνάπαυμα φανείη
πάντοθεν ἀμπλακίῃσιν ἐλαυνομένῳ στυγερῇσι;
5 Δυσφροσύναι καθύπερθεν ἐμεῦ βεβάασι καρήνου,
φόρτῳ ἐπαυχενίῳ καὶ ἐπαχθέι εἰσὶν ὁμοῖαι·

6 ἀφροσύνῃ μώλωπες ὀδωδότες ἀμφί μ' ἔσηφθεν.
7 Δείλαιος γενόμην, κατὰ δ' αὐχένα πάντοτ' ἐκάμφθην,
ἀσχάλλων κακότητι πανημαδὸν ἤνυον οἶμον,
8 οὕνεκά μευ κατέρυκεν ἀπείριτα παίγνια θυμόν·
οὔ μευ παυσωλὴν ὀδύνης δέμας οἶδεν ἑλέσθαι.
9 Εἰμὶ λίην χθαμαλὸς βεβολημένος ἄλγεσι νούσου,
νωιτέρης κραδίης ὠρυόμενος στοναχῇσιν.
10 Ἄφθιτε, ἀλλ' ἐμὸν αὐτὸς ἐποπτεύσειας ἐέλδωρ,
οὐδέ σε νωιτέρη στοναχὴ λάθεν εἰδότα πάντα.
11 Ὡρίνθην κραδίην, μελέων δ' ἀπεχάζετο κῖκυς,
ὀφθαλμῶν δ' ἐρατεινὸν ἐμῶν ἐξέφθιτο φέγγος.
12 Ἄντα φίλοι πεφόρηντο, πόδας δ' ἔστησαν ἑταῖροι,
οἱ δέ μευ ἄσσον ἰόντες ἀπόπροθι νοσφίζοντο.
13 Ἅμε τόσον βιόωντο φίλον διξήμενοι ἦτορ·
ἃ πῶς μαψιδίως λάλεον κακὰ μαστεύοντες,
80 θήγοντες δολεροῖσι πανημαδὸν αἴσχεσι γλώσσας;
14 Αὐτὰρ ἐγὼ γενόμην ὡς οὐκ ἀίοντι ἐοικὼς
οἷά τε παντοίων ἐπέων ἀδάητος ἐών τις,
15 παντοίης ἀκοῆς ἀδαήμονι φωτὶ ἐοικώς,
ὅς τε διὰ γλώσσης προφέρειν οὐκ οἶδεν ἐλέγχους.
16 Ἐλπὶς ἐμή, λίτομαι, σὺ δέ μευ καλέοντος ἀκούσαις·
17 εἶπα γάρ· ἀντιβίοισιν ἐγὼ μὴ χάρμα γενοίμην·
κινήσαντί μοι ἴχνος ἐπέχραον ὑβριστῆρες,
18 ἡμέτερον κρυερῇσι δέμας μάστιξιν ἑτοῖμον,
οὐδέ μευ ὀφθαλμῶν ἀπολείψεται αἰὲν ἀνίη.
19 Δυσνομίην ἐρέων οὐ λήσομαι ἀμπλακιάων.
20 Δυσμενέες θαλέθοντες ἐμεῦ κρατερώτεροί εἰσι
καί με περιπλήθουσιν ἀπεχθαίροντες ἀθέσμως·
21 οἵ τ' ἐμοὶ ἀντ' ἀγαθῶν κακοεργέα μισθὸν ἔδωκαν
καί με δίκης συνέριθον ἐπεσβολίῃσιν ἔβαλλον,
τηλύγετόν μ' ἀπέριψαν ἐλεγχέι νεκρῷ ὁμοῖον.
22 Μή μευ ἀποσταίης, Πανεπίσκοπε, μηδὲ μεθείης.
23 Πέμπε μοι, Ἄφθιτε, πέμπε τεὴν ἐπίκουρον ὀπωπήν.

ΨΑΛΜΟΣ ΛΗ′

1 **81** *Δαυίδου κλυτὸς ὕμνος, ὅτ' Ἰδιθοῦμος ἄειδεν*
ἀμφὶ τριηκοστῷ ὄγδοον ἠδὺ μέλος.

2 Ἡμετέρην ἀπάνευθε κακῶν ὁδὸν εἶπα φυλάξαι,
γλῶσσαν ἀτασθαλίη μευ ἐπὴν πολύμυθον ὀρίνῃ.
Ἡμετέροις φυλακὴν εὐερκέα χείλεσι θῆκα,
θωρηχθεὶς ὅτε δή μοι ἀτάσθαλος ἀντιφερίζοι.
3 Κωφὸς ὅπως χθαμαλός τ' ἀγαθοῖς σίγησα μεμηλώς,
εὐνασθὲν δέ μοι ἄλγος ἀνέγρετο δεύτερον αὖτις.
4 Ἔνδοθι θυμὸς ἐμὸς φλογερῷ θερμαίνετο πυρσῷ,
ἐν δ' ἄρ' ἐμῇ μελέτῃ καυθήσεται ἀκάματον πῦρ.
5 Εἶπα· Μάκαρ, βιότοιο φίλην φράσον ἄμμι τελευτήν,
ἔννεπέ μοι, ζωῆς ὁπόσον θέσπισσας ἀριθμόν,
ὄφρα διαγνοίην, τί νύ μοι περιλείπεται ἄλλο.
6 Ἤματα δή μοι πάντα παλαίτατα θήκαο, Ποιμήν,
καὶ μάλα ῥίζαν ἐμῆς βιοτῆς ἀχρήιον ἔγνως·
πάντων μαψιδίως μερόπων ζώουσι γενέθλαι.
7 Ἔμπα γε μὴν ἄνθρωπος ὁμῶς δαιδάλματι βαίνει,
μαψιδίως κατὰ θυμὸν ὀρινόμενος πεφόρηται·
ἀγνώσσει, τίνι πάγχυ πολὺν βίοτον ξυναγείρει.
8 Ἦ ῥ' οὐκ ἐλπὶς ἐμὴ Βασιλεὺς καὶ πύργος ἐτύχθη;
πὰρ δ' αὐτῷ βιότοιο λάχον φυσίζοον ἔρμα.
9 **82** Πασάων, Βασιλεῦ, μ' ἀπολύσεαι ἀμπλακιάων.
Ἀνδράσι μ' ἀφραίνουσιν ἐλεγχέα μῶμον ἔδωκας·
10 Ἔτλην· κωφός, ἄναυδος, ἐπεὶ σύ με τοῖον ἔτευξας.
11 Σεῖο, Μάκαρ, μάστιγας ἐμεῦ ἄπο πάμπαν ἐλάσσαις·
σεῖο γὰρ εὐσθενέος παλάμης ὕπο θυμὸν ἀχεύω.
12 Ἄνδρ' ὑπὲρ ἀμπλακίης ὁλοῆς παίδευσας ἐλέγχων
καί οἱ θυμὸν ἔτηξας ἀμήχανον ἶσον ἀράχνῃ·
ζωὴ μαψιδίη μεροπηίδος ἐστὶ γενέθλης.
13 Εὐχωλῆς ἐπάκουσον ἐμῆς, ἐπικέκλυθι δ' ἀρῆς
μηδέ με δακρυχέοντα, Μάκαρ, σιγῇ παρελάσσῃς,
οὕνεκ' ἐγὼ ξεῖνος γαίης ἅμα καὶ μετανάστης
καὶ τοκέεσσιν ἐμοῖσιν ὁμῶς μεταδήμιος αὖτως.
14 Ἄμπαυσον καμάτων μ', ἵνα μευ φίλον ἦτορ ἀγείρω,
πρίν με μολεῖν, ὅθεν οὔ τοι ἐμοὶ παλινάγρετον ἐλθεῖν.

ΨΑΛΜΟΣ ΛΘ′

1 *Εἶνατον ἐσθλὸν ἄεισμα τριηκοστῇ περὶ μολπῇ*
φθέγξατο Δαυΐδος τερπόμενος κιθάρῃ.

2 Τετληὼς ὀπτῆρα Θεὸν καὶ ἀρωγὸν ἐδέγμην,
ἡμετέρην δ' ὑπέδεκτο πολύλλιτον οὔασιν εὐχήν·
3 **83** σπάσσατο δ' ἐκ βόθρου καὶ τέλματος ἰλυόεντος,
αὐτὰρ ἐμὰς πέτρῃ σταθερῇ στηρίξατο πέζας
ἴχνος ἐν ἀτραπιτοῖσιν ἑαῖς ἐμὸν ἡγεμονεύων.
4 Χείλεσι δ' ἡμετέροισι νέην ὑπεθήκατο μολπήν,
νωιτέρῳ κλυτὸν ὕμνον ἐρισθενέτῃ Βασιλῆι·
δειδιότες δέρκοιντ' ἔλποιντό τε ποιμένα πολλοί.
5 Ὄλβιος, ᾧ τε Θεοῦ ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη
λύσσης ψευδαλέης καὶ μαψιδίης δίχα βουλῆς.
6 Πολλά τοι ἐκτετέλεσται, Ἄναξ, περιθαμβέα ἔργα,
οὐδὲ σέθεν βουλῇσιν ἔφυ πανομοίιος ἄλλος·
ἀγγέλλων κατέλεξα, τά περ πλέον ἦεν ἀριθμοῦ.
7 Δῶρ' ὑπὲρ ἀμπλακίης θυσίην τ' ἠρνήσαο πᾶσαν,
αὐτὰρ ἐμοὶ βροτέης τεκτήναο σάρκα γενέθλης·
οὐ πυρὶ καρφομένην προσεδέξαο πάγχυ θυηλήν.
8 Τοὔνεκα δεῦρ' ἰκόμην τελέσαι, Πάτερ, ὅττι κελεύεις·
ἀμφ' ἐμέθεν γέγραπται ὑπὲρ βίβλοιο καρήνου.
9 Σὸν τελέσαι μενέηνα, Μάκαρ, πραπίδεσσιν ἐέλδωρ
καί σευ μεσσατίῳ ἐθέμην ἐν στήθεϊ θεσμόν.
10 Εὐδικίην κλισίῃ πολυηχέι πέφραδον ἀνδρῶν,
οὐδέ ποτ' ἀγγελίης ἐμὰ χείλεα πάμπαν ἐρύξω.
11 **84** Αὐτὸς ἐμὴν πραπίδεσσι δικαιοσύνην δεδάηκας·
οὔ σευ ἀληθείην σκοτίῃ φρενὶ θῆκα καλύψας,
ἀμφαδίην δ' ἀγόρευσα ἀλεξίκακον σέο φέγγος,
φῆνα τεὸν κλισίαις ἔλεον καὶ ἀληθέα βουλήν·
12 τοὔνεκα μηδὲ σὺ νόσφιν ἀρηγόνα χεῖρα πεδήσῃς.
Θάλπε τεῷ μ' ἐλέῳ καὶ ἀληθέι πάντοτε βουλῇ,
13 οὕνεκά μ' ἄλγος ἔχει περιώσιον ἔνθα καὶ ἔνθα.
Ἔφθασαν ἀμπλακίαι με, φάος δέ μευ ἔκρυφεν ὄσσων
καί μευ πλειότεραι κεφαλῆς ἐγένοντο κομάων,
ἐκ δ' ὀλιγηπελίης μελέων ἐξέπτατο θυμός.

14 Ἀλλ' ἐπιδευομένῳ μοι ἑκὼν ἐπιτάρροθος ἔλθοις,
νωιτέρην ὅσσοισι διοπτεύσειας ἀρωγήν.
15 Αἶσχος ἔλοι, ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι·
στρεφθείη μωμητός, ὅ μοι κακὰ βυσσοδομεύει·
16 αὐτίχ' ἕλοι τούσδ' αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ.
17 Χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·
πάντοτε βαζόντων μεγαλαυχέα δῶρα Θεοῖο,
ὁσσάτιοι ποθέουσιν ἀλεξίκακον σέο φέγγος.
18 Ἀμφ' ἐμεῦ ὁρμαίνοις πτωχοῦ, Μάκαρ, ἠδὲ πενιχροῦ,
μή ποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

ΨΑΛΜΟΣ Μ′

1 **85** *Κῶμον τεσσαρακοστὸν ἄναξ Δαυῒδος ἔμελψεν.*

2 Ὄλβιος, ὃς πτωχοῦ περικήδεται ἠδὲ πενιχροῦ·
οὔ μιν ἀναγκαίῳ ὑπερόψεται ἤματι Ποιμήν.
3 Φρουρὸν ἔχοι βασιλῆα βίου θ' ἅμα κηδεμονῆα
καὶ θεόθεν μακαριστὸς ὅλην ἀνὰ γαῖαν ἀκούσοι·
οὐδέ μιν ἀντιβίῃσιν ἔλωρ παλάμῃσι λίποιτο,
4 ἀλλὰ καὶ ἐν κακότητος ἄναξ λεχέεσσιν ἀρήγοι·
δέμνιά οἱ μετέθηκεν, ἔλυσε δὲ κήδεα νούσου.
5 Αὐτός, Ἄναξ, ἐβόησα τεὴν ἐλεητὺν ἀρωγόν,
ὄφρά μευ ἐξακέσαιο κακῶν ἀλιτήμονα θυμόν.
6 Κήδεά μοι φράσσαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες
εὐχόμενοι, πότε μευ βιότου μνημήιον ἔρροι.
7 Νίσσετο μαψιδίως ὁρόων ματίην τ' ἀγορεύων,
ἀμπλακίην ξυνάγειρεν ἐμῷ ζηλήμονι θυμῷ,
ἐκτὸς ἰὼν ἀγόρευεν ἐμοὶ ξύπαντας ἀγείρων.
8 Πάντες ἐπιτρύζεσκον ἐπεχθέες ἀμφ' ἐμοὶ ἄνδρες,
ἀμφὶ δέ μοι φράζοντο κακῶν βαρυπήμονα φόρτον
9 μῦθον δυσνομίῃ πεπυκασμένον ἐντύνοντες·
μὴ κατακοιμηθείς τις ἀεὶ κατὰ νήγρετον εὕδοι;
10 Εἰρήνης βροτὸς οὗτος· ἐμεῖο γὰρ ἐλπὶς ἐτύχθη·
ὃν τρέφον, ἐχθρὸν ἔχον· πτέρνης δέ με μείονα θῆκεν.
11 **86** Ἀνστήσας μ' ἐλέησον, ἵνα σφίσιν ἄξια δοίην.
12 Σῆς ἀγανοφροσύνης ἕνθεν, Μάκαρ, ἴδρις ἐτύχθην·
ἐφρασάμην, ὅ μοι οὔ τι μάτην κεχαρήσεται ἐχθρός,

13 οὕνεκ' ἐνηείης μευ, Ἄναξ, ἐπίκουρος ἀνέστης
καί με διηνεκέως σευ ἐνωπαδὸν ἐρρίζωσας.
14 Αἰνετὸς αἰὲν ἔφυ Θεὸς ἄφθιτος Ἰσραήλου·
αἰώνων αἰῶνας ἀεὶ πανυπέρτατος εἴη.

ΨΑΛΜΟΣ ΜΑ′

1 *Εἰς πινυτήν ποτε παισὶν ὑπερθύμοιο Κοραίου*
κῶμος τεσσαρακοστὸς ἔην καὶ πρῶτος ἀοιδῆς.

2 Ἠύτε πηγαίων ὑδάτων κεμὰς ἱμείρουσα,
ὣδ' ἐμὸς ἱμείρει σεῦ, Ἄναξ πανυπέρτατε, θυμός.
3 Ζωὸν ἐμὸν δίψησε καταβρῶξαι Θεὸν ἦτορ·
τίς χρόνος, εὖτ' ἀναφανδὰ Θεὸν βροτὸς ὄψομαι ὅσσοις;
4 Ἤμαθ' ὁμοῦ καὶ νύκτας ἔχον γόον οἷά περ ἄρτον,
πάντοτε βαζόντων· πῇ δὴ Θεὸς ἔπλετο σεῖο;
5 Τῶνδε παρεμνήσθην, πρόχεον δ' ἐμὸν ἀμφ' ἐμὲ θυμόν,
οὕνεκα θηητὸν κλισίης διελεύσομαι οὖδας
ἔνθεν ἕως Βασιλῆος ἐπουρανίοιο μελάθρων
αἴνου τερπωλῆς τε μετὰ κλυτὸν ἦχον ἑορτῆς.
6 **87** Θυμέ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις;
Ἐλπίς τοι Θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανεπίσκοπον ἄλκαρ ὀπωπῆς.
7 Αὐτόματος δεδόνητο μετὰ φρεσὶ θυμὸς ἐμῇσι·
τοὔνεκ', Ἄναξ, καλέω σε Ἰορδανίης ἀπὸ γαίης
ἔκ θ' Ἑρμωνιίμου· τὸ δέ τοι ὄρος ἔπλετο τυτθόν.
8 Ὀρφαναίη τις ἄβυσσος ἀνηὔτεσκεν ἄβυσσον
ῥηγνυμένων ξυνιοῦσα τεῶν ὑδάτων ἐπιωγῇ·
κύματά σευ μετ' ἔμ' ἦλθε, βάρυνε δὲ μέρμερα πάντα.
9 Ἦματ' Ἄναξ ἔλεον κέλεται, καὶ νυκτὶ φαείνει
εὐχωλὴ παρ' ἐμεῖο Θεῷ Βασιλῆι βιώνης.
10 Εἶπα Θεῷ· τί μευ ὧδε λελασμένος αἰὲν ἐτύχθης;
τίπτε κατηφιόων παρανίσσομαι ἔνθα καὶ ἔνθα
ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ;
11 δυσμενέες νείκεσσαν, ὅτ' ὀστέα πάμπαν ἔαχθεν·
πάντοτέ μοι βάζουσι· Θεός νυ ποῦ ἔπλετο σεῖο;

12 θυμέ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις;
Ἐλπίς τοι Θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανυπέρτατον ἄλκαρ ὀπωπῆς.

ΨΑΛΜΟΣ ΜΒ′

1 **88** *Μείλιχον ἀμφ' ἱερῷ καὶ ἐνηέι τεσσαρακοστῷ*
Δαυῒδος πινυτὸς δεύτερον εἶπε μέλος.

Κρῖνον, Ἄναξ, ὅσα δή μ' ἄδικον λωβήσατο φῦλον·
ἀνέρος ἐκ δολεροῖο καὶ ἐξ ἀδίκου με σαώσοις.
2 Κάρτος ἐμόν, τί με σεῖο τόσον μεθέηκας ἄνευθε;
τίπτε κατηφιόων μετανίσσομαι ἔνθα καὶ ἔνθα
ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ;
3 Φέγγος ἀληθείην τε σέθεν περιλαμπέα πέμποις,
οἵσι φαεινόμενος τεὸν εἰς ὄρος ἵξομαι ἁγνὸν
καὶ σέο κυδίστοισιν ὁμέστιός εἰμι μελάθροις.
4 Βωμὸν ἀγακλήεντα Θεοῦ μετελεύσομαι ἤδη,
ὅς μευ εὐφρήνειε χάριν νεοθηλέος ἥβης.
Εὐκελάδῳ φόρμιγγι, Μάκαρ, τεὸν αἶνον ἀείσω.
5 Θυμέ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις;
Ἐλπίς τοι Θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανεπίσκοπον ἄλκαρ ὀπωπῆς.

ΨΑΛΜΟΣ ΜΓ′

1 *Εἰς πινυτὴν τεκέεσσιν ὑπερθύμοιο Κοραίου*
κῶμος ὅδε τρίτατος καὶ τεσσαρακοστὸς ἐτύχθη.

2 Οὔασιν ἡμετέροις ἠκούσαμεν, ἄφθιτε Ποιμήν,
89 Ἄμμι φίλοι τὸ πρόσθεν ἀφηγήσαντο τοκῆες
ἔργον, ὅ περ τέκτηνας ἐν ἀρχαίῃσι γενέθλαις.
3 Χείρ σεθεν ὤλεσε φῦλα καὶ ἐρρίζωσε γονῆας·
λαοὺς δ' ἐξαλάπαξας, ἑῆς δ' ἐξήλασας αἴης·
4 οὐδὲ γὰρ ἐκλήρωθεν ἑῷ πάρος ἄορι γαῖαν,
οὐδὲ μενεπτόλεμος δηίων ἐσάωσε βραχίων,
ἀλλὰ τεὴ παλάμη καὶ σῆς μέγα φέγγος ὀπωπῆς,
οὕνεκα σῷ θυμῷ πεπιθὼν σφέας ἤθελες ἴσχειν.
5 Αὐτὸς Ἄναξ ἐμός ἐσσι, Θεὸς δέ μευ αἰὲν ἐτύχθης,
ὅς τις Ἰακώβῳ ζωῆς ἐπετείλαο φέγγος.

6 Σοὶ πίσυνοι κεράεσσι βίην ἐναρίξομεν ἐχθρῶν,
οὔνομα σὸν καλέοντες ἐπεγρομένους γελάσαιμεν·
7 οὐ γὰρ ἐφ' ἡμετέρῳ μεγαλίζομαι ἐλπίδι τόξῳ
οὐδὲ κακῶν τανύηκες ἄορ μ' ἀπάνευθε σαώσοι,
8 αὐτός, Ἄναξ, ξυνέεργες, ἀφ' ὧν ἀπελύσαο, Ποιμήν,
μωμητοὺς δ' ἀνέφηνας ἀπεχθέας ἄνέρας ἡμῖν.
9 Ἡμάτιον κλέος ἄμμι παρ' ἀθανάτῳ Βασιλῆι,
καὶ σέο νωλεμέως ἀναμέλψομεν οὔνομα θεῖον.
10 **90** Νῦν δ' αἶσχος κατέχευας ἀπωσάμενος τόσον ἡμέας
οὐδὲ κορυσσομένοις μετανίσσεαι ὡς πρὶν ἀρωγός·
11 στρεφθέντες κρυερῶν γεγενήμεθα μείονες ἐχθρῶν
ἐχθομένοις θ' ἅρπαγμα παραὶ ποσίν εἶμεν ἑτοῖμον.
12 Ἡμέας οἷά τε μῆλα μετ' εἰλαπίνῃσιν ἔδωκας,
ἐκ δ' ἐκέδασσας ἄνευθε πολυσπερέας κατὰ δήμους
13 ἀπρίατόν τ' ἀνάποινον ἀπεκτεατίσσαο λαόν,
οὐδέ τις ἦεν ἀριθμὸς ἀμοιβαίης χάριν ὠνῆς.
14 Γείτοσιν ἡμέας ὠμοτέροισιν ἔθηκας ὄνειδος,
ὕλην μυκτήρεσσιν ἠδὲ στόμασιν περιοίκων.
15 Ἔθνεσιν ἄμμε λάλημα πολύθροον ἐξανέφηνας
καὶ λαοῖς ψογεροῖς κεφαλῆς κίνημα γελαστόν.
16 Ὀφθαλμῶν μευ ἔναντα πανημαδὸν ἔσσυτ' ἔρευθος
καί μευ λίην ἐκάλυψεν ἀμειδέος αἶσχος ὀπωπῆς
17 ὑβριστῆρος ὁμοῦ καὶ ἐλεγχέος ἀνέρος αὐδῇ,
ὄμμασι δυσμενέος καὶ ἐμῆς φύζης ἐλατῆρος.
18 Ἀλλ' οὐ τοσσατίων λαθόμεσθα σεῦ εἵνεκα, Ποιμήν,
οὐδὲ τεῶν μήνυμα παρήλθομεν ἁρμονιάων,
19 **91** οὐδὲ σέθεν κραδίας ἐτρέψαμεν ἔκτοθι πάμπαν·
ἡμεῖων δ' ἀπάνευθε τεὰς ἔκλινας ἀταρπούς.
20 Ἀδρανέα δαπέδοισι κακῶν τεκτήναο νούσων,
καὶ σκιερῇ θανάτοιο κατεκρύφθημεν ὁμίχλῃ.
21 Εἴ ποτε νωιτέροιο λελάσμεθα πάγχυ Θεοῖο,
εἰ Θεῷ ἡμετέρας παλάμας ἐπετάσσαμεν ἄλλῳ,
22 ἦ ῥ' οὐκ ἄφθιτος αὐτὸς ἀνιχνεύσει τάδε πάντα;
Αὐτὸς γὰρ βροτέης κραδίης κευθμῶνας ἀνέγνω.
23 Σεῖο χάριν θανάτῳ δεδμήμεθα πάντοτε, Ποιμήν,
κτεινομένοις γενόμεσθα βίην μήλοισιν ὁμοῖοι.

24 Ἔγρεο, Παμβασιλεῦ· τί νύ μοι τόσον ὕπνον ἀωτεῖς;
Ἔγρεο, μηδὲ σέθεν βλεφάρων ἀπονόσφιν ἐλάσσῃς.
25 Τίπτε τεὴν ἔστρεψας ἀγακλήεσσαν ὀπωπὴν
μόχθων θ' ἡμετέρων πενίης τ' ἐπελήσαο πάμπαν;
5 26 Ἡμέτερος κονίῃσι πανείκελος ἔφθιτο θυμός,
νηδὺς ἐλεγχήεσσα δύῃ περιπίλναται αἴῃ.
27 Ἔγρεο, Παμβασιλεῦ, ἐπαρηγόνα χεῖρα τιταίνων,
ῥύεο δ' ἀπρήκτοιο σέθεν χάριν ἡμέας ἄτης.

ΨΑΛΜΟΣ ΜΔ'

10 1 **92** *Τηλυγέτοιο Θεοῖο γονὴν μέλπουσιν ἀγητὴν*
ἔργοις υἱέες αὖτις ἀμειβομένοισι Κοραίου.
Οὗτος τεσσαρακοστὸς ὁμοῦ καὶ τέτρατος ὕμνος.

2 Ἐσθλὸν νωιτέρη κραδίη τεκνώσατο μῦθον,
ἔργ' ἐμέθεν Βασιλῆι περιφραδέως ἀγορεύσω
15 γλῶσσαν ἔχων καλάμῳ ὀξυγράφου ἀνδρὸς ὁμοίην.
3 Κάλλεϊ δ' ἀστράπτεις βροτέης περίαλλα γενέθλης,
ἐκκέχυται πινυτοῖσι χάρις περὶ χείλεσι σοῖσι·
τοὔνεκά σοι Θεὸς αἶνον ἀγήραον αὐτὸς ἀνῆψεν.
4 Ἄλκιμε, σὸν τανύηκες ἄορ περιβάλλεο μηρῷ
20 κάλλεϊ σῷ πίσυνος καὶ ἀγακλέι θάρσυνος ὥρῃ·
5 ἐντανύων δήθυνε καὶ ἀρχεύων βασίλευε
εἵνεκα μειλιχίης ὁσίης καὶ ἀληθέος ἔργου·
σοὶ σέο δεξιτερὴ περὶ θαύμασιν ἡγεμονεύσει.
6 Ἀλκήεντες ἔασι τεθηγμένοι αἰὲν ὀιστοί·
25 λαοὶ πολλὸν ἔνερθε σέθεν πτήξουσι πεσόντες
δυσμενέων Βασιλῆος ἐπὶ στέρνοισιν ἑτοῖμοι.
7 Νωλεμέως, ἄφθαρτε, ἀμαιμάκετος σέο θῶκος,
ἰθυπόρον σκῆπτρον σκῆπτρον βασιληίδος αἴσης.
8 **93** Εὐδικίην φιλέεις, στυγέεις δ' ἀθεμίστιον ἔργον·
30 τοὔνεκά σοι Θεὸς αὐτὸς ἐὴν περίχευεν ἀλοιφὴν
χρίσας τερπωλῆς μετόχους παρὰ πάντας ἐλαίῳ·
9 σμύρνα τε καὶ στακτὴ κασίη θ' ἅμα σῶν ἀπὸ πέπλων,
ἐκ νηῶν ἐλέφαντος, ὃ καὶ σέο θυμὸν ἰάνθης.
10 Θυγατέρες σέο κῦδος ὑπερμενέων βασιλήων·

πέπλοις χρυσυφέεσσι πέλας βασίλεια παρέστη
εὖ ἀμπισχομένη πυκινοῖς δαιδάλμασι μορφήν.
11 Κλῦθι, τέκος, λεύσσουσα, φίλον δέ μοι οὖας ἐρείδοις,
λαοῦ δ' ἐκλελάθοιο τεοῦ μεγάρων τε τοκῆος,
12 οὕνεκά σευ γεραρῆς Βασιλεὺς ἠράσσατο μορφῆς 5
αὐτός, ὅ τις καὶ πρόσθε σέθεν κρατέεσκεν ἀνάσσων·
13 καί μιν γουνάσσαιντο Τύρου μειλίγμασι κοῦραι,
ἀφνειοὶ χθονὸς ὄμμα λιταῖς τεὸν ἱλάσσαιντο.
14 Ἔνδοθεν εὖχος ἅπαν βασιληίδος ἔπλετο κούρης·
χρυσείοις ἀμπισχομένη θυσάνοισι κέκασται. 10
15 Παρθενικαὶ Βασιλῆι γέρας μετ' ἄνασσαν ἀγέσθων·
σοὶ γέρας ἰφθίμης βασιληίδος εἰσὶν ἑταῖραι·
16 χάρματος εὐφροσύνης τ' ἀγαθῆς ἐπὶ βάθρον ἀγέσθων
94 ὀρνύμεναι μετὰ νηὸν ἐρισθενέος Βασιλῆος.
17 Ἀντὶ τεῶν πατέρων υἱοί σέθεν ἠβώουσι· 15
τούσδε καταστήσειας ὅλης χθονὸς ἡγεμονῆας.
18 Μνησαίμην μάλα σεῖο διηνεκέεσσι γενέθλαις,
εἰς γενεῶν γενεὰς σέθεν οὔνομα καλὸν ἀείσω.
Τοὔνεκά σ' ὑμνήσουσι, Μάκαρ πανυπέρτατε, λαοὶ
ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ ἀλλήκτοισι γενέθλαις, 20
ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ εἰς αἰῶνας ἰόντας.

ΨΑΛΜΟΣ ΜΕ'

1 *Κῶμος ὑπὲρ κρυφίων, ὧν εἰς φάος ἤγαγε φόρμιγξ*
θεσπεσίη, πέμπτος καὶ τεσσαρακοστὸς ἐτύχθη.

2 Ἀθάνατος Θεὸς ἔρκος ἐμὸν καὶ κάρτος ἐτύχθη, 25
ἀμφιπολευούσῃσι βοηθόος ἡμέας ἄταις·
3 τοὔνεκεν οὐ πτήξαιμεν ὀρινομένης μάλα γαίης
οὐδὲ μετερχομένων ὀρέων ἐν στήθεσι πόντου.
4 Ἠχήεις ῥοθίοισιν ἑοῖς ὀρυμαγδὸς ἀέρθη,
οὔρεα θεσπεσίῳ περὶ κάρτεϊ δινήθησαν. 30
5 Εὐφραίνει ποταμοῖο Θεοῦ πτολίεθρον ἐρωή,
Ὕψιστος κλισίην σφετέρην ἅχραντον ἔθηκεν.
6 Οὔ οἱ ἀπολλήξειε Θεὸς περὶ μέσσα θαάσσων·
95 ἐξ ἠοῦς ἐπίκουρον ἔχει πανεπίσκοπον ὄμμα.

7 Κλῖναν ἀνακτορίαι βριαραί, κλονέοντο δὲ φῦλα·
ἠύτησε διαπρύσιον, δεδόνητο δὲ γαῖα.
8 Ἄρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός,
αὐτὸς Ἰακώβου πρόμαχος Θεὸς ἄμμιν ἐτύχθη.
9 Δεῦτε, φίλοι, Βασιλῆος ἰδώμεθα θέσκελα ἔργα,
ὅσσ' ὑπὲρ εὐφόρβου σημήια τεῦξεν ἀρούρης.
10 Παύων δηιοτῆτας ὅλης ὑπὲρ ἄντυγα γαίης
τόξον συντρίψειε καὶ ἀσπίδα θοῦριν ἐάξει
καὶ θυρεοὺς μαλεροῖο καταφλέξει πυρὸς ὁρμῇ.
11 Φράζεσθε σχόμενοι, Θεὸς ἄφθιτος οὕνεκ' ἐτύχθην,
ἔθνεσιν Ὕψιστος καὶ ὅλης καθυπέρτερος αἴης.
12 Ἄρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός.
Αὐτὸς Ἰακώβου πρόμαχος Θεὸς ἄμμιν ἐτύχθη.

ΨΑΛΜΟΣ ΜΣ′

1 *Τοῦτο μεγασθενέων τεκέων ἐτέτυκτο Κοραίου*
μείλιχον ἀμφ' ἕκτῳ καὶ τεσσαρακοστὸν ἄεισμα.

2 Παίσατέ μοι χείρεσσιν ὁμὸν κρότον, ἔθνεα πάντα,
τερπνίστῃ Βασιλῆα Θεὸν κελαδήσατε φωνῇ,
3 οὕνεκε Ὕψιστος φοβερός θ' ἅμα μοῦνος ἐτύχθη
96 γαίης παντοδαπῆς μετὰ τέρμασιν ἐμβασιλεύων.
4 Λαοὺς ἄμμι δάμασσε, ποσὶν δ' ὑπεθήκατο δήμους·
5 λεξάμενος πόρεν ἄμμι φίλον καὶ ἐνηέα κλῆρον,
μοῖραν Ἰακώβοιο Θεῷ καταθύμιον αἰεί.
6 Εἰσανόρουσε Θεὸς βοόων ἐπινίκιον οἶμην,
εὐκελάδου σάλπιγγος ἀνέδραμε κοίρανος ἠχῇ.
7 Ἡμέτερον φόρμιγγι Θεὸν φορμίζετ' ἀοιδαῖς,
ἡμέτερον Βασιλῆα σοφαῖς ἀναμέλψατε μολπαῖς.
8 Οὕνεκα κοιρανέει πάσης Θεὸς ἄφθιτος αἴης,
μέλψατέ μοι πινυτῇ κραδίῃ καὶ ἐχέφρονι θυμῷ.
9 Ἀθάνατος μέγα κάρτος ὅλων κτεατίσσατο λαῶν,
αὐτὸς ἐπ' ἀχράντοιο Θεὸς θώκοιο θαάσσει.
10 Ἡγηταὶ ξυνάγερθεν ὁμῶς Θεῷ Ἀβραάμου,
ἄντα Θεοῦ θώρηχθεν ὑπερβασίῃ χθονὸς ἀρχοί.

ΨΑΛΜΟΣ ΜΖ′

1 *Υἱοῖς Κοραίου τερπνὸν ἐγράφη μέλος,*
εἰς δευτέραν δ' ἔμελψαν αὐτὸ σαββάτων.
Τόδ' ἕβδομον τεσσαρακοστὸν ἦν ἅμα.

2 Αἰνετὸς ἀθάνατος καὶ δὴ μέγας ἔπλετο μοῦνος
ἄστυ περὶ σφέτερον καὶ ὄρος πανακήρατον αἰεί.
3 **97** Πάντοθεν εὐρύνων χάρμα χθονὶ πουλυβοτείρῃ,
οὔρεά τοι Σιῶνος ὑπὸ πλευραῖς βορέαο,
ἄστυ πολυκλῆεν μεγαλοσθενέος Βασιλῆος,
4 ἀθάνατος πύργοισιν ἑοῖς ἀρίδηλος ἐτύχθη,
εὖτ' ἐπιδευομένοις ἐπιτάρροθος ἔζεται αὐτοῖς.
5 Γαίης ἦλθον ἅπαντες ἀγειρόμενοι βασιλῆες·
6 ὄμμασι δερκόμενοι κραδίῃ περιθάμβεον αὐτοί,
7 ὀρνύμενοι κλονέοντο, τρόμος δ' ἐπελήλυθε πάντας,
εἴκελα τικτούσῃ πυκινὰς ὠδῖνας ἔλοντο
8 ἠὲ βίῃ, ὅτε νῆας ἔλοι Θαρσῖδος ἀήτης.
9 Οὐκ ἄρα βάξις ἔην· μύθοισι γὰρ ἔργον ὀπηδεῖ·
ἀμφὶ Θεοῦ κλυτὸν ἄστυ, Θεοῦ σθενέων Βασιλῆος
αὐτός οἱ ἀστυφέλικτον ἐπήξατο πυθμένα Ποιμήν.
10 Σῶν λαῶν ἀνὰ μέσσον, Ἄναξ, ἐλεητὺν ὀπάζοις.
11 Ἠύτε δ' ἀμφιβόητον, Ἄναξ, τεὸν οὔνομα μίμνει,
ὥδ' ἔστω τεὸς αἶνος ὅλης ἐπὶ πείρατα γαίης·
δεξιτερὴ βέβριθε δικαιοσύνης σέο, Ποιμήν.
12 Κλεινὸν ὄρος Σιῶνος εὐφροσύνῃσι μελέσθω,
παῖδες Ἰουδαίης ἐρατῆς πολυγηθέες ἔστων
εὐαγέων, Ἄχραντε, τεῶν χάριν εὐνομιάων.
13 **98** Σπεύσατέ μοι Σιῶνα περισταδὸν ἀμφιβαλέσθαι
καί οἱ ὑπὲρ πύργων λιγέως ἀγγείλατε μύθους·
14 ἀμφὶ δέ μιν κραδίας καὶ ἑῷ περὶ κάρτεϊ θέσθε,
ἔρκεα δὲ σφετέρου κράτεος διαμοιρήσασθε,
ὄφρα κέ τις γενεῇσιν ἐπεσσομέναις ἀγορεύσῃ·
15 Οὕνεκεν Αὐτὸς ἀεὶ Βασιλεὺς ἅμα καὶ Θεός ἐστιν
ἐκ προτερηγενέων ἐπ' ἀτερμάντοισιν ἀνάσσων,
νωλεμέως ἐν πᾶσιν ἀγήραος ἄμμε νομεύσοι.

ΨΑΛΜΟΣ ΜΗ′

1 *Ἠδὺ μέλος σθεναροῖσιν ἐμέλπετο παισὶ Κοραίου,*
τεσσαροκοστὸν ὁμῶς τε καὶ ὄγδοον ἔλλαχ᾽ ἀριθμόν.

2 Κέκλυτε, μυρία φῦλα, τά μοι νόος ἔνδοθι κεύθει·
γαίης ἐνναετῆρες ἐμοῖς ἐπέεσσι μελέσθων,
3 ἄνδρες γηγενέες βροτέης θ᾽ ὅσα φῦλα γενέθλης
ἀκτέανοί τ᾽ ἀναμὶξ καὶ ὅσοις ἄσπετος ὄλβος.
4 Νωίτερον σοφίην ἱερὴν στόμα μυθολογεύσει,
ἡμετέρης κραδίης μελέτη πινυτὴν ἀγορεύσει.
5 Ποικίλον ἀμφ᾽ αἶνον ἀριήκοον οὖας ἐρείσω,
ἐκ λυγυρῶν μελέων πυκινῆς διαμάρψομαι οἴμης.
6 **99** Τίπτ᾽ ἔτι ῥιγεδανὸν τρομέω καὶ ἀμήχανον ἦμαρ;
Πτέρνης ἀμπλακίη με δυσήνιος ἀμφιπολεύσει,
7 ἀνέρες ἀφνειοὶ κρατερῷ περιθάρσυνοι ὄλβῳ,
οἷσιν ἐπὶ κτεάτεσσιν ὑπέρβιος ἔπλετο θυμός.
8 Ἔνθα κασίγνητος μερόπων ἀναφαίνετ᾽ ἄποινον,
ἔνθα Θεὸν γενέτην ἱλάσσεται εἵνεκα κόσμου
9 τιμὴν ἀθανάτης ψυχῆς ποινὴν ἀποτίσας·
10 νωλεμέως μόχθησε, βίος δέ οἱ οὔ ποτε λήξει·
11 εὖτε σοφοὺς θνήσκοντας ἴδοι, κακότητα πατήσοι.
Ἄφρων ἀφραδέως καὶ νήπιος εἰς ἓν ὀλεῖται,
ὄλβον δ᾽ ἀκλήροις ἑτέροις λείψουσι μελάθρων·
12 νεκροκόμοις τύμβοισι καὶ οὐ ναίουσι μελάθροις,
τύμβους ὥστε μέλαθρα διαμπερὲς οἰκήσουσιν,
ἠνεκέως καλύβῃσιν ἑὰς φθίσουσι γενέθλας·
ἐκ γαίης ὄνομ᾽ ἔσχον, ὅθεν τίκτοντο δαμέντες.
13 Νήπιος, οὐδ᾽ ἐνόησε βροτὸς γεράεσσι μεμηλώς·
τετραπόδεσσιν ἔικτο, φυὴν δ᾽ ἠσπάζετο τοίην.
14 Οὐλοὸν ἦδε κέλευθος ἐπὶ σφίσι δίκτυον εἴη,
καὶ τότε δὴ γλώσσῃσιν ἐπαινήσουσιν ἐῆσιν.
15 Εἰσάμενοι μήλοις Ἀίδην συμφράδμον᾽ ἔλοντο·
100 τοὔνεκα πευκεδανὸς θάνατος σφέας ἶφι νομεύσοι,
ἰθυνόων δ᾽ ἠῶθεν ὑπὸ ζυγὸν αὐχένα θεῖεν·
εἰν Ἀίδῃ κείνων ἀχρήιος ἔσσετ᾽ ἀρωγή,
εὐπραγίης δ᾽ ἠμάξαντ᾽ ἄκρης αἶσχος λυγρόν.

16 Ἧτορ ἐμὸν θανάτοιο Θεὸς λύσειεν ἀνάγκης.
17 Μή ποτέ μοι πλοῦτον μερόπων περιδείδιθι θυμῷ,
ἀνέρος εὖτ᾽ ἀγαθοῖσιν ἐπιβρίσειε μέλαθρον·
18 οὐ γὰρ ἀποφθίμενος σύμπαντ᾽ Ἀίδην δὲ κομίσσει
οὐδέ οἱ ἄσπετον εὖχος καταβήσεται οἴκου.
19 Μοῦνον ἐπὶ ζωοῖσι φίλον σθένος αἰνετὸν ἔσται,
καί σε μάλ᾽ αἰνήσειεν, ὅταν τί οἱ ἐσθλὸν ἀνύσσῃς.
20 Ἀρχαίην πατέρων γενεὴν μεταλεύσεται αὖτως
ὀρφναίην βιότοιο δύην καὶ ἀφεγγέα ναίων.
21 Νήπιος, οὐδ᾽ ἐνόησε βροτὸς γεράεσσι μεμηλώς·
τετραπόδεσσιν ἔικτο, φυὴν δ᾽ ἠσπάζετο τοίην.

ΨΑΛΜΟΣ ΜΘ′

1 *Δαυίδου ἑνατον καὶ τεσσαρακοστὸν ἄεισμα.*

Γαῖαν ὅλην καλέεσκε θεῶν Θεὸς εἰς ἓν ἀγείρας
ἠελίου φαέθοντος ἀπ᾽ ἀντολίης ἐπὶ δυσμάς·
2 ἐκ Σιῶνος ἑῇ περιλάμπεται εἴδεος ὥρῃ.
3 Ἀθάνατος μερόπεσσι Θεὸς ἀναφανδὰ παρέσται
101 οὐδέ τις ἀγνώσσων Θεὸν ἔσσεται· οὐ γὰρ ἐάσει.
Τοῖο ποδῶν προπάροιθε διίξεται αἰθόμενον πῦρ,
ἀμφὶ δέ μιν βέβρυχε μέγα σπέρχουσα κατάιξ.
4 Οὐρανὸν ἀστερόεντα πέλας μύθοισι καλέσσει
καὶ χθόνα πουλυβότειραν, ὅπως λαοῖσι δικάζοι.
5 Ἀθανάτῳ θεράποντας ἑοὺς ξυναγείρατε πάντας,
ὅσσοι συνθεσίην θυσίης ἔο πιστώσαντο,
6 ὄφρα οἱ ἀγγελέωσι δικαιοσύνην ἐρατεινήν,
οὕνεκα τιμήεις βασιλεὺς μετὰ πᾶσι δικάζει.
7 Κέκλυθι, φῦλον ἐμόν, λέξω δέ τοι, ἣ θέμις ἐστί·
κλῦθί μευ, Ἰσραῆλε· σὲ γὰρ περίαλλα διδάξω·
αὐτός τοι Θεός εἰμι, Θεὸς δέ τοι αὐτὸς ἐτύχθην.
8 Οὔ νύ σε μαψιδίῃσι θυηπολίῃσιν ἐλέγξω,
σεῖο δὲ καρφομένην θυσίην ἐπιδέρκομαι αἰεί.
9 Οὐκ ἀλέγω μόσχων, οὓς ἐν μεγάροις ἀτιτάλλεις,
οὐδὲ τεῆς ἀγέλης ἀρνήσομαι ἴφια μῆλα·
10 πάντα γὰρ αὐτὸς ἔτευξα, τά τε τρέφει οὔρεσιν ὕλη,

πάντα γὰρ αὐτὸς ἔτευξα, τά περ δρυμὸς ἔλλαχε φέρβειν
ἠδ' ὅσα που μεμέληται ὀρεσσινόμοισι βοτῆρσιν.
11 Οὐδέ μέ που πετεηνὰ δι' ἠέρος ἄφθονα λήθει,
102 ἀλλὰ καὶ ἀνθοφόρου με περιστέφει ὅλβος ἀρούρης.
12 Σεῖο δὲ πεινάων δευήσομαι οὔ ποτ' ἀρωγῆς·
πάντα γὰρ ἡμετέρη τεχνήσατο θεσπεσίη χείρ.
13 Οὐ δέχομαι ταύρους, τράγεον δ' οὐ πίομαι αἷμα·
14 ῥέξον Θεῷ θύος ἡδύ· θύος γάρ οἱ αἶνος ἐτύχθη·
ὑψίστῳ δὲ τεῶν ἀπόδος χάριν εὐχωλάων.
15 Εἰ δ' ἐπιδευόμενος καλέεις μ' ἐπίκουρον ἀνάγκης,
εἰμί τοι ἐσθλὸς ἀρωγός, ἀτὰρ σύ μευ εὖχος ἀείσεις.
16 Δὴ τότ' ἀλιτραίνοντι Θεὸς προσεφώνεε τοῖα·
Τίπτε μευ εὐδικίας ἐρικυδέας ἐξαγορεύεις
καί μευ συνθεσίην φορέεις περὶ χείλεσι σοῖσιν;
17 Οὐκ αἰεὶ στυγέεις μελεδήματα καλὰ νοῆσαι
καὶ χάριν ἡμετέρων ἠρνήσαο πάντοτε μύθων;
18 οὐ πόδα λιστῆρι κακόφρονι σύνδρομον ἔσχες,
ξυνὸς μαχλοσύνης μοιχῶν ἀνεφαίνεο μοίρῃ;
ξυνὸς μαχλοσύνης μοιχαρέα μοῖραν ὀφέλλων;
19 Ἅ τεὸν ὡς βέβριθε κακορραφίῃ στόμα λάβρον,
γλῶσσα δὲ δυσφροσύνῃσι περιπλέκεται δολερῇσι·
20 ἀμφὶ κασιγνήτοιο καθεζόμενος κακ' ἔβαζες
καί σεθεν ὑέι μητρὸς ἀμήχανον ἔπλεκες ἄτην.
21 **103** Ταῦτα μὲν αὐτὸς ἔρεξας, ἐγὼ δέ τοι ἥσυχος ἦα.
Ὠίσθης ἀθέμισθ', ὅτι τοι φρένας ἔσσομ' ὁμοῖος·
ἀμπλακίας στήσω σευ ἐναντίον αἰὲν ἐλέγχων.
22 Σύνθεσθ', ἀθανάτοιο λελασμένοι, ὅσσ' ἀγορεύω,
μή ποτ' ἀφαρπάξειεν, ἀμύντορος οὐ παρεόντος.
23 Θῦμά μοι ὅλβιστον πέλεται καταθύμιος αἶνος·
ἦδ' ὁδὸς ἀθανάτοιο βίην ζωαρκέα φαίνει.

ΨΑΛΜΟΣ Ν'

1-2 *α. Μαχλοσύνης Νάθανος ἀτασθαλίην ἀναφαίνων*
εὐφροσύνην στοναχαῖς καὶ δάκρυσιν ἔσβεσε τέρψιν
ἀντιθέῳ βασιλῆι, Θεοῦ δ' ἐλεήμονα θυμὸν
μυρόμενος καλέων βροτέας προύθηκε κελεύθους,
ὄφρα κεν ὀψιγόνοισι σαόφρονα μῆτιν ὀφέλλοι.
Τοῖο δὲ πεντηκοστὸς ἀλεξίκακος πέλει ὕμνος.

1-2 *β. Ἔρωτι Δαυὶδ ἁπρεπεῖ εἴξας ποτὲ*
κλοπῆς ἑάλω δεμνίων ἀλλοτρίων,
εἶτ' αὖ ἀνεῖλε τὸν γυναικὸς εὐνέτην.
Νάθαν δὲ πειθήνιος ὀφθεὶς τῷ Θεῷ
ᾔει τιτρώσκων τοῖς ὀιστοῖς τῶν λόγων
καὶ τῶν ἐλέγχων φαρμάκοις καταστύφων.
Ὁ δ' εὐγενείας οὐκ ἀναξίως τρόπων
αἴσθησιν ἥττης ἀκλεοῦς λαβὼν τάχος
τὸν μειλίχιον ἐξιλάσκει Δεσπότην,
104 *καὶ οἶκτον αὐτὸν συγκινεῖ πρὸς τὸν Μέγαν*
ἅσμα κραδίης συντριβῆ μέλψας τόδε.
Πεντηκοστὸν πέφυκεν ὁ ψαλμὸς μέλος.

3 Δευομένῳ μοι, Ἄναξ, περιώσιον ἵλαος εἶης
καί μευ δυσνομέην ὀλέσοις οἰκτίρμονι βουλῇ·
4 ἀμπλακίην ἀπόνιψον ἐμὴν πλέον ὕδατι νίζων,
ἡμετέρης ἀπάνευθεν ἀτασθαλίης με καθαίροις,
5 οὕνεκα δυσνομίην μευ ἐγὼ πραπίδεσσιν ἀνέγνων
καί μευ ἀτασθαλίη πέλεται κατεναντίον ὄσσων.
6 Ἥλιτον εἰς σέ, Μάκαρ, καὶ σεῦ πέλας ἄλγος ἔτευξα·
ὄφρ' ὅσιος μύθοισι τεοῖς μετὰ πᾶσι φανείης,
ἐν δὲ δίκῃ μοῦνος προφερέστερος ἔσσεαι ἄλλων.
7 Καὶ γὰρ δυσνομίῃ με πατὴρ ἔσπειρε πιθήσας
καί μ' ὑπ' ἀτασθαλίῃσιν ἐκύσσατο πόντια μήτηρ.
8 Ἠνίδε τ' ἀτρεκίην ἀμετάτροπον ἀμφαγαπάζεις
καὶ σοφίης κρυφίης με τεῆς ἐδίδαξας ἀταρπούς.
9 Ὑσσώπῳ καθαρόν με περιρραίνων τολυπεύσεις
καὶ πολὺ λευκότερον χιόνος τελέσεις με λοέσσας.

10 Ἄγγελος εὐφροσύνης καὶ χάρματος ἄμμι φανείης,
ὀστέα τειρομένων ἐπὶ σοὶ κεχαρήσεθ' ἅπαντα.
11 Ἀμπλακίης μευ ἄνευθεν ἀποστρέψειας ὀπωπὴν
105 καί μευ παντοδαπὰς ἀεσιφροσύνας ἀμαθύνοις.
12 Ἄχραντον κραδίην μοι, Ἄναξ, ἐν στήθεσι τεύχοις,
νωιτέροις δ' ἴθυνον ἐυσταθὲς ἔγκασι πνεῦμα.
13 Μή με τεῆς ἀπάνευθεν ἀπορρίψειας ὀπωπῆς
μηδ' Ἅγιον σέο Πνεῦμα ἐμεῦ ἀπὸ πάμπαν ἐρύκοις.
14 Δός μοι τερπωλὴν φάεος παλινάγρετον, ἐσσήν,
πνεύματι δ' ἀρχεύοντι βίην στήριξον ἐμεῖο.
15 Εὖ διασημήναιμι τεὰς ἀνόμοισι κελεύθους,
πρὸς δὲ σὲ πάντοθεν αὖτις ἐπιστρέψουσιν ἀλεῖται.
16 Φέγγος ἐμῆς βιοτῆς ἀνδροκτασίης με σαώσοις·
εὐδικίην μευ γλῶσσα τεὴν περιγηθήσειε.
17 Χείλεά μευ, Μάκαρ, οἶγε, δίκην δ' ἀνὰ σεῖο βοήσω.
18 Εἰ θυσίην ἐπέτειλας, ἐγὼ προΐαλλον ἑτοίμην·
ἀλλ' οὐ καρφομένοισιν ἰανθήσῃ θυέεσσιν.
19 Ἀθανάτῳ θυσίῃ πνεῦμα χθαμαλὸν μεμέληται,
ἦτορ Ἄναξ χθαμαλὸν καὶ μείλιχον οὐκ ὀνόσαιτο.
20 Ὄλβιά μοι Σιῶνι, Μάκαρ, καταθύμια δοίης,
εὖ δ' Ἱερουσαλῆς κλυτὰ τείχεα τεκταίνοιτο·
21 δή ῥα τότ' εὐδικίης θυσίην πραπίδεσσιν ἔλοιο
106 θῦμά τε καρφόμενον καὶ ἄνω σπέρχουσαν ἀυτμήν·
δὴ τότ' ἐπιρρέξουσι τεῷ μόσχους περὶ βωμῷ.

ΨΑΛΜΟΣ ΝΑ′

1 *Δαυίδου πινυτῆς θεοτερπέος, εὖτέ μιν ἔγνω.*
2 *Δωῆχος κακόχαρτος, ἀτὰρ μετέπειτα Σαούλῳ*
πέφραδεν, ὡς Δαυΐδος ἐς ἀθανάτου μόλε νηόν,
εὐμενέος δ' ἤντησεν Ἀβιμελέχου μεγαθύμου.
Τοῖο δὲ πεντηκοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.

3 Τίπτε μοι, ἀλκήεις, σφετέρῃ, κακότητι πέποιθας
δυσνομίην πραπίδεσσι πανημαδὸν ἐκτολυπεύων;
4 ἀμφὶ δέ τοι γλώσσῃ ἀθεμίστιον ἔβλυσας ὕβριν.
Ὧδε δόλον ποίησας ἅτε ξυρὸν ὀξὺ τεθηγός,
5 ἀντ' εὐεργεσίης φιλέων κακότητα βαρεῖαν,
ἀντὶ δικαιοσύνης ἀθεμίστια πάντ' ἀγορεύων,
6 γλώσσης μῦθον ἅπαντα δολόφρονος ἀμφαγαπάζων.
7 Ἔνθεν Ἄναξ καθελεῖ σε διαμπερὲς εὖχος ἀπούρας·
ὡς δ' ὄρπηκα ταμών σε τεῶν ἀπονάσσεται οἴκων,
σεῖο δ' ἀποσπάσσειεν ἀπὸ χθονὸς ἀκλέα ῥίζαν.
8 Εὐδικίης λεύσσοντες ὑποπτήξουσ' ὑποφῆται,
τοῖα δ' ὁμῶς ἐρέουσιν ἐπ' αὐτῷ μειδιόωντες·
9 **107** ἀθάνατον Θεὸν οὗτος ἔχειν ἠρνήσατ' ἀρωγόν,
θυμῷ δὲ κτεάτεσσι περὶ σφετέροισι πεποίθει
αἰεὶ μαψιδίοισι βίην κεκορυθμένος ἔργοις.
10 Αὐτὰρ ἐγὼ περὶ θεῖον ἔδος βρύω, ὥς τις ἐλαίη,
θεσπεσίην ἐλεητὺν ἐμοῖς ποτιδέγμενος ὄσσοις
καὶ νῦν καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
11 Ὧν χάριν ἐξετέλεσσας, Ἄναξ, τεὸν αἶνον ἀείσω
πάντοντε σοῖς ὁσίοις ὄνομα γλυκὺ σεῖο δοκεύων.

ΨΑΛΜΟΣ ΝΒ′

1 *Δαυίδου πινυτῆς ὑπὲρ ἀντιθέου μαελήτου.*
Τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ δεύτερος ὕμνος.

2 Οὐκ εἶναι Θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων·
αἴσχεα τεκταίνοντες ἑοῖς ἐξέφθιθεν ἔργοις,
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
3 Ἄφθιτος οὐρανόθεν βρότεον σκοπιάζετο φῦλον
ὀψόμενος, τίς ἄνακτα Θεὸν διζήμενος εἴη.
4 Πάντες ἀποκλίναντες ὁμοῦ κλονέοντο κακοῖσιν,
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
5 Οἱ δ' ἀγαθῶν ἀγνῶτες, ἀεὶ συμφράδμονες ἄτης,
λαὸν ἐμὸν κατέδοντες ὅπως θρεψήνορα σῖτον,
ἀφραδέως ἐλάθοντο Θεὸν βασιλῆα λίτεσθαι.
6 **108** δειμαίνεσκον ἄδην, ὅτε δείματος οὐ χρέος ἦεν·
ὀστέα πάντα κέδασθεν, ὅσοις μέλει ἄνδρας ἰαίνειν,
καὶ σφίσιν ἄφθιτος αὐτὸς ὀνοσσάμενος πόρεν αἶσχος.
7 Τίς πόροι ἐκ Σιῶνος ἐπίρροθον Ἰσραήλου;
Λαοῦ ὅταν στρέψειε Θεὸς καταδούλιον ἦμαρ,
τῆμος ἀγαλλέσθω περιώσιον Ἰσραῆλος.

ΨΑΛΜΟΣ ΝΓ'

Τήνδε Θεῷ κελάδησεν ἄναξ Δαυῒδος ἀοιδήν,
Ζειφαίων ὅτε φῦλον ἀτάσθαλον ἦγε Σαούλῳ,
παρθέμεν ἀγγελίην ἀποφώλιον, οὐδ' ἱκετάων
φείσατο· Δαυῒδον δὲ μετὰ σφίσι φάντο κεκρύφθαι.
Τοῦδε μέλος τρίτατον καὶ πεντηκοστὸν ἐτύχθη.

Οὔνομα σόν, Βασιλεῦ, μὲ κακῶν ἀπάνευθε σαώσοι,
καί μ' ἀναμετρήσας περὶ σὸν σθένος ὧδε δικάζοις.
Εὐχωλῆς ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν,
μύθοις ἡμετέροις ἀριήκοον οὖας ἐρείδοις,
οὕνεκά μοι ξεῖνον δηίων θωρήξατο φῦλον
καί μευ ἀνιχνεύεσκον ἐλεῖν μενεδήιοι ἦτορ,
οὐδὲ νόῳ Βασιλῆος ἐπεμνήσαντο Θεοῖο.
109 Ἤτοι ἐμοὶ καλέοντι Θεὸς ἐπιτάρροθος ἔσται
καί μευ Ἄναξ βιότοιο διηνεκέως προμαχίζοι.
Κήδεα δυσμενέεσσιν ἀποστρέψειας ἐμοῖσι·
σεῖο δ' ἀληθείῃ, Βασιλεῦ, σφέας ἐξαλαώσοις.
Αὐτὰρ ἐγώ σοι θῦμα νόῳ ποθέοντι κομίσσω·
οὔνομά σευ μέλψω, Βασιλεῦ, —ἀγαθὸν γὰρ ἐτύχθη—
οὕνεκα παντοίης μευ ἐλύσαο θυμὸν ἀνάγκης,
δυσμενέων δ' ἀνέφηνας ἐμοῖς ὄσσοισιν ὄλεθρον.

ΨΑΛΜΟΣ ΝΔ'

Δαυίδου πινυτῆς θεοτερπέος ἄξιος ὕμνος
πεντηκοστὸς ἐὼν ἀγαθοῖς ἐπὶ τέτρασιν ἄλλοις.

Εὐχωλῆς ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν,
μηδέ μευ ἱκεσίην ἀγανόφρονα πάγχυ παρέλθοις·
δέρκεο, νωιτέρην δὲ μετ' οὔασι δέχνυσο φωνήν.
Χωόμενος πυκινοῖς μελεδήμασι θυμὸν ὀρίνθην
δυσμενέος φθογγὴν ἀίων καὶ μόχθον ἀλιτροῦ,
οὕνεκεν ἀμπλακίας μοι ἐπικλίνεσκον ἀνιγράς,
πικρὰ δὲ λυσσώοντες ἐπὶ φρεσὶ μῆνιν ἔθεντο.
Ἀμφ' ἐμοὶ ἡμέτερον ταραχῇ βεβολημένον ἦτορ,
ῥιγηλὴν θανάτοιο βίην τρομέεσκον ἰοῦσαν·
110 δεῖμα τρόμος τ' ἔμ' ἐπῆλθε, κάλυψε δὲ νήχυτος ὄρφνη·

Εἶπα δέ· τίς κεν ἐμοὶ πτέρυγας πόροι οἷα πελείης,
ὄφρα δέμας καμάτοιο ποτώμενος ἀμπαύσαιμι;
Τῆλε φυγὴν ἐθέμην, ἐν δ' ἤνυον αὖλιν ἐρήμῳ.
Ἀδρανίης ἀλκτῆρα μένον ταναῆς τε θυέλλης.
Γλώσσας σφωιτέρας μηρυσάμενος βάλε πόντῳ·
ἀμπλακίην ἐνόησα ἐπεσβολίην τ' ἀνὰ ἄστυ,
πύργους ἠματίη νυχίη θ' ἕο κυκλώσειεν·
μεσσόθι δυσνομίην φορέει καὶ μόχθον ἀνίης,
μηδὲ πόνος δολόεις σφετέρων λείποιτο κελεύθων.
Εἴ μ' ἐχθρὸς στυφέλιξεν ὀνείδεσιν, ἦ τάχ' ἀνέτλην
καί κεν ἀπεχθομένοιο λόγων ἀλέεινον ἐρωήν.
Ἀλλά, καθηγητὴρ καὶ γνώριμε πάντοθ' ὁμόφρον,
οὐκ ἄφνω θαλίης παρὰ σοὶ πασάμεσθα μελιχρῆς;
ἦ ῥ' οὐ δῶμα θεοῖο φίλα φρονέοντες ἔβημεν;
Εἴθ' ὀλοῶν ἔλθοι θάνατος σφίσιν ἄξιος ἔργων,
εἰς δ' Ἀίδαο βέρεθρον ἔτι ζώοντες ἴκοιντο,
οἵ ῥα μέσαις φρονέουσιν ἀτασθαλίας καλύβῃσιν.
Αὐτὰρ ἐγὼ ἐβόησα, Θεὸς δέ μευ ἔκλυεν αὐδῆς·
111 ἐξ ἠοῦς ἐρέω κατά θ' ἕσπερα καὶ μέσον ἦμαρ·
γήρυος ἡμετέρης ἐπακούσεται ἀγγέλλοντος.
Εἰρήνῃ κραδίην ἀπολύσεται ἄσσον ἰόντων,
οὕνεκά μοι πολέεσσι πεποιθότες ἀντεφέροντο.
Κείνους εἰσαΐων γενετὴρ κόσμοιο μαραίνοι·
οὐ γὰρ λύτρον ἔχουσι καὶ οὐκ ἀλέγουσι Θεοῖο.
Τεῖνεν ἀμοιβαίοις παλάμην σπέρχουσαν ἐπ' ἔργοις·
οἱ δέ οἱ ἁρμονίην νημερτέα θέντο βέβηλον
καί οἱ ἐμοιρήσαντο δυσάντεα μῆνιν ὀπωπῆς·
ἐγγύθεν ἀθανάτου σκοπιάζετο μῆτις Ἄνακτος.
Τῶν δ' ἐγένοντο λόγοι ἀπαλώτεροι ἤ περ ἔλαιον,
ἀλλ' ὁλοαῖς βολίδεσσι μετὰ σφίσιν ἔσκον ὁμοῖοι.
Ἀθανάτῳ Βασιλῆι τεὰς ἐπίπεμπε μερίμνας,
καί σευ ἀεὶ κήδοιτο διηνεκέως τ' ἀτιτάλλοι·
οὔ ποτε τιμήεντι σάλον τεύξειε δικαίῳ.
Ἀλλὰ σφέας κατάγοις, Βασιλεῦ, μετὰ βόθρον ὀλέθρου·
ἀνδροφόνοι δολεροί τε βίου κατὰ μέσσον ὄλοιντο,
αὐτὰρ ἐγὼ Βασιλῆος ἐπ' ἐλπωρῇσι βιώην.

ΨΑΛΜΟΣ ΝΕ′

Οὐδὲ φυγὼν Δαυΐδος ἑῶν ἐπελήσατο λαῶν,
ἀλλὰ Θεὸν λιτάνευεν, ὅπως περιφείσεται ἀνδρῶν,
112 *οἳ νόον ἐντὸς ἔθεντο θεουδείης ἐρατεινῆς.*
Κεῖνος μὲν λίγα μέλπεν ἐπ᾽ ἀλλοδαπῇσιν ἀρούραις,
Τετθαῖοι δέ μιν ἄνδρες ὑπερβασίῃσιν ἑλόντες
ἦγον ἐῷ βασιλῆι· Θεὸς δέ ἑ ῥύσατο μόχθων.
Τοῖο δὲ πεντηκοστὸν ἔφυ καὶ πέμπτον ἄεισμα.

Ἴλαθί μοι· μάλα γάρ με καταστείβει ποσὶν ἀνήρ,
μόχθοισίν μ᾽ ἐβάρυνε πανημέριον πολεμίζων.
Ἡμάτιος πέζῃσιν ἀπεχθομένων πεπάτημαι,
ὑψόθεν ἐξ ἠοῦς πολέες τεύχουσι κυδοιμούς·
οὔ τιν᾽ ὑποδδείσαιμι, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.
Εὐεπίῃ Βασιλῆα πανημαδὸν ὑμνοπολεύσω·
οὐ τρομέω βροτὸν ἄνδρα· Θεός νύ μοι ἐλπὶς ἐτύχθη.
Νωιτέρους στυγέεσκον ἐνὶ φρεσὶ πάντοτε μύθους
αἰεί [τ᾽] ἀμφ᾽ ἐμέθεν κακὰ κήδεα μητιάασκον.
Ἐγγύθι ναιετάοντες ἐὰς κρύψουσι μενοινὰς
πτέρνης ἡμετέρης φυλακὴν ποιούμενοι αἰεί.
Ὡς δ᾽ αὐτοὶ λοχόωντες ἐμὸν μένον ἦτορ ὀλέσσαι,
ὧδε κότῳ καθέλοις κρυερῷ κακοεργέα φῦλα,
χωόμενος κραδίῃ κατάγοις ὑψαύχενα δῆμον.
Ἡμέτερόν σοι, Ἄναξ, γλυκερὸν βίον ἐξαγόρευσα,
καί μευ θήκαο δάκρυ τεῶν κατεναντίον ὄσσων.
Ἐχθροὶ ὑποσχεσίῃσι τεαῖς στρεφθεῖεν ὀπίσσω,
113 εὖτε τεήν, Βασιλεῦ, ἐπαρηγόνα χεῖρα καλέσσω·
ἔγνων, ὅτι Θεὸς πανεπίσκοπος ἔπλευ ἐμεῖο.
Μέλψω θαρσαλέως θεοτερπέα κῶμον Ἄνακτι,
Παμβασιλῆι ἔπος καταθύμιον ὑμνοπολεύσω.
Οὐ τρομέων βροτὸν ἄνδρα· Θεός νύ μοι ἐλπὶς ἐτύχθη.
Εἰσί μοι εὐχωλαί, ἅς τοι, Μάκαρ, αἶνον ἀείσω,
οὕνεκά μευ λύσας θανάτου βαρυώδυνον ἦτορ,
ὀφθαλμοὺς δὲ γόοιο, πόδας δ᾽ ἐξείλευ ὀλίσθου.
Ζωόντων βασιλῆι Θεῷ μέγα φέγγος ἄδοιμι.

ΨΑΛΜΟΣ ΝϚ′

Καὶ τόδε Δαυίδου τὸ μελύδριον, εὖτε Σαούλου
ἄπρηκτον μανίην ἀσπασίως προφυγὼν
ἴαχε πεντηκοστὸν ὁμοῦ καὶ ἕκτον ἄεισμα,
εἰς σπέος ἑζόμενος ὁ πρὶν ἀριστοπόνος.
Μηδέ ποτε φθείροις ἀγαθοῦ μελεδήματα φωτὸς
εἰς στηλογραφίην ἱερὰ γραψαμένου.

Ἵλαθί μοι, Βασιλεῦ πανεπίσκοπε, καί μ᾽ ἐλεαίροις,
οὕνεκά σοι φίλον ἦτορ ἀεὶ περιθάρσυνον ἴσχω
σῇσι περὶ σκέπαϊ σκιερῷ πτερύγεσσι πεποιθώς,
εἰσόκεν ἀχράαντος ἀτασθαλίη με πάρελθοι.
Ὕψιστον καλέσαιμι Θεὸν βασιλῆα λιτῇσιν,
114 ἄφθιτον, οὗ σύμπαντα φέρω φυσίζοα δῶρα.
Οὐρανόθεν προϊεὶς με κακῆς ἐσάωσεν ἀνάγκης
καί με καταστείβοντας ὀνείδεσι δῶκεν ἀλείτας.
Πέμψεν ἀληθείην καὶ ἐὴν οἰκτίρμονα βουλήν,
ῥύσατο δὲ σκύμνων ὀλοῶν μέσον ἦτορ ἐμεῖο.
Αὐτὸς ἐκοιμήθην κρυερῇ τεταραγμένος ἄτῃ·
ἀνέρες, οἷς ἀσπίς τε καὶ οἷς βέλος εἰσὶν ὀδόντες,
ὀξείῃ δὲ γλῶσσα πανείκελός ἐστι μαχαίρῃ.
Ὄρσ᾽ ὑπὲρ οὐρανίων δαπέδων, πανυπέρτατε Ποιμήν,
καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.
Ἡμετέραις ἔπλεξαν ἀμήχανα δίκτυα πέζαις
καὶ θυμὸν κατέκαμψαν ἐμὸν μογέοντα κακοῖσι·
κάππεσον εἰς βόθρον, τὸν ἐμῶν θέσαν ἀντίον ὄσσων.
Θυμὸς ἑτοῖμος ἐμός, Πανεπίσκοπε, θυμὸς ἑτοῖμος·
κῦδος ἐμὸν μέλψει σε καὶ ἐν ψαλμοῖσιν ἀείσει.
Ἔγρεό μοι, σοφίης γεραρὸν καὶ ἀγήραον εὖχος·
ἔγρεό μοι, φόρμιγξ καὶ ἐμῶν ψαλτήριον ὕμνων·
ἐμμαπέως ἠῶθεν ἀνεγρόμενος κελαδήσω.
Ἀμφιβόητον ἔπος σόν, Ἄναξ, λαοῖσι βοήσω
καὶ δήμοις πολέεσσι λυροκτύπον αἶνον ἀείσω·
οὐρανίων ἐλεητὺν ἔχεις καθύπερθε πυλάων,
καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.
Ὄρσ᾽ ὑπὲρ οὐρανίων πυλέων, πανυπέρτατε Ποιμήν,
καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.

ΨΑΛΜΟΣ ΝΖ′

Στήλης ἧς μενέχαρμος ὑπὲρ Δαυῒδος ἔγραψε
μηδέ ποτε φθεῖραι πρὸς τέρματι καλὸν ἄεισμα·
οὗ πάρα πεντηκοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος.

2 Ἦ ῥά που ἀτρεκέως ὁσίους ἀγορεύετε μύθους
καὶ θέμιν ἰθεῖαν, μερόπων, ἰθύνετε, παῖδες,
3 ἀμπλακίην πραπίδεσσιν ἐπὶ χθονὶ τεκταίνοντες,
πλεξάμενοι παλάμῃσι κακορρέκτοις ἀθέμιστα;
4 ἀλλότριοι πρὸ τόκοιο Θεοῦ γεγάασιν ἀλεῖται
ἐκ γαστρός [τ'] ἀλάληνται ἀεὶ ψευδὲς λαλέοντες,
5 ἰοβόλοις ὀφίεσσι πανείκελα μηνιόωντες,
ἀσπὶς ὅπως κωφή, τῇ περ κότῳ οὔατ' ἔβυσεν,
6 ἥ ῥ' οὐκ ἰητῆρος ἐπαείδοντος ἀκούει,
φαρμακόεν δέ οἱ οὐ μέλεται σοφοῦ ἀνέρος ἄλκαρ.
7 Τῶνδε Θεὸς συνέτριψεν ὑπὸ στόμα πικρὸν ὀδόντας,
116 γαμφηλὰς ὁλοῶν βασιλεὺς ξυνέαξε λεόντων.
8 Μωμητοὶ τελέθουσι, μάτην ἅτε νίσσεται ὕδωρ·
τόξον Ἄναξ τανύσειεν, ἕως νούσοισι δαμεῖεν.
9 Κηρῷ τηκομένῳ ἴκελοι τήκοιντο κακοῖσιν,
ἠελίου λελάθοιντο πυρὸς προμολόντος ἐπ' αὐτούς.
10 Ὑμετέρην πρὶν ῥάμνον ἐὰς διαΐδμεν ἀκάνθας,
αἶψα καταβρώξειεν ὅπως ζώοντας ἀρετῇ.
11 Εἰσορόων ὅσιος κεχαρήσεται ἔκδικον ἦμαρ,
αἵματί που νίψαιτο φίλας περὶ χεῖρας ἀλιτροῦ
12 ἐξερέων, ὅτι καρπὸς ἀγακλέος ἐστὶ δικαίου,
ὡς Θεὸς ἐν γαίῃ βροτέων πέλει ἔκδικος ἔργων.

ΨΑΛΜΟΣ ΝΗ′

Στήλης ἧς ἐπίγραμμα γράφων Δαυῒδος ἀμύμων
ἀρχόμενος θέσπιζεν ἔχειν τέλος ἀψεγὲς ὕμνων,
ὁππότε Σαοῦλος κραδίην ἀμνήμονα μόχθων
τοῖο φέρων, προτέρων δὲ λελασμένος ἁρμονιάων,
πέμψεν ἀριστοπόνοιο δόμον γαμβροῖο φυλάσσειν,
ὅφρα οἱ ἀντ' ἀγαθῶν θάνατον γέρας αἰνὸν ὀπάσσοι.
Τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ ὄγδοος ὕμνος.

2 Ἄφθιτε, δυσμενέων με κακῆς ἐξάρπασον ἄτης,

ἐκ δὲ κορυσσομένων μοι ἐλεύθερον ἦμαρ ὀπάζοις.
3 **117** Ἀλλὰ καὶ ἀνδροφόνων μ' ὁλοῶν ἄπο ῥίμφα σαώσοις,
ἐργατίνῃσιν ἀτασθαλίης μὴ θοῦ μ' ὑπὸ χεῖρα,
4 οἳ πρὶν ἀνιχνεύεσκον ἐμὸν βαρυώδυνον ἦτορ.
Κάρτιστοί νύ μοι ἄνδρες ἐπιβρίθεσκον ἐρωῇ,
οὐ περὶ δυσνομίαις οὐδ' ἀμπλακίῃσιν ἐμῇσι.
5 Δυσνομίης ἀπάνευθε δραμὼν ὁδὸν εὗρον ἑτοίμην·
ἐγρόμενος, Βασιλεῦ, παρ' ἔμ' ἵσταso καὶ ἴδε ἔργον.
6 Καὶ σύ, Ἄναξ σθενέων Ἰσραήλοιό τε ποιμήν,
ἔθνεσι παντοδαποῖς πανεπίσκοπον ὄμμα τιταίνοις
μηδὲ κατοικτείρειας ἀτασθαλίης θεράποντας.
7 Ὧραις ἑσπερίῃσιν ἐπιστρέψουσιν ἄπαστοι
καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
8 Τῶν φθογγὴ μὲν ἄπυστος, ἀτὰρ περὶ χείλεσιν ἆορ,
8 ὄφρα τις εἰσαΐοι· σὺ δ' ἄρα σφέας ἠδὺ γελάσσαις,
φῦλα βροτῶν ὀνόσαιο κακῶν χάριν ἀμπλακιάων.
10 Κάρτος ἐμὸν Βασιλῆι μεγακλήεντι φυλάξω,
οὕνεκά μευ Θεὸς αἰὲν ὑπερμενέως προμαχίζει.
11 Ἀμφιβάλοι μ' ἐλεητὺς ὑποφθαμένη Βασιλῆος·
ἡμετέροις δαμάσειας ὑπ' ὀφθαλμοῖσιν ἀλείτας,
12 μὴ κτείνων ἵνα σεῖο νόμου μὴ πάγχυ λάθοιντο,
118 ἀλλὰ βίῃ μεγάλῃ καὶ κάρτεϊ ῥεῖα κεδάσσαις
καὶ σφέων ἠνορέην δαπέδῳ πελάσειας, ἀμύντωρ,
13 ἀμπλακίην στόματος σφετέρου χειλέων θ' ἅμα μῦθον·
σφωιτέραις μεγάλῃσιν ὑπερβασίῃσιν ἀλῷεν,
ἀφραδέως ἁλῶεν ὑπερβασίῃσιν ἐῇσιν,
ὧν τέλος ἐξ ἀρῆς καὶ ψεύδεος ἀγγέλλοιτο·
14 πείρας χωομένοισι μόλοι καὶ τέρμα βίοιο·
ἴστωσαν, Θεὸς οὔνεκ' Ἰακώβου βασιλεύει
παντοδαπαῖς ἄντυξιν ἀνακτορίην χθονὸς ἴσχων.
15 Ὧραις ἑσπερίῃσιν ἐπιστρέψουσιν ἄπαστοι
καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
16 Οἵδε κεδασθήσονται ἐνηέα δόρπον ἑλέσθαι,
ἢν δὲ μάτην τρύζωσι κορεσσάμενοι κατὰ θυμόν.
17 Αὐτὸς ἀγακλῆέν σευ, Ἄναξ, σθένος ὑμνοπολεύσω,
ἠῶθεν δ' ἐλέῳ κεχαρήσομαι, Ἄφθτε, σεῖο,
οὕνεκά μευ Θεός ἐσσι καὶ ἔκδικος ἐσθλὸς ἐτύχθης

καί μευ ἔφυς κακότητος ἐν ἤματι πύργος ἑτοῖμος.
18 Ὄρχαμε, φορμίζω σε, ἐπεὶ σύ μευ ἔπλευ ἀρωγός·
νωίτερος Βασιλεὺς ἐλεημοσύνη μευ ἐτύχθη.

ΨΑΛΜΟΣ ΝΘ′

1 **119** *Ἐπίγραμμα τοῦτο πραγμάτων ὑπὲρ χαρὰν*
ὑπὲρ τὸ νομισθὲν τῷ βασιλεῖ πεπραγμένων.
2 *Καὶ γὰρ παρελθὼν τοὺς Παλαιστίνης ὅρους*
καὶ τἄλλ' ἐφεξῆς τῶν Σύρων τὰ χωρία
τὴν Μεσοποταμίαν πυρπολεῖ κατὰ κράτος.
Τὸν Σώβαλον δὲ τὸν Σύρον κατασπάσας
ἐπέταξε πορθεῖν τῷ στρατηγῷ συντόμως
αὖθις μεταστρεφθέντι τῶν λοιπῶν λεῶν·
Ἰώσαφος δὲ σὺν Θεῷ πάλιν αὐτῶν
εὐθὺς πατάσσει τὴν φάραγγα τῶν ἁλῶν
ἀνδρῶν φονεύσας χιλιάδας δυώδεκα.
Ὡς δ' εἶδεν ἀλλοίωσιν ἀγαθῶν πραγμάτων
Δαυῖδος, ἐνεφορεῖτο θείου πνεύματος,
ὕμνει δὲ πεντηκοστὸν ἀμφ' ἑνάτῳ μέλος.

3 Ἡμέας, ὦ Βασιλεῦ, καθελὼν ἐξώσαο πάντῃ,
χωσάμενος δ' ἐλέησας ἀμαιμάκετον μετὰ μῆνιν.
4 **120** Γαῖαν ὅλην ἐδόνησας ἀφειδείῃσιν ὀρίνων·
εἴθε οἱ ἰήσαιο, τά περ ξυνέαξας ἐλίξας.
5 Σοῖσι, Μάκαρ, λαοῖσι σιδήρεα δῶκας ἰδέσθαι,
μνήμονα παντοίης οἶνον πόρες ἄμμιν ἀνίης.
6 Σῆμα πόρες δμώεσσι βίην τόξου ἀλέασθαι.
7 Ὄφρα τεοὺς θεράποντας ἀφαρπάξειας ἀνάγκης,
δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκληθι φωνῆς.
8 Εἶπεν Ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον·
τερψάμενος Σίκημα θοῶς διαδάσσομαι ἤδη
καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων.
9 Ἡμέτερος Γαλαάδος, ὁμῶς δ' ἐμός ἐστι Μανασσῆς,
Ἔφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη,
αὐτὰρ εὐκλειὴς βασιλεὺς ἐμός ἐστιν Ἰούδας,
10 ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μωᾶφος ἀμύμων·

ἐκτείναιμι πέδιλον ἐμὸν πρόπαρ Ἰδουμαίης·
ποσσὶν ὑφ' ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.
11 Ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα
ἠὲ καὶ ἰθυντῆρ' Ἰδουμαίης μετὰ δήμους·
12 **121** ἦ ῥ' οὐκ αὐτός, Ἄναξ, ἡγήσεαι, ὁ πρὶν ἐάσας;
οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός;
13 τειρομένοις ἐπίκουρος, Ἄναξ, ἀναφανδὰ φανείης,
ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίζοις.
14 Ἐν κρατερῷ Βασιλῆι βίην τελέσωμεν ἑτοίμην,
δυσμενέων δ' ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.

ΨΑΛΜΟΣ Ξ′

1 *Ἑξηκοστὸν ἔγραψεν ἄναξ Δαυῖδος ἄεισμα.*

2 Ἱκεσίης ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν,
καί μοι ἐπ' εὐχωλῇ τηλεσκόπον ὄμμα τανύσσαις.
3 Δευόμενος βοάασκον, Ἄναξ, περάτων ἄπο γαίης·
ἀχνυμένης μ' ἀνάειρας ἐμῆς κραδίης ἐπὶ πέτρην,
4 ἡγητὴρ ἐμὸς ἔσκες, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης,
πύργος ἐμὸς μετὰ δῆριν ἐπερχομένων ὀλετήρων.
5 Σῇσι, Μάκαρ, καλύβῃσι διηνεκέως παραμίμνω,
καὶ σέο θεσπέσιον πτερύγων σκέπας ἀμφιπυκάζοι,
6 οὕνεκα νωιτέρων, Μάκαρ, ἔκλυες εὐχωλάων.
Κλῆρον ἀγακλήεντα τεοῖς δμώεσσιν ἔδωκας·
7 ἦμαρ ἐπ' ἦμαρ Ἄνακτι πόροις βιότοιο κελεύθους,
8 **122** ἐκ γενεῆς γενεὴν δὲ Θεοῦ πέλας ἔμπεδον εὕροι.
Τίς τοι ἀληθείην ἔλεόν θ' ἅμα μαστεύσειε;
9 Πάντοτ' ἐμὸν Βασιλῆα φίλῃ φόρμιγγι βοήσω,
εἰσόκεν εὐχωλὰς τίσω, Μάκαρ, ἦμαρ ἐπ' ἦμαρ.

ΨΑΛΜΟΣ ΞΑ′

1 *Ἰδιθούμου κῶμον ὑπὲρ Δαυῖδος ἔγραψε*
τόνδ' ἑξηκοστὸν μελέων καὶ πρῶτον ἀείσας.

2 Ἦ ῥ οὐχ ἡμέτερον δεδμήσεται ἦτορ Ἄνακτι;
Καὶ γὰρ φέγγος ἐμὸν πέλεται Βασιλῆος ἀρωγή,
3 οὕνεκά μευ Θεὸς αὐτός, ἐμῆς δ' ὑπερίσταται ἀλκῆς,
ἄλκαρ ἐμόν, τὸ καὶ οὔ τί ποτ' ἔλπομαι εἶναι ἀλείτης.

4 Μέχρι τεῦ ἀνδρὶ μάχεσθε ὁμῶς τ' ἐναρίζετε πάντες
τοίχῳ κεκλιμένῳ ἴκελοι φραγμῷ τε πεσόντι;
5 Ἔδραμον ἐν δίψῃ, σκέψαντο δέ μ' ἀκλέα τεῦξαι,
εὐχόμενοι γλώσσῃσιν ἀρὰς στέρνοισι πάτασσον.
6 Θυμὲ πέπον, βασιλῆι Θεῷ δέδμησο πεποιθώς,
οὕνεκεν ἐλπωρῆς μευ ἔφυ φυσίζοον ἔρμα·
7 αὐτὸς γὰρ Θεός ἐστιν ἐμὸς Σωτήρ τε τέτυκται,
123 ἄλκαρ ἐμόν· τίς κέν με φίλης ἐλάσειε τιθήνης;
8 κῦδος ἐμὸν καὶ φέγγος ὑπ' ἐννεσίῃσιν Ἄνακτος·
ἐλπὶς ἐμὴ Βασιλῆα μένει καὶ κάρτος ἀρωγῆς.
9 Παντοδαπὴ δήμων κλισίη, θαρσήσατ' Ἄνακτι,
σφωίτερον δ' ἀναφανδὰ Θεῷ περιχεύσατε θυμόν,
οὕνεκά τοι ἐπίκουρος ἀεὶ Θεὸς ἄμμιν ἐτύχθη.
10 Ἔμπα γε μὴν μερόπων ἁλίη σύμπασα γενέθλη,
φύτλη ψευδαλέη μερόπων ἀδίκοισι ταλάντοις,
ἐκ φρενὸς ὥρμηθεν κενεαυχέες εἰς ἓν ἰόντες.
11 Μηδέ ποτ' ἀμφ' ἀδίκοισι νόον μεμελημένον ἴσχειν
μηδὲ μετ' ἀλλοτρίοις ἀγαθοῖς θέμεν ἅρπαγα θυμόν,
μηδὲ ῥόον πλούτοιο πλυκτεάνοιο ποθεῖτε.
12 Εἶπεν ἅπαξ Βασιλεύς, δύο δ' ἔκλυον· οὔασι τοῖα,
13 ὡς Θεοῦ ἔπλετο κάρτος ὁμῶς τ' ἐλεητὺς Ἄνακτος·
πᾶσι σὺ μισθόν, Ἄναξ, ὀπάσοις ἀντάξιον ἔργων.

ΨΑΛΜΟΣ ΞΒ'

1 *Δαυίδου κλυτὸς ὕμνος Ἰουδαίης ἐρήμῳ*
ἑξηκοστὸς ὁμοῦ καὶ δεύτερος οὗτος ἐτύχθη.

2 Νύκτα μετ' ἀμφιλύκην σέ, Μάκαρ, Μάκαρ, ἀμφιχορεύσω·
124 καὶ ψυχή σ' ἐπόθησεν ἐμὴ σὰρξ ἔτι μᾶλλον
τρηχεῖαν καὶ ἄνυδρον ἀνὰ χθόνα πολλὸν ἐρήμην·
3 σοί, Μάκαρ, εἰν ἁγίῳ μάλα θάρσυνος ὧδε φαάνθην
ἰσχανόων δύναμίν τε τεὴν καὶ κῦδος ἰδέσθαι.
4 Κρεῖσσον' ἔχεις ἐλεητύν, Ἄναξ, βιότοιο κελεύθων·
χείλεσιν ἡμετέροισι τεὸν κλέος ὑμνοπολεύσω.
5 Ὧδέ σε κυδαίνοιμι διαμπερές, εἰσόκεν ἔρπω,
σοὶ δ' ἐπιθαρσήεις παλάμας εἰς ὕψος ἀείρω.

6 Οἷά τε πιαλέης πλησθήσομαι ἦτορ ἀλοιφῆς,
χείλεα δ' εὐφροσύνης ἐμέθεν στόμα πάντοτε μέλψει.
7 Εἰ σέθεν ἐν λεχέεσσιν ἐμοῖς μεμνημένος ἦα,
σοῖσι μάλ' ἐξ ἠοῦς μελεδήμασι θυμὸν ἔβοσκον,
8 οὕνεκεν ἄμμιν Ἄναξ ἐπιτάρροθος ἐξεφαάνθης·
καί σεο γηθήσαιμι περὶ πτερύγων ἀλεωρῇ.
9 Ἰχνεϊ σῷ συνοπηδὸν ἐμὸν φίλον ἦτορ ἐρείσθη,
καί σεο δεξιτερή μευ ὑπερμενέως προμάχησεν·
10 οἱ δὲ μάτην μάστευον ἐμὸν διὰ θυμὸν ὀλέσσαι,
νερτερίων ὑπένερθεν ἱκοίατο ῥίμφα βερέθρων·
11 χειρῶν ἁρπαλέων ξίφεος μέλπηθρα τετύχθων,
δεινὸν ἀλωπήκεσσιν ἔλωρ καὶ δασμὸς ἔσονται.
12 **125** Αὐτὰρ ἄναξ Θεῷ ἀμφὶ φίλην φρένα γηθήσειε,
πᾶς δέ οἱ ὀμνύμενος κλέος ἄφθιτον αἰνετὸς ἔσται·
πᾶν γὰρ ἀπεκλείσθη λάβρον στόμα λωβητήρων.

ΨΑΛΜΟΣ ΞΓ'

1 *Δαυίδου λιγυρὸς μεγαλοσθενέος βασιλῆος*
ἑξηκοστὸς ὁμοῦ τρίτατός θ' ἅμα κῶμος ἐτύχθη.

2 Ἱκεσίης ἐπάκουσον, Ἄναξ, ὅτε σεῖο λιτοίμην·
θυμὸν ἐμὸν λύσειας ὑπ' ἀντιβίης μελεδώνης.
3 Ἔκρυψάς μ' ἀπάνευθε κακῶν ἀγεληδὸν ἰόντων
πληθύος, οἷσι μέμηλε νόῳ ἀθεμίστια ἔργα,
4 οἳ γλώσσας θήγεσκον ἐὰς ξιφέεσσιν ὁμοίας,
ἔργα δὲ ῥιγηλῷ πρόεσαν πανομοίια τόξῳ,
5 ὥς κεν ὀϊστεύσωσιν ἀναίτιον ἀνέρα λάθρῃ,
οὐδέ μιν ἐξαπίνης κραδίῃ δείσουσι βαλόντες.
6 Ἔμπεδον ἐστήριξαν ἀναιδέα δήνεσι μῦθον,
δίκτυον ἐσκέψαντο δολοφροσύνῃσι καλύψαι.
Εἶπον· τίς κεν ἴδοι σκότιον σφέων ὄμμασιν ἔργον;
7 Θυμῷ ἀνιχνεύεσκον ἀλιτροσύνην ἀλεγεινήν,
οἱ δ' ὀλιγηπελέεσκον ἀπείριτα μαστεύοντες.
Νειόθεν ἴδμονα μῆτιν ἔχων προσελεύσεται ἀνήρ,
8 ὅς ῥ' ὑψιβρεμέταο βίην Βασιλῆος ἀείροι.
Ὧδε βολὰς προέηκαν, ὅσον καὶ νήπιος υἱός,

9 **126** ἠπεδαναῖς γλώσσῃσιν ὑπέρβια μυθίζοντες.
Πάντες ἅμ' ὠρίνθησαν, ὅσοι σφέας εἰσοράασκον·
10 τίς μερόπων οὐκ εἶδεν, ἰδὼν δ' οὐκ ἔτρεσε θυμῷ;
Καὶ πολυκυδήεντα Θεοῦ διαπέφραδεν ἔργα
τέχνας ἀθανάτης παλάμης πραπίδεσσι δοκεύων.
11 Τερπέσθω Βασιλῆος ἐπ' ἐλπωρῇσι δίκαιος·
ἰθυνόοις δ' ἅμα πᾶσιν ἀέξεται αἶνος ἀπείρων.

ΨΑΛΜΟΣ ΞΔ'

1 *Μέλπε μοι, Ἰεζεκιῆλε, καί, Ἱερεμία, βόησον,*
πῶς τότε δούλιον ἦμαρ ἐπήλυθον οἱ μετὰ γαῖαν,
ὥς ποτε νηὸν Ἄνακτος ἀποπρολιπόντες ἔβησαν·
μέλψατε τιμήεσσαν ὀδυρόμενοι Βασιλῆος,
λαὸς ἐυκλείης, σφετέρων χάριν ἀμπλακιάων.
Ἑξηκοστὸς ὁμῶς καὶ τέτρατος ὕμνος ἐτύχθη.
2 Σοί, Μάκαρ, ἐν Σιῶνι μεταπρέπει ἄσπετος ὕμνος,
ἐν δ' Ἱερουσαλῇ φορέοις παλινάγρετον εὐχήν.
3 Πᾶν βρότεον λίτεταί σε γένος, σὺ δὲ κέκλυθι, Ποιμήν·
κλῦθι λιτῆς, σὲ δὲ πᾶσα λιτάζεται ἀνδρομέη σάρξ.
4 Ἠνορέης λαθόμεσθ' ἐπέων ἀίοντες ἀθέσμων,
νῶι δὲ θυμὸν ἔχοις ἐλεήμονα δυσφροσύνῃσιν.
5 **127** Ὄλβιος, ὃς παρὰ σοὶ προλελεγμένος οἰκία ναίει,
σοῖσι παρ' αὐλείοις κλισίην πήξοιντο μελάθροις.
Σεῖο δόμων ἀγαθοῖσι φίλον πλησοίμεθα θυμόν·
6 ἄχραντός σεο νηός, ἐπ' εὐδικίῃσιν ἀγητός.
Ἀλκτὴρ καὶ Βασιλεῦ, ξυνῆς ἐπικέκλυθι φωνῆς,
γαίης ἐλπὶς ὅλων περάτων καὶ νόσφι θαλάσσης,
7 ἠνορέῃ σκιόεντα, Μάκαρ, σέθεν οὔρεα τεύχων,
ἀπροτίοπτον ζῶμα τεὴν ἐζωσμένος ἀλκήν,
8 ὃς μέγεθος κλονέεσκες ἀμετρήτοιο θαλάσσης·
τίς φορέειν σφετέροιο βίην σθένοι οἴδματος ὁρμήν;
9 Φῦλα βροτῶν κλονέοιντο, φέροιντο δὲ δείματα θυμῷ
πείρατα ναιετάοντες, ὅπως σφίσι πήξαο τέκμωρ,
ἠοῦς ἀντολίην καὶ ἑσπερίην ἅμα τέρψιν.
10 Σκεψάνενος νιφάδεσσιν, Ἄναξ, ἐμέθυσσας ἄρουραν,
θήκαο δ' ἀφνειὴν ἀγαθῶν ἐγκύμονα καρπῶν·

ἀθανάτου ποταμὸς πυκινοῖς βέβριθε ῥεέθροις·
καὶ σφίσιν ὥς τε Θεὸς βρῶσιν προέηκας ἑτοίμην.
11 Καρποτόκους εὔφρηνον, Ἄναξ, σέθεν αὔλακας αἴης,
εὔζωον δὲ οἱ οὖδας ἄγοι πολυειδέα καρπόν,
αἰθερίαις ψεκάδεσσι γανύσσεται ἀντέλλουσα.
12 **128** Σῆς, ἄνα, μειλιχίης ἔτεος στέφος αἰνήσειας,
καί σεο πιαλέης δάπεδον πλησθήσεται ὥρης·
13 οὔρεα θηροκόμοιο γενοίατο πίον' ἐρήμου,
ἀμφιβάλοιντο δὲ χάρμα μετήοροι ὑψόθι βουνοί·
14 οἰῶν εἰροπόκων βεβριθότε εἰσὶ τοκῆες,
καὶ κοῖλαι φορέοιεν ἅλις ζωαρκέα σῖτον·
εὐφορίην βασιλῆος ἀνυμνήσειαν ἅπαντες.

ΨΑΛΜΟΣ ΞΕ'

1 *Εἴ τις ἀνεγρομένων νεκύων σκέψαιτο βιώνην,*
κλῆσις πῶς Βασιλῆος ἐφημοσύνῃσιν ὀπηδεῖ,
οὐ μάλα θαυμάζω· τόδε γὰρ τέλος οἶδεν ἀοιδή.
Ἑξηκοστὸν ὁμοῦ πέλεται καὶ πέμπτον ἄεισμα.
Πᾶσα χθών, βασιλῆι Θεῷ ἀλαλάξατε μολπήν,
2 οὔνομα δ' εὐκελάδῳ κιθάρῃ φορμίζετε θεῖον,
εὐφήμοις θεοτερπὲς ἀείσατε κῦδος ἐπ' ἔργοις·
3 εἴπατε, σεῖο, Θεῷ, τελέθει μάλα θέσκελα ἔργα·
δυσμενέες ψεύσαιντο τεὴν περιώσιον ἀλκήν.
4 Μέλψατέ μοι, χθὼν πᾶσα, Θεὸν δέ τε γουνάζεσθε·
ἡδέα μελπόντων, Βασιλεῦ, τεὸν οὔνομα πάντες.
5 Δεῦτε, φίλοι, μεγάλοιο Θεοῦ κλυτὰ λεύσσετε ἔργα·
129 ἄσχετος ἐν βουλῇσιν ὑπὲρ μεροπηίδα φύτλην.
6 Κεκλόμενος πόντον τραφερὴν μετεπήξατο γαῖαν
καὶ ποταμοὺς κελάδοντας ἐθήκατο ποσσὶ κελεύθους·
κεῖσ' ἅμα γηθήσαιμεν ἐπ' ἀθανάτῳ Βασιλῆι,
7 κάρτεϊ νωλεμέως σφετέρῳ μεδέοντι καὶ ἀλκῇ.
Φῦλα βροτῶν Βασιλῆος ἐποτεύουσιν ὀπωπαί·
μὴ μέγα μοι φρονέοιεν, ὅσοις πολύπικρος ἐρωή.
8 Εὐφήμοις μελέεσσι Θεὸν κελαδήσατε, δῆμοι,
οὔασι δεχνύμενοι σφετέρην ἀριήκοον αὐδήν,

9 ὅς τ᾽ ἐμὸν ἦτορ ἔθηκεν, ὅπως ζωοῖσι μετείην,
ἴχνος ἐμῶν ἐν πᾶσι ποδῶν ἀδόνητον ἐρείδων.
10 Ἡμέας ἐφράσθης, Βασιλεῦ, πολυφράδμονι βουλῇ
εὖ διαγινώσκων, ἅ περ ἄργυρον ἐν πυρὶ χαλκεύς.
11 Ἐν δὲ λίνῳ δολόεντι καὶ οὐκ ἐθέλοντας ἐρύκοις·
ἡμέτερων καθύπερθεν ἐθήκαο κήδεα νώτων,
12 ἡμετέραις κεφαλῇσιν ἐπεστηρίξαο φῶτας.
Ὕδωρ καὶ φλογεροῖο πυρὸς δίεβημεν ἐρωήν,
εἰς δ᾽ ἀνάπαυμα νέης ἐξήγαγες ἡμέας ὥρης.
13 Δῶμα τεὸν θυέεσσιν ἱκοίμεθα καρφομένοισιν·
εὐχωλὰς προτέραις μευ ὑποσχεσίαις ἀποτίσω,
14 ἅς, καὶ τειρόμενός περ, ἔφην τὸ πρόσθε τελέσσαι·
15 θύματα μυελόεντα πυρὶ φλεχθέντα κομίσσω
130 εἰροπόκους κριούς τε μύρου τ᾽ εὐώδεα καπνόν,
ἀμφὶ δὲ [καὶ] χιμάροισι βόας κεραελκέας οἴσω.
16 Κέκλυτέ μευ, σύμπαντες, ὅσοι δειμαίνετ᾽ Ἄνακτα,
ὅσσ᾽ ἀγαθ᾽ ἡμετέρῳ τεκτήνατο μυρία θυμῷ.
17 Ἀθάνατον βοάασκον ὑπὸ γλώσσης ἀναείρων·
18 εἰ δ᾽ ἴδον ἐν πραπίδεσσιν ἐμαῖς ἀθεμίστιον ὕβριν,
νωίτερον μὴ μῦθον Ἄναξ βοόωντος ἀκούσαι.
19 Τοὔνεκεν ἡμετέρην Πανεπίσκοπος ἔκλυεν αὐδὴν
οὐδέ μευ ἱκεσίης σφετέρην ἔστρεψεν ὀπωπήν.
20 Αἰνετός, ὅς ῥ᾽ ἔλεον καὶ ἐμὴν οὐκ ἤλασεν εὐχήν.

ΨΑΛΜΟΣ ΞΣ΄

1 *Εὐκελάδου κιθάρης βασιλήιος ὕμνος ἐτύχθη*
ἑξηκοστὸν ὁμοῦ καὶ μέλος ἕκτον ἔχων.

2 Ἡμέας οἰκτείρειας, Ἄναξ, ἐλεήμονι ουλῇ,
ἄμμι δὲ σὴν ἀρίδηλον ὑπερλάμψειας ὀπωπήν,
3 ὄφρα τεὴν κατὰ γαῖαν ἐπιφρασόμεσθα κέλευθον,
ἔθνεσι δ᾽ ἀλλοδαποῖσιν ἀλεξίκακόν σεο φέγγος.
4 Σὸν κλέος ὑμνήσουσι, Μάκαρ Πανυπέρτατε, λαοί,
σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
5 Φῦλα Θεῶ κεχαροίαθ᾽, ὅταν λαοῖσι δικάζοις,
131 ἔθνεσι δ᾽ ἡγήσαιο φίλην μετὰ γαῖαν ὁδεύειν.

6 Σὸν κλέος αἰνήσουσι, Μάκαρ Πανυπέρτατε, λαοί,
σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
7 Καρπὸν ἀνεβλάστησεν ἐὸν φυσίζοος αἶα·
ἡμέτερος Θεὸς ἄμμι πόροι χαριέστατον αἶνον,
8 αἶνον Ἄναξ πόροι ἄμμι, τρέσοι δέ ἑ πείρατα γαίης.

ΨΑΛΜΟΣ ΞΖ΄

1 *Δαυίδου πινυτοῦ μελέων βεβοημένος ὕμνος*
ἑξηκοστὸν ἔχων ἑβδόματόν τε τόπον.

2 Ἄφθιτος ἀνστήτω, σκέδασιν δ᾽ ἐχθροῖσιν ἐνήσει,
δυσμενέες δ᾽ ἀπάνευθεν ἑῆς προφύγοιεν ὀπωπῆς·
3 ὣδε μέλ᾽ ἐκλείποιεν ἀμήχανος ἠύτε καπνός·
ὡς δ᾽ ὅτε τηκόμενος φλογερῷ πυρὶ κηρὸς ἀμερθῇ,
ὣς ὁσίων ἀπολοίατ᾽ ἀπὸ βλεφάροιιν ἀλεῖται.
4 Αὐτὰρ εὐφραίνοιντο δίκης ὑποφήτορες ἄνδρες
αἰεὶ θεσπεσίων· κεχαρηότες ἀντίον ὄσσων,
ἐκ θυμοῦ γλυκερῇσι γεγηθότες εὐφροσύνῃσιν.
5 Ὑμνεῖτε Βασιλῆα καὶ οὔνομα μέλψατε θεῖον·
132 τεύξαθ᾽ ὁδὸν χαρίεσσαν ὑπὲρ δύσιος βεβαῶτι.
Ἄφθιτος, ἄφθιτος οὗτος, Ἄναξ δέ οἱ οὔνομ᾽ ἐτύχθη,
καί οἱ θεσπεσίοιο πέλας κεχάροιτο προσώπου.
6 Πάντες ὀρινέσθωσαν ἑῆς διὰ τάρβος ὀπωπῆς
χηρῶν ἡγεμόνος καὶ ὀρφανικῶν γενετῆρος·
ἄχραντος δαπέδοισιν ἐπ᾽ ἀχράντοισι μέμηλεν.
7 Αὐτὸς μουνοτρόποισι χαρίζεται οἰκία ναίειν,
ἐκ δ᾽ εὐηνορίης πεπεδημένον ἐσμὸν ἔλυσεν,
ἐκ δὲ τάφων φθιμένους βιοτῆς μετὰ φέγγος ἀγινεῖ.
8 Ἃ βάλε πῶς τὸ πάροιθεν, Ἄναξ, ἡγήσαο λαῶν,
πῶς ποτε κυδῆεν δάπεδον μεθέπεσκες ἐρήμου.
9 Χθὼν μὲν ὅλη δεδόνητο, κατείβετο δ᾽ οὐρανὸς αἴθων·
ἄντα Θεοῦ Σίναον δὲ πολύλλιτον οὔδας ἀκούει,
ἄντα Θεοῦ βασιλῆος, ὃς Ἰσραῆλον ἐρείδει.
10 Ὑετὸν ἐσλὸν ἑκών, Βασιλεῦ, χθονὶ σεῖο προπέμποις·
καὶ γὰρ ἀνεστήριξας ὀιομένην ἀπολέσθαι·
11 καί μιν φῦλα τεῆς ἀγέλης περιναιετάουσι·
πτωχῷ μειλιχίαις ἐπιτάρροθος ἦλθες ἑτοῖμος.

Καρτερὰ σημαίνουσιν Ἄναξ ἔπος ἰθύνειε,
τηλυγέτου σθενέων ἡγούμενος υἱέος, ἐσσήν,
133 Υἱέος, ὃς δὴ σκῦλα δόμου μοιρήσεται ἐσθλοῦ.
Εἴ κεν μεσσάτιοι κλήρων κατακοιμηθῆτε
ἀργύρεα τρήρωνος ὅπως πτερὰ καλὰ πελείης,
ἧς χλωρὴ χρυσοῖο μετάφρενον ἀμφέβαλ' ὥρη·
ἀθανάτου πέμποντος ἑοὺς βασιλῆας ἐπ' αὐτῇ,
ἐν Σελμῶνι χιὼν σφέτερον δέμας ἀμφικαλύπτοι.
Θεῖον ὄρος πολυανθὲς ὄρος μάλα πῖον ἐτύχθη,
πῖον ὄρος πηχθέντι πανείκελον ἔπλετο τυρῷ.
Τίπτε μοι, οὔρεα, πάγχυ δοκεύετε τυρώεντα;
Τοῦτ' ὄρος, ἧχι Θεὸς καταθύμια δώματα ναίει·
κεῖσε Μάκαρ κλισίην σθεναρὴν ἑο πάντοτε πήξει.
Μυρίον ἅρμα Θεοῦ, πολέες δ' ἀμφ' αὐτὸ χορευταί·
ἔνθα, Μάκαρ, Σινάοιο μετ' ἀχράντοιο θεμέθλοις
ὑψοῦ ἀειράμενος λησσαο λῃδα πολλήν·
αὐτὰρ ὁ δωτίνας μεροπηίδος εἵλε γενέθλης·
καὶ γὰρ ὑπερβασίῃ περιναιέμεν ἠρνήσαντο.
Αἰὲν Ἄναξ ἀγαθὸς καὶ ὑπέρτατος αἰνετὸς ἔστω,
αἰνετὸς αἰὲν Ἄναξ κεκλήσεται ἦμαρ ἐπ' ἦμαρ·
134 φέγγεος ἡμετέροιο διαμπερὲς ἡγεμονεύοι.
Ἔργον ἐμῷ Βασιλῆι πέλει χατέουσιν ἀρήγειν·
μοῦνος Ἄναξ δεδάηκε καὶ ἐκ θανάτοιο σαῶσαι.
Ἔμπα γε μὴν σφετέρων δηίων θραύσειε κάρηνα,
ἀκρόκομον κορυφήν, οἷς ἐν φρεσὶ θυμὸς ἀλείτης.
Εἶπεν Ἄναξ· Βασάνηθεν ἐπιστρέψαιμι πεποιθώς,
αὖτις ὑπ' ἀτρυγέτοιο παλίσσυτος εἶμι θαλάσσης,
ὄφρα τεὴν τέγξειας ἀκήρατον αἵματι πέζαν,
ἀντιβίων σέο γλῶσσα κυνῶν σέθεν ἠδέ οἱ αὐτοῦ.
Ἀμφαδίην, Ἄχραντε, τεὰς βροτοὶ εἶδον ἀταρπούς,
ἴχνια Παμβασιλῆος ἐπ' εὐαγέεσσι θοώκοις.
Ἄσσον ἀειδόντων μετεκίαθον ἡγεμονῆες,
μελπομένων τυμπάνοισι μέσοι διὰ παρθενικάων.
Πιστὸν ἐνὶ κλισίῃσι, φίλοι, κελαδήσατ' Ἄνακτα,
ἄφθιτον ἐκ πυγέων ἀγανόφρονος Ἰσραήλου.
Κεῖσε [illegible]ίνοιο μεταχρονίη τέλεν ἥβη.

τῶν δ' ἔσαν ἡγητῆρες, ὅσοι πάρος ἦρχον Ἰούδα,
Ζαβουλῶνος ὁμοῦ πρόμαχοι καὶ Νεφθαλίμοιο.
135 Κάρτεϊ τιμήεντι τεῷ ἐπιτέλλεο, Ποιμήν·
ἄμμι, τό περ τέκτηνας, ἐυσταθὲς ἄλκαρ ἐρείδοις.
Εὐαγὲς ἐκ νηοῖο μετεσσύμενοι τεὸν ἄστυ
δῶρα πολυκλήεντι Θεῷ βασιλῆες ἀγέσθων.
Θηρσὶν ὀρεσσικόμοις δόνακος τρήχυνον ὁμοκλήν·
δημοτέρας δαμάλας μετανίσσεται ἔθνεα ταύρων,
ὄφρα κεν ἐξείργοινθ', οἷς ἀμφαδὸν αἶνος ἐτύχθη.
Φῦλα βροτῶν, Ἄχραντε, φιλοπτολέμων κεδάσειας·
λισσόμενοι σπεύσουσιν ἀπ' Αἰγύπτοιο πολήων,
χῖρας δ' ἀθανάτῳ τανύσει γένος Αἰθιοπήων.
Κοιρανίαι, Βασιλῆα λιγαίνετε πάντοθεν αἴης,
εὐκελάδῳ κιθάρῃ φορμίζετε Ποιμένα κόσμου,
μέλψατε [δ'] ἀντολίης πόλον ἐκ πόλου ἐμβεβαῶτα·
αἶνον ἀποφθέγξοιντο φίλον ζωαρκέι φωνῇ.
Κῦδος ἀπειρέσιον κελαδήσατε Παμβασιλῆι·
αἰὲν ἐπ' Ἰσραῆλον ἔχει μεγαλοπρεπὲς εὖχος
καὶ σθένος αἰθερίῃσιν ὁμοῦ νεφέλῃσιν ἀγητόν.
Ἀθάνατος θνητὸς ἑοῖς ὁσίοισι μεμηλώς·
ἀλκὴν καὶ σθένος ἐσθλὸν Ἄναξ πόροι Ἰσραήλῳ.
Πάντοτε Παμβασιλεὺς ἀριδείκετος αἰνετὸς ἔστω.

ΨΑΛΜΟΣ ΞΗ'

136 *Δαυίδου κραδίης ὕμνος ἀμειβομένης ἑξηκοστὸν ἔχων ὀγδόατόν τε μέλος.*

Ἐξ ὑδάτων με σάω, Βασιλεῦ, τά μευ ἄμφεπεν ἦτορ.
Βυσσῷ ἐν ὑλήεντι παγεὶς βιότοιο χατίζω,
νισσόμενον πόντοιο βυθὸν κατά μ' εἶλε κατάιξ.
Καρφαλέον βοόωντος ἐμὸς τρηχύνετο λαιμός,
ὤλετο φέγγος ἄνακτα Θεὸν δεδοκημένου ὄσσοις.
Οἵ με μάτην στυγέοντες ἐμῶν πλέον εἰσὶ κομάων,
οὕς τ' ἀδίκως τρομέεσκον ἀπεχθέας, ἄλκιμοί εἰσιν·
ἀφραδέως ἅρπαγμα, τὸ μὴ μάθον, αὐτὸς ἔτισα.
Οἶδας, Ἄναξ, ὅσ' ἔρεξα χαλιφροσύνῃσιν ἐμῇσιν,
οὐδὲ τεῆς ἔκρυφθεν ἀτασθαλίαι μευ ὀπωπῆς.

7 Μή ποτ', Ἄναξ, ἔλοι αἶσχος, ὅσοις Θεὸς ἔργον ὁρᾶσθαι,
μηδὲ Θεὸν ποθέων τις ἀνὴρ μωμητὸς ἀκούσῃ.
8 Εἵνεκα σοῦ Βασιλῆος ὀνείδεα τέτλαθι, θυμέ·
τλήσομαι, εἴ κεν ἔρευθος ἐμὸν ῥέθος ἀμφικαλύψοι.
9 Ἀλλοδαπὸς γενόμην καὶ ἐμῶν ἄκληρος ὁμαίμων
καὶ ξεῖνος γλυκερῆς καὶ ἐνηέος υἱάσι μητρός,
10 **137** οὕνεκα δαρδάπτων με τεοῦ πόνος εἷλε μελάθρου,
σεῖο δ' ἐπεσβολίῃσιν ἐμὴν φρένα δάκνομαι ἐχθρῶν.
11 Νηστείης καμάτοισι κατέκλασα θυμὸν ἐμεῖο,
καὶ τό με νηστεύειν ἐπ' ὀνείδεσι τεκταίνοντο·
12 πέπλον ἐμὸν χαρίεντ' ἐθέμην ἅτε πένθιμον εἶμα,
ἀλλὰ καὶ ὣς γενόμην σφετέραις γλώσσῃσι λάλημα.
13 Ἄμφ' ἐμέθεν μέλποντο καθεζόμενοι πρὸ πυλάων,
εἰς δ' ἐμὲ φορμίζεσκον ἄλις βεβαρηότες οἴνῳ.
14 Αὐτὰρ ἐγὼ κάλεόν σε διηνεκέως λιτανεύων·
καιρός, Ἄναξ, ὅτε δή μοι ἑκὼν ἀναφανδὰ παρείης.
Κλῦθι τεῆς ἐλεημοσύνης παμπληθέι ῥοίζῳ,
σεῖο δ' ἀληθείης μοι, Ἄναξ, μέγα φέγγος ὀπάζοις.
15 Ἐκ πηλοῦ με σάωσον, ὅπως διὰ τέλμα φύγοιμι·
ῥύεο δυσμενέων με, Μάκαρ, βυθίων τε ῥεέθρων,
16 μή κέ ποθ' ὑδατόεσσα καταβρώξειε κατάιξ
μηδέ με λευγαλέος βρύχων βυθὸς ἔνδοθι μάρψῃ
μηδέ μοι ἀμφιβάλῃσιν ἐὸν στόμα βόθρος ἀπείρων.
17 Κέκλυθι μειλιχίῃ φορέων οἰκτίρμονα θυμόν,
πλήθεϊ δ' οἰκτιρμῶν πανεπίσκοπον ὄμμα τιταίνοις·
18 **138** μή ποτέ μοι σέο παιδὸς ἀποστρέψειας ὀπωπήν·
αὐτίκα τειρομένοιο, Μάκαρ Πανυπέρτατ', ἀκούσαις.
19 Ὄμμασι νωίτερον πανδερκέσι θυμὸν ἐρύκοις,
εἵνεκεν ἡμετέρων δηίων, Βασιλεῦ, μὲ σαώσοις·
20 οἶσθα γὰρ αἶσχος ἐμὸν καὶ ὀνείδεα καὶ μέγ' ἔρευθος·
ἄντα σέθεν σύμπαντες ἐμῇ μεμελημένοι ἄτῃ.
21 Μῶμον ἐμὸς λώβην τε μετὰ φρεσὶν ἔλπετο θυμός,
οὐδέ μοι ἀλγεινοῖσιν ὁμήγορος ἤλυθεν ἀνήρ,
οὐδ' εὗρον, πόθεν ἄμμι πέλει παραμύθιον ἄτης.
22 Βρώματι νωιτέρῳ θυμοφθόρον ἔμβαλον ἰὸν
καί μοι διψαλέῳ θανατηφόρον ὤπασαν ὄξος.

23 Τοῖσι λίνον τεύχοιτο πολύπλοκον ἀντὶ τραπέζης,
θήρη καὶ δολόεσσα πάγη καὶ μισθὸς ἐπ' ἔργῳ.
24 Σφωιτέρην κακότεχνον ἀποσβέσσειας ὀπωπὴν
καὶ σφέων ἠνεκέως καμάτῳ κατὰ νῶτα δαμάσσοις.
25 Κἀδ δὲ κότον βαρύμηνιν ἐπὶ σφίσι πάντοτε χεύοις,
καὶ σφέας ἀμφιβάλοι θολερῆς σὶο μήνιος ὁρμή.
26 Ἔστω πουλυβότειρα μετὰ σφίσιν αὖλις ἐρήμη,
μηδέ τις ἐν μεγάροισιν ἑοῖς ναετῆρα κιχάνοι,
27 οὕνεκεν, ὃν ῥ' ἐπάταξας, ἄλις ποθέεσκον ἐκεῖνοι
139 πληγαῖς ἡμετέρῃσι καὶ ἄλγεσιν ἄλγεα θέντες.
28 Ἀμπλακίην ἐπίραψον ἐπ' ἀμπλακίῃσιν ἑῇσι,
μηδὲ δικαιοσύνῃ πίσυνοι σέο θῶκον ἱκέσθων·
29 θᾶσσον ἀποσμήχοιντο φερεζώων ἀπὸ βίβλων
μηδέ ποτ' εὐδικίης ναέταις ἐναρίθμιοι εἶεν.
30 Πτωχὸς ἐγὼ τελέθω καὶ κήδεα μυρία πέσσω,
ἀλλ' ἴσχω Βασιλῆος ὑπέρμαχον ἄλκαρ ὀπωπῆς.
31 Αἰνετὸν οὔνομα θεῖον ἀνυμνήσαιμι χορεύων
καί μιν ἀνυψώσαιμι διαμπερὲς αἰνετὰ μέλπων·
32 ἠβητὴν δ' ἀρέσειεν ὑπὲρ μόσχον Βασιλῆι,
ὃς νέον ἠβώῃ, πίσυνος κεράεσσι καὶ ὁπλαῖς.
33 Πτωχοῦ δερκομένοιο νόος πραπίδεσσι χαρείη·
ποιμένα δίζεσθε ψυχέων βιότοιο δοτῆρα,
34 οὕνεκεν ἀθάνατος Βασιλεὺς ὑπάκουσε πενιχρῶν
οὐδ' αὖτως μεθέηκε κακοῖς πεπεδημένον ἄνδρα.
35 Οὐρανοὶ ἀμφί τε γαῖα χορευόντων Βασιλῆι,
πόντος ἀπειρέσιος καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
36 οὕνεκεν ἀθάνατος Βασιλεὺς Σιῶνα σαώσοι,
ἄστεα δ' ἀνστήσειεν Ἰουδαίης ἐρατεινῆς·
140 καί μιν ναιετάοντες ὅλην κτησαίατο κλήροις,
37 καὶ δμώων σφετέρων γενεὴν σύμπασαν ἐρύξοι,
ἀμφαγαπαζομένοισι περικτιόνεσσι μελέσθω.

ΨΑΛΜΟΣ ΞΘ′

1 *Τὸν πάντα γινώσκοντα μιμνήσκων Θεὸν*
Δαυΐδος εἶπε· "σῶζε δή με, Δέσποτα."
Ὁ δ' ὕμνος ἑξηκοστὸς ἕνατος τυγχάνει.

2 Ἄφθιτε, νωιτέρην σκοπιάζεο πάντοτ' ἀρωγήν.
3 Αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι,
στρεφθείη μωμητὸς ὅ μοι κακὰ βυσσοδομεύων,
4 αὐτίχ' ἕλοι τούσδ' αἶσχος ἐμῆ κεχαρηότας ἄτῃ.
5 Χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·
πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,
ὁσσάτιοι ποθέουσιν ἀλεξίκακον σέο φέγγος.
6 Ἄλγος ἀλεξήσαις πτωχοῦ, Μάκαρ, ἠδὲ πενιχροῦ·
μή ποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

ΨΑΛΜΟΣ Ο′

1 *Παῖδες Ἰωναδάφου μεγαλήτορος, οἷς τὸ πάροιθεν*
ἐνναέται Βαβυλῶνος ἄγον καταδούλιον ἦμαρ,
ἑβδομάτης δεκάδος λιγυρὸν μέλος ἐντύναντο.

Μή με καταισχύνειας, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης·
2 **141** σῇ, Μάκαρ, εὐδικίῃ περικήδεο καί με φύλασσε,
ἐμμαπέως με σάω κλίνας ἀριήκοον οὖας·
3 νωίτερος Θεὸς ἔσσο κατὰ χρέος ἀσπιδιώτης,
ἔμπεδος οἷά τις οἶκος, ὅπῃ κακὸν ἔστιν ἀλύξαι,
αὐτὸς ἐμὸν πολύχαλκον ἔδος καὶ εὐσταθὲς ἄλκαρ.
4 Ῥύεο δὴ παλάμης με, Μάκαρ, κακοεργέος ἀνδρός,
ἐκ παλάμης ἀδίκου καὶ δυσνομίην ποθέοντος,
5 οὕνεκεν ἐλπὶς ἐμή, Πανυπέρτατε, αἰὲν ἐτύχθης,
ἐλπὶς ἀειζώουσα καὶ ἐκ νεοθηλέος ἥβης.
6 Σοὶ περιθαρσήεις ἐκ νηδύος εἰμὶ τεκούσης,
αὐτὸς ἐμοὶ σκέπος ἦσθα φίλης ἐν γαστέρι μητρός·
ἐν σοί μευ, Πανάριστε, πέλει φιλόμολπος ἀοιδή.
7 Ὠίσθην βιότοιο τέρας πολέεσσι τετύχθαι,
ἀλλά μοι ἀλκήεις ἐφάνης μετὰ τοῖσιν ἀρωγός.
8 Πλῆρες ἐμοὶ χαρίεν μελέων στόμα πάντοθεν εἴη,

ὄφρα, Μάκαρ, σέο κῦδος ἀγήραον ὑμνοπολεύσω
σεῖο πανημέριον μεγαλοπρεπὲς εὖχος ἀείδων.
9 Μή με μεθῇς, Ἄχραντε, κακῷ περὶ γήραος οὐδῷ·
εὖτε βίην ὀλέσαιμι φίλην, μὴ δή με μεθείης,
10 οὕνεκά μοι τάδ' ἔφαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες·
ψυχῆς ἡμετέρης φύλακες σκέψαντο μολόντες,
11 ἀθάνατον βάζοντες ἐὸν θεράποντα μεθεῖναι·
142 «σπεύσατε καί μιν ἕλεσθε, ἐπεὶ νύ οἱ οὔ τις ἀρωγός.»
12 Ἀλλὰ σύ, Παμβασιλεῦ, μή μεύ ποτε νόσφι τραπείης
μηδ' ἀλαοσκοπιὴν ἐμέθεν χατέοντος ἑλέσθαι.
13 Αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν βάλλουσι κακοῖσι·
μῶμος ἕλοι καὶ ἔρευθος, ὅσοι κακά μοι φρονέουσιν.
14 Αὐτὰρ ἐγὼ βασιλῆι Θεῷ περιθάρσυνος εἴην
καί οἱ αἰνετὸν ὕμνον ἔτι πλέον ἢ πρὶν ἀείσω·
15 ἡμέτερον στόμα σεῖο δικαιοσύνην ἀγορεύσει,
σεῖο πανημέριον φάος ἄφθιτον ὑμνοπολεύσω
ἐμπορίης ἀδάητος ἐὼν καὶ ἐλεύθερος ἄτης.
16 Θαρσαλέος μετὰ νηὸν ἐλεύσομαι ἀθανάτοιο·
σεῖο δικαιοσύνης, Βασιλεῦ, μεμνήσομαι οἴου.
17 Ἐξ ἥβης μ' ἐδίδαξας, ἃ περ θέμις, ἄφθιτε Ποιμήν,
τοὔνεκα θέσκελα ἔργα καὶ ἐς τόδε σεῖο βοήσω.
18 Μή μ' ἀπογηράσκοντα, Μάκαρ, πολιόν τε μεθείης,
εἰσόκεν ὀψιγόνοισι βραχίονα σεῖο προφήνω,
19 σὸν σθένος ἀγγέλλων [τε] καὶ εὐδικίην ἐρατεινήν·
ὑψίστων ἐτέλεσσας ἕως μεγαλαυχέα, Ποιμήν.
Τίς νύ τοι ἄλλος ὁμοῖος ἐμοὶ τόσα κήδεα τεύχων;
20 καί με πάλιν στρέψας βιότου πόρες ἄσπετον ἀλκήν,
πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου με καλέσσας.
21 **143** Σεῖό μοι εὐδικίης περιώσιον ἔβλυσας ἀλκὴν
καί μευ ἐπιστρέψας προτέρην ἰήσαο νοῦσον,
πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου με καλέσσας·
22 καὶ γὰρ ἀνυμνήσω σε, Μάκαρ, παναληθέι μολπῇ
μέλπων ἐν κιθάρῃ Πανακήρατον Ἰσραήλου.
23 Ἀμφὶ Σὲ μελπόμενος μέγα χείλεσι γηθήσαιμι
ψυχή θ', ἥν ῥ' ὀλοῶν, Βασιλεῦ, ἀπελύσαο μόχθων.
24 Πρὸς δ' ἔτι μευ καὶ γλῶσσα δικαιοσύνην σέο μέλψει,
εὖτε καταισχυνθῶσιν ἐμὸν διζήμενοι ἄλγος.

ΨΑΛΜΟΣ ΟΑ′

Τοῦτ' ἄρα παισὶν ἔην ἀνεπίγραφον Ἑβραίοισιν
ἡδὺ μέλος Σολομῶντι πολυκλήεντι μεμηλός.
Ἑβδομάτης δεκάδος πέλεται καὶ πρῶτον ἄεισμα.

Εὐδικίην βασιλῆι πόροις σέο, φέρτατε Ποιμήν,
παιδί τε σὴν προΐαλλε δικαιοσύνην βασιλῆος,
2 ὄφρα διακρίνωσιν ἐπ' εὐδικίῃ σέο λαόν,
πτωχοῖς δ' ἀκτεάνοισιν δίκην δικάσωσιν ἀρίστην.
3 Οὔρεσιν εἰρήνη σθεναρὴ βουνοῖς τε μελέσθω,
4 **144** πτωχῶν δημοτέρῃσιν ὑπ' εὐδικίῃσιν δικάζειν
ἀκτεάνων θ' ἅμα παισὶν ὀρινομένοισιν ἀρήγειν.
Ἐκ ῥηξηνορίης καθέλοι ψευδηγόρον ἄνδρα·
5 ἠελίῳ φαέθοντι διαμπερὲς ἶσα φαείνοι
πάντας ὑπερλάμπων κεραῆς προπάροιθε σελήνης·
6 ὑψόθεν ἠρεμέων ὡς ὑετὸς εἰς πόκον ἔλθοι,
ὡς γαῖαν νιφάδεσσιν ὅτ' οὐρανὸς ἥσυχα βάλλει.
7 Ἔσσεται ἡμέρη ἥδε δικαιοσύνης τότε μήτηρ
εἰρήνης τ' ἐρατῆς, μήνης σθένος εἰσόκε λάμπει.
8 Ἐξ ἑτέρης ἑτέρην δὲ κράτος τανύσειε θαλάσσης
ἔκ θ' ἱερῶν ποταμῶν μετὰ πείρατα· μυρία γαίης.
9 Αὐτὸν φῦλα θοῶς γουνάσσεται Αἰθιοπήων,
δυσμενέες δέ οἱ ἀμφὶ κόνιν λείξουσι δαμέντες.
10 Οἵσατε, νῆσοι, δῶρ', ἅμα δ' οἵσατε, Θαρσίδος ἀρχοί,
ἐκ δ' Ἀράβων Σαβίων τε πολύλλιτα δῶρα φερέσθω.
11 Γαίης μιν βασιλῆες ὅλης ἅμα γουνάσσαιντο,
ἔθνεά οἱ παντοῖα ποτὶ ζυγῷ αὐχένα θείη,
12 πτωχὸν ἐπεὶ παλάμης σθεναρῶν ἀπελύσατο φῶτα
καὶ πενίῃ βλαφθέντ', ᾧ μὴ πέλας ἔσκεν ἀμύντωρ.
13 Πτωχοῦ λευγαλέου περιφείσεται ἠδὲ πενιχροῦ
145 ψυχάς τ' ἀκτεάνων ὀλοῆς ἀπολύσεται ἄτης·
14 ἐκ τόκου ἔκ τ' ἀδίκοιο βίης σφέας ἁρπάξειε,
τῶν δ' ἄρα οἱ κατέναντα φανήσεται οὔνομ' ἀγητόν.
15 Ζήσεται, Ἀρραβίη δὲ γέρας χρυσοῖο κομίσσοι,
ἀμφ' αὐτοῦ βασιλῆα λιταῖς καλέσσειαν ἀπαύστοις
καὶ ἐπανημέριον ἀγαθοῖς μελψαίατο κώμοις.

16 Οὔρεσιν ἀκροτάτοισιν ἔδος κλυτὸν ἔσσεται αἴης·
πιότερον Λιβάνοιο φέροι μελιηδέα καρπόν,
ἄστεος ἀντέλλοιεν ὅλης ἅτε χόρτος ἀρούρης.
17 Αἰνετὸν οὔνομα θεῖον ἐπ' ἀλλήκτοισι γενέθλαις,
ἠελίου προπάροιθε μένει κλυτὸν οὔνομα θεῖον,
λαμπόμενον καὶ πρόσθε φερεζώοιο σελήνης.
Ἀμφ' αὐτῷ τριπόθητον ἕλοι κλέος ἔθνεα γαίης,
ὄλβιστον καλέσειαν ἀεὶ Θεὸν ἔθνεα πάντα.
18 Αἰνετὸ αἰὲν ἔφυ Θεὸς ἄφθιτος Ἰσραήλου,
ὃς καὶ μοῦνος ἀεὶ τελέει περιθαμβέα ἔργα.
19 Αἰνετὸν οὔνομα θεῖον εὐκλείῃσι μεμηλὸς
καὶ νῦν καὶ μετέπειτα καὶ ἐσσομένῃσι γενέθλαις·
γαῖαν ὅλην πλήσειε Θεοῦ κλέος· ὣδε γενέσθω.

ΨΑΛΜΟΣ ΟΒ′

1 **146** *Δαυίδου μελέων μὲν ἐπαύσατο θεσπεσίη φρὴν*
παιδὸς Ἰεσσαίου ἐξ ὀλιγοδρανίης.
Ἄσαφος δ' ἀνόρουσε καὶ ἴαχε πνεύματι θείῳ
ἑβδομάτης δεκάδος δεύτερον ὕμνον ἰείς.

Πῶς τόσον ἰθυνόοις ἀγαθὸς Θεὸς Ἰσραήλου;
2 Καί κεν ἐμοὶ κλονέοντο πόδες παρὰ βαιὸν ἀνάγκῃ
καί κέ μευ ἔνθα καὶ ἔα κατέρρεον ἴχνια πέζης,
3 οὕνεκα δὴ κατὰ θυμὸν ἐμὸν φθονέεσκον ἀλείταις
εἰρήνην ἐπιδερκόμενος κακότητος ἐρίθων·
4 τοῖσιν ἄφυκτος ἀεὶ καὶ ἀνόστιμος ἔπλετο πότμος
καὶ σθεναραὶ μάστιγες ἐπὶ πληγῇσι βαρείαις·
5 ἀνδρομέων καμάτων ἀδαήμονες αἰὲν ἔασιν·
οὐδὲ γὰρ ἀνθρώποισι κατὰ χρέος ἶσα δαμεῖεν.
6 Ἔνθεν ὑπερβασίῃ κραδίης καταβεβρίθασι,
καί σφεας δυσνομίη ἀθεμίστιος ἀμφιπολεύει,
7 οἷά τε πιαλέη τις ἐὴ προελεύσεται ὕβρις.
Ἔστιχον ἀμφαφόωντες ἑοῦ μελεδήματα θυμοῦ,
8 στήθεσιν ὁρμαίνοντες ἀθέσμια μυθίζοντο,
οὐλομέναις ὕψιστον ἐπεσβολίῃσιν ἔβαλλον·
9 **147** λάβρον ἐὸν στόμα θέντο καὶ οὐρανοῦ ἄχρι πυλάων
γλῶσσαν ἀερτάζοντες ὅλης ὑπὲρ ἄντυγα γαίης.

Τοὔνεκ' ἐπιστρέψειεν ἐμὸς πάλιν ἐνθάδε λαός,
ἤματα δὲ πλήθοντα μετὰ σφίσι πάντα φανείη.
Εἶπαν· πῶς ἄρα ταῦτα Θεὸς πραπίδεσσι νοήσει;
εἰ δ' ἐτεὸν Βασιλεὺς πανυπέρτατός ἐστι νοήμων,
πῶς οἶδ' ἀμπλακίης ὑποφήτορες εὐφραίνονται
ἀσφαλέος πλούτοιο διηνεκέως κρατέοντες;
Μὴ τάχα μαψιδίως ὅσιον νόον εἶπα φυλάξαι
νιψάμενος καθαρὰς πανακηράτῳ ὕδατι χεῖρας,
ἠμάτιος μάστιγι δέμας δεδμημένος αὔτως,
ἠῶθεν κρατεροῖς βεβολημένος ἦτορ ἐλέγχοις.
Ὠισάμην· πόθεν ὧδε περιφραδέως ἀγορεύσω
παίδων σῶν γενεῇ, τῇ ὁμῶς κατατήκομαι ἔργοις;
αὐτὰρ ἐγὼ πινυτῇσι περιφρασάμην πραπίδεσσιν,
ἐκ δ' ἐφάνη τόδε μόχθος ἐν ὀφθαλμοῖσιν ἐμοῖσιν,
εἰσόκεν εἰσέλθοιμι Θεοῦ πανακήρατον οἶκον
καὶ σφετέρων θαλάμων πύματον τέλος ἐξερεείνω.
Τοῖσι πόνον δολίων ἀντάξιον ὤπασας ἔργων
ὑψοῦ ἀειρομένους πελάσας χθονίοισι θεμέθλοις.
Ἐξαπίνης πόθεν ὧδε δάμεν μάλα χηρωθέντες;
ἀμπλακίαις σφετέραις ὀλιγοδρανέοντες ὄλοντο.
148 Ὡς δ' ὅτ' ἀνεγρομένων λεχέων ἀλαπαδνὸν ὄνειρον,
οὕτω σφωίτερον μετὰ σὴν πόλιν εἶδος ἀμέρδοις,
οὕνεκά μευ βαρύμηνις ἐνὶ φρεσὶ καίετο θυμός,
ἡμέτεροι δ' ἤμειφθεν ἀμηχανίης ὑπὸ νεφροί·
αὐτὰρ ἐγὼ μάστιγι δαμεὶς οὐκ ἤδεα θυμῷ,
κτῆνος ὅπως γενόμην παρὰ σοί, πανυπέρτατε Ποιμήν,
σεῖο διηνεκέως ἀγαθοῖς μεμελημένος ὄσσοις·
δεξιτερῆς κρατέεσκες ἐμῆς, Πανακήρατε, χειρός,
σαῖς ὑποθημοσύναις ἐμέθεν, Μάκαρ, ἡγεμόνευσας
καὶ σὺν ἐυκλείῃ με κομίσσαο κυδιανείρῃ.
Τίς νύ μοι οὐρανίοισι πέλει μετὰ δώμασιν αἶσα;
ἢ τί σέθεν κατὰ γαῖαν ἐγὼ πλέον ἤθελον ἴσχειν;
τήκετό μοι κραδίη καὶ ἐμὸν δέμας, ἄφθιτε Ποιμήν,
νωλεμέως δέ μοι αἶσα τελευτήσαντα λέλασται.
Σεῦ ἀπονοσφισθέντες ἄδην ἀπολοίατο πάντες·
μαχλοσύνης ἀλέγοντας ἀδευκέι δῶκας ὀλέθρῳ.

Αὐτὰρ ἐμοὶ Βασιλῆι πελασσέμεν ἐσθλὸν ἐτύχθη
ἀθανάτῳ τ' ἄλληκτον ἐμὴν Θεῷ ἐλπίδα θέσθαι,
ὄφρα πύλαις Σιῶνος, Ἄναξ, τεὸν αἶνον ἀείσω.

ΨΑΛΜΟΣ ΟΓ'

149 *Ἀσάφου πινυτῆς θεοτερπέος εἴκελος ὕμνος ἑβδομάτης δεκάδος ἀμφὶ τρίτος τελέθει.*

Εἰς τί διηνεκέως ἡμέας ἐξώσαο, Ποιμήν,
σοῖς δ' ἐπεθωρήχθη οἰῶν περὶ πώεσι μῆνις;
Μνῆσαι σῆς κλισίης, ἧς προκτεατίσσαο μοῦνος·
αὐτὸς σκῆπτρον ἔρυσο τεῆς βασιληίδος αἴσης,
κλεινὸν ὄρος Σιῶνος, ὅθι κλυτὰ δώματα ναίεις.
Χεῖρας ὑπερβασίῃσι τεὰς σφετέραις ἐπαείροις,
ὅσσα περ εὐαγέεσσι κακῶς ἐπεμήσατ' ἀλείτης
δυσμενέες τ' εὔξαντο τεῆς κατὰ μέσσον ἑορτῆς.
Οὐκ ἐδάησαν ἑὰ σημήια σήματα θέντες,
οἷά περ εἰσίθμης στεινῆς βεβαῶτες ἔνερθεν·
ὡς δρυμὰ τῇσδε θύρῃσιν ἐπέχραον ἀξίνῃσι
ῥηγνῦντες πελέκει καὶ τέκτονος ἔντεϊ φωτός.
Πρὸς δὲ σέθεν πρήσαντες ὅλον θεοτερπέα νηὸν
ἐν χθονὶ θέντο βέβηλον ἀκήρατον οὔνομα σεῖο.
Ἔννεπον ὃν κατὰ θυμὸν ἀγειράμενοι τάδε πηοί·
δεῦρ' εἴτε παύσοντες μάκαρος κατὰ γαῖαν ἑορτάς·
οὐδὲ γὰρ ἡμείων σημήιον ἐφρασάμεσθα,
150 οὐκέτ' ἄναξ Θεὸς ἄμμιν ἐπίσκοπος οὐδ' ὑποφήτης.
εἰπέ, Μάκαρ· τέο μέχρις ἀνάρσιος ὕβριν ὀφέλλει,
νωλεμέως δ' ἐρέθει τεὸν οὔνομα δήιος ἀνήρ;
Τίπτε μάλ' ὧδ' ἔστρεψας ἀλεξίκακόν σεο χεῖρα
καί σεο δεξιτερὴν μέσσῳ περικάθεο κόλπῳ;
' Ανδρομέου καὶ πρόσθε βίου Θεὸς αἰὲν ἀνάσσει,
ἄμμι δὲ φέγγος ἐὸν τεκτήνατο μεσσόθι γαίης.
Ἔμπεδός ἐστι τεῷ περὶ κάρτεϊ πόντος ἀπείρων·
ὤλεσας ἰοβόλων κεφαλὰς ῥοθίοισι δρακόντων,
ἔθλασας οὐλομένοιο κάρη κρυεροῦ τε δράκοντος,
καί μιν ἑλὼν λαοῖς θαλίην πόρες Αἰθιοπήων.

15 Ῥήξαο χειμερίους ποταμοὺς πηγάς τ' ἀνέτειλας
καὶ ποταμῶν κελάδοντα ῥόον τέρσηνας Ἐθάμου.
16 Ἦμαρ ὁμοῦ σὺν νυκτὶ τεῆς κτέρας εἰσὶν ἀνωγῆς,
ἠελίῳ δ' ἀκάμαντι σεληναίην ἅμ' ἔτευξας.
17 Γαίης πείρατα πάντα τεὴ κάμεν ἀκάματος χείρ,
εἴαρι δ' ἀμφ' ἱερῷ θέρεος καματώδεος ὥρην·
18 τῶνδε παράμνησαι, Βασιλεῦ, ὧν ἔκτισας ἔργων,
δῆτος εἰ νείκεσσε πάρος βασιλήιον ἀλκὴν
καὶ λαὸς κακόμητις ἄδην ὀρόθυνεν Ἄνακτα.
19 Μή μοι θηρσὶ Θεῷ μεμελημένον ἦτορ ἐάσῃς
151 μηδὲ διηνεκέως ψυχέων λελάθοιο πενιχρῶν.
20 Συνθεσίην θεράποντος, Ἄναξ, σκοπιάζεο σεῖο,
ὡς χθονὸς ἔπλησθεν σκοτοειδέες ἀμπλακιάων.
21 Οὐτιδανὸν μὴ πάμπαν ἐρευθιόωντ' ἀποπέμψῃς·
ἀκτέανος καὶ πτωχός, Ἄναξ, τεὸν οὔνομα μέλψοι.
22 Ἔγρεο, νωιτέρην δὲ δίκην, Ἄχραντε, δικάζοις·
μνώεο, πῶς νείκεσσε πανημέριος Θεὸν ἄφρων.
23 Μή ποτε λισσομένων γοερῆς ἐπιλήσεαι αὐδῆς·
πρὸς σέ, Μάκαρ, δηίων ὑπερήφανος ὕβρις ἱκέσθω.

ΨΑΛΜΟΣ ΟΔ'

1 *Μηδέ ποτε φθείρῃς ἀγαθὰς μελεδῶνας ἀοιδῆς,*
φαίδιμος Ἄσαφος κέκλετο μελπόμενος,
ἑπτὰ σοφαῖς δεκάσιν περὶ τέτρατον ὕμνον ἀείδων.

2 Ποιμένοι τιμήεντι θεουδέα λέξομεν ὕμνον,
μέλψομεν εὐχόμεθα κλυτὸν οὔνομα Παμβασιλῆος.
Μυρία θαύματα σεῖο περιφραδέως ἀγορεύσω·
3 εὖτε φανῇ σέο καιρός, ἐγώ, Μάκαρ, ὀρθά δικάσσω.
4 Πᾶσιν ὁμοῦ ναέτῃσιν ἑοῖς κατατήκεται αἶα,
κίονας ἀκαμάτους σφετέρας ἐγὼ ἐστήριξα.
5 **152** Ἐξεφάμην ἀνόμοισιν ἀθεσμοσύνης ἀπολήγειν,
αὐτὰρ ἀτασθάλλουσι κέρας μὴ πάμπαν ἀείρειν
6 μηδὲ κέρας εἰς ὕψος ἀερτάζειν παρὰ μοῖραν
μηδὲ κατ' ἀθανάτου ἀθεμίστια λαβρεύεσθαι.
7 Οὔτ' ἐξ ἀντολίης ἐρικυδέος οὔτ' ἀπὸ δυσμῶν
οὔτ' ἄρα δενδροκόμων ὀρέων ἄπο πολλὸν ἐρήμου,

8 ὡς αἰεὶ Θεός ἐστι δικασπόλος, ἀγνώσσουσιν·
ἄλλον λυγρὸν ἐθηχ', ἕτερον δ' εἰς ὕψος ἀείρει.
9 Ἀκρήτου παλάμῃ Μάκαρος δέπας εὐκρατὲς οἴνου
ἐξ ἑτέρης ἑτέρην δὲ παρακλιδὸν ἠώρηται·
ἔμπα γε μὴν ἀκένωτος ὑποστάθμη ἔο μίμνει,
10 πινόντων ἅμα πάντες ἀτασθαλίης θεράποντες.
Αὐτὰρ ἐγὼ μετὰ τοῖσι διηνεκέως κεχαροίμην·
ἡδέα φορμίξω Θεὸν ἄφθιτον Ἰακώβου,
11 αὐτὰρ ὑπερφιάλων κέραα ξύμπαντα κεάσσω,
εὐσεβέων ἵνα μοῦνον ἀειρόμενον κέρας εἴη.

ΨΑΛΜΟΣ ΟΕ'

1 *Κοίρανον Ἀσσυρίων γελόων Ἄσαφος ἐχέφρων*
ἴαχεν ἑβδομάτης δεκάδος καὶ πέμπτον ἄεισμα.

2 Μοῦνος Ἰουδαίῃ Βασιλεὺς ἀρίδηλος ἐτύχθη,
οὔνομά οἱ μεγαλαυχὲς ἐν ἔθνεσιν Ἰσραήλου.
3 **153** Τοῖο δ' ἐν εἰρήνῃ κρατερὸς τεκταίνετο χῶρος,
ἐν δ' ἐρατῇ Σιῶνι φίλος καὶ ἀκήρατος οἶκος·
4 κεῖσε βίην τόξων μεγαλοσθενέων ξυνέαξεν,
ἀσπίδα καὶ ξίφος ὀξὺ καὶ ἀστυφέλικτον αὐτήν.
5 Φαίνεις ἀθανάτων ὀρέων ἄπο φέγγος ἀγητόν·
6 στήθεσι πανσυδίῃ ἀεσίφρονες ὠρίνθησαν·
ὕπνον δ' ὑπνώοντες ἀμήχανον οὐδὲν ἐφεῦρον
ἀφνειοὶ παλάμῃσιν ἑαῖς περιθαρσέες ἄνδρες.
7 Σμερδνὸν Ἰακώβοιο κοτεσσαμένου βασιλῆος
ἱππῆας μάλα πάντας ἔλεν κάτα νήγρετος ὕπνος.
8 Ἐσσί, Μάκαρ, βλοσυρός· τίς τοι μένος ἀντιφερίζοι;
Ἐκ παλαχῆς σεο μῆνις ἔχει περιώσιον ἀλκήν.
9 Οὔασιν οὐρανόθεν θνητοῖς θέμιν ἐγγυάλιξας,
εὔκηλος δ' ἄρα γαῖα περιτρομέουσ' ἀπεδείχθη,
10 ἀθανάτου Βασιλῆος ἀνεγρομένοιο δικάζειν,
ῥύσασθαι ναετῆρας ὅλης χθονὸς ἠπιοθύμους.
11 Ἀνδρόμεόν σε νόημα περὶ στέρνοις ἀναμέλψει
καί σοι λείψανον ἠδὺ νοήματος οἴσει ἑορτήν.
12 Ἀθάνατον λίσσεσθε καί οἱ δότε μείλιχον εὐχήν·
154 ὅσσοι δ' ἀμφιέπουσι Θεόν, κλυτὰ δῶρα φερόντων

καρτερῷ, ᾧ τε μόρος μέλεται σθένειν ἡγεμονήων,
εὐρυβίῃ μετὰ πᾶσιν ἀριζήλοις βασιλεῦσιν.

ΨΑΛΜΟΣ ΟΣ΄

Ἄσαφος μενέχαρμος ἄναξ ὑπὲρ Ἰδιθούμου
ἑβδόμῃ ἀμφ' ἱερῇ δεκάδι μέλος ἴαχεν ἕκτον.

Ἡμετέρην Βασιλῆι βοὴν ἀνέπεμψα χατίζων,
αὐτὰρ ὁ νωιτέρην δεδαὼς ἐπεδέρκετο φωνήν.
Ἀμφαφόων λιτόμην Θεὸν ἄφθιτον ἅματι μόχθου
χερσὶν ἐμαῖς, διὰ νυκτὸς ἰὼν πέλας, οὐδ' ἀπατήθην.
Ἠρνεόμην παπίδεσσι παρηγορέοντος ἀκοῦσαι·
μνησάμενος Βασιλῆος ἔχον πολυγηθέα τέρψιν,
ἐξαπίνης δ' ἀνέμελψα, νόῳ δ' ὀλιγοδρανέεσκον.
Ὄσσε φίλω φυλακῇσιν ὑποφθαμένω μεμέληντο·
σιγαλέον νύ μοι ἦτορ ὀρινομένῳ περ ἀνέτλη.
Ἐφρασάμην βιότοιο παλαιότατον φρεσὶν ἦμαρ
καὶ μνησθεὶς ἐτέων προτέρας ἀνέμελψα γενέθλας,
παννύχιος κραδίῃ μελεδήματα πολλὰ λιγαίνων,
καί μευ ἀνιχνεύεσκε νόος διζήμενος αἰεί.
155 Ἦ ῥά που ἀνδρομέης γενεῆς ἐπιλήσεται ἐσσήν;
ἦ ῥ' οὔχ, ὧν ἐφύτευσεν, ἔτι μεμνήσεται αὐτός;
ἦ σφετέρην παύσειε διηνεκέως ἐλεητύν;
μὴ Θεὸς οἰκτίρμων μητίσατο πάγχυ λαθέσθαι;
μὴ μέγα μηνίσας ἐλεημοσύνην ἀπερύξει;
νῦν μόγις ἀρξάμενος νοέειν φρεσὶν αἴσιμ' ἀνέγνων·
ἦδ' ἀλλοφροσύνη παλάμης πέλει ὑψίστοιο.
Ἔργων ἀθανάτοιο παρεμνήσθην Βασιλῆος,
θαυμασίων ἀρχῆθεν ἐμεῦ μεμνήσομ' Ἄνακτος,
ἔργοις θεσπεσίοισι διηνεκέως μελετήσω,
ἄθλα νόῳ μέλψαιμι θεοδμήτων ἀρετάων.
Ἄφθιτε, σεῖο κέλευθος ἐν ἀχράντῳ πέλει αἰεί·
τίς θεὸς ἡμετέρῳ πανομοιὸς ἐστιν Ἄνακτι;
Μοῦνος, Ἄναξ, Θεός ἐσσι περικλυτὰ θαύματα ῥέζων.
Πᾶσιν ὁμῶς λαοῖσι τεὴν ἀνέφηνας ἐρωήν.
Σεῖο μεγακλήεντι βραχίονι ῥύσαο λαόν,
παῖδας Ἰακώβου καὶ Ἰωσήφου μεγαθύμου.

156 Ὕδατα θηήσαντο τεὸν πανακήρατον εἶδος,
ὕδατα θηήσαντο καὶ ἐρρίγησαν ἰδόντα,
πυθμένες αὐλιαχοι βυθίων κλονέοντο ῥεέθρων·
σμερδαλέος κτύπος ὦρτο δι' αἰθερίων νεφελάων·
καὶ γὰρ σεῖο βέλεμνα διέσσυτο ἔνθα καὶ ἔνθα,
ἐν κύκλῳ τροχαλῷ βροντῆς πολυηχέος ὁρμή,
ἀθανάτου στεροπῇσιν ὅλη περιλάμπεται αἶα,
ῥιζόθεν ἀνθοκόμος περισείετο κινυμένη χθών.
Ἐν πόντῳ βρεμέθοντι τεαί, Μάκαρ, εἰσὶ κέλευθοι,
ὕδασιν ἐν πολέεσσι τεαὶ τελέθουσιν ἀταρποί,
οὐδ' ἴχνος Βασιλῆος ἀριφραδὲς ἀνδράσιν ἔσται.
Λαῶν ἡγεμόνευσας, ὅπως καλὰ μῆλα νομεύων,
χειρὶ σοφῇ Μωσῆος Ἀαρῶνός θ' ἱεροῖο.

ΨΑΛΜΟΣ ΟΖ΄

Ἀσάφου πινυτῆς ἕβδομον ἀμφὶ μέλος
ἑβδομάτης δεκάδος κῶμος ἀριστοπόνος.

Ὄμμασι, λαὸς ἐμός, θεοτερπέα δέρκεο θεσμόν,
157 οὔατα νωιτέρου στόματος προσερείσατε μύθῳ.
Ἀρχόμενος πυκινοῖς αἰνίγμασι χείλε' ἀνοίξω,
ἐκ παλαχῆς προτερηγενέων ἀναμέλψομαι οἷμας·
ἔγνωμεν παπίδεσσι, τά περ προσεδέγμεθ' ἀκουῇ,
ἄμμι δ' ὁμῶς τὸ πρόσθεν ἀφηγήσαντο τοκῆες·
ἔργα παλαιγενέων σφετέρους οὐ κρύπτετο παῖδας
ὕμνους ἀθανάτοιο περιφραδέως βοόωντας
καὶ σθένος, ὅσσον ἔρεξεν ὁμοῦ περιθαμβέσιν ἔργον
μαρτυρίην ἔστησεν ἑῷ γέρας Ἰακώβῳ
καὶ νόμον ἰφθίμῳ κλεινὸν πόρεν Ἰσραήλῳ,
νωιτέροις ὃν πρόσθεν Ἄναξ ἔστησε τοκεῦσιν,
ὄφρα κε σημήνειαν ἐναίσιμα παισὶ γονῆες,
ὡς ἑτέρη τάδ' ἅπαντα μάθοι μετέπειτα γενέθλη,
υἱέες, οὕς κε τέκοιεν ἐν ὀψιγόνοισι γενέθλαις·
οὗτοι δ' ἀγγελέουσιν ἀεξόμενοι τάδε παισίν,
ὄφρα κεν ἐλπίδα θεῖεν ἐπ' ἀθανάτῳ Βασιλῆι
μηδ' ἔργων Βασιλῆος ἑοῦ λελάθοιντο Θεοῖο·
ἀλλὰ καὶ ἐννεσίας Μάκαρος φρεσὶν ἰχνεύσωσι

μηδὲ φίλοις τοκέεσσι γενοίατο πάμπαν ὁμοῖοι,
158 ἀλλ', ὦ ῥιγεδανὴ μερόπων σκολιή τε γενέθλη,
ὦ γενεή, κακοεργὸς ἀεὶ φρεσὶ θυμὸς ἐτύχθη
οὐδὲ νόον σφετέροιο Θεοῦ μέτα πιστὸν ἐφεῦρε.
Τοξοσύνης ταναῆς ἑκατηβόλοι Ἐφρέμου υἷες
δηιοτῆτα φέβοντο κακῶς μετὰ νῶτα βαλόντες·
συνθεσίην ἐρίτιμον ἀπηρνήσαντο Θεοῖο
οὐδ' ἔθελον θεσμοῖσιν ὑποδρήσσειν Βασιλῆος,
ἀλλ' εὐεργεσίης ἀγαθῆς ἐλάθοντο Θεοῖο
οὐδ' ἐπὶ θαυμασίοισι τόσοις κατὰ μῆτιν ἔκαμφθεν,
ἃ πρὶν Ἄναξ ἐτέλεσσεν ἑῶν κατέναντα τοκήων
Αἰγύπτου κατὰ γαῖαν ὑπὲρ Τάνιν ἀνθεμόεσσαν.
Ὥς ποτε διχθὰ θάλασσαν ἀναρρύξας ἄγε λαούς,
ἀσκὸν ὅπως στήσας πυκινὸν ῥόον ἔνθα καὶ ἔνθα·
καί σφισιν ἡμάτιος νεφέλην θέτο σῆμα κελευθοῦ,
νυκτὸς δ' ἠγεμόνευε κατ' οὔρεα φέγγεϊ πυρσοῦ.
Θηροκόμον διέρηξεν ἀναιδέα πέτραν ἐρήμῳ·
φαίης τόσσον ἰδὼν δοκέειν πόμα βυσσόθεν ἕρπειν,
ὁππόσον ἐκ πέτρης ἱερῆς ἐξήγαγεν ὕδωρ
καὶ πολὺν ἀενάοισι ῥόον ποταμοῖσιν ὁμοῖον.
159 Ἀμπλακίας δὲ τιθέντες ἐπ' ἀμπλακίῃσιν ἔραπτον,
μῆνιν ἀνηέξησαν ἐπουρανίου Βασιλῆος
ῥιγεδαναῖς κραδίαις πειρώμενοι ἀθανάτοιο,
βρῶσιν ἀπαιτίζοντες ἑῇ καταθύμιον ἄτῃ.
Ἀθάνατον δ' ἐν πᾶσι κακηγορέοντες ἔειπον·
μή τιν' ἑτοιμάσσαι δύναται θαλίην ἐν ἐρήμῳ;
Μὴ γάρ, ἐπεὶ τραφερῆς ἐξήγαγεν ὕδατα πέτρης
ῥοίζῳ χειμερίοις ἴκελα βρεμέθοντα ῥεέθροις;
ἄρτον δευομένοισι πόθεν τόσσοισιν ὀπάσσοι
ἠὲ πόθεν λαοῖσιν ἐπεντύνετε τράπεζαν;
Ταῦτα νόον θώρηξεν ἐρισθενέος Βασιλῆος,
ὧν χάριν Ἰάκωβον ἀθέσφατος ἔφλεγε πυρσὸς
καὶ κότος ἀπροτίοπτος ἐπέχραεν Ἰσραήλῳ,
οὕνεκεν οὐ θάρσησαν ἐπουρανίῳ Βασιλῆι,
θεσπεσίῳ δ' οὐ πάμπαν ἔχον περὶ φέγγεϊ βουλήν.
Ὑψόθεν αἰθερίαις νεφέλαις ἐνετείλατο Ποιμήν,
οὐρανίων δὲ θύρετρα θοῶς ἐπέτασσε πυλάων·

ὕε δ' ἄρα γνωστὸν γλυκερὸν ὄφισι μάννα πάσασθαι,
160 ἄρτον ἐπουράνιον φαγέειν προΐαλλε βροτοῖσιν·
ἀγγελικὴν θαλίην μεροπηίδι δῶκε γενέθλῃ,
εἰνοδίην σφίσι δαῖτα Θεὸς δωρήσατο πολλήν.
Πνεῦμα μὲν ἀργεστᾶο Νότου ξυνέεργεν ἄῆναι,
ἦκε δὲ δυσκελάδου Λίβυος τρηχεῖαν αὐτμήν·
αὐτομάτους σφίσι σάρκας ὅπως κόνιν ἐγγυάλιξε,
ψάμμον δ' ὡς πετεηνὰ πόρε πτερόεντα θαλάσσης.
Καὶ τὰ μὲν ἐξαπίνης μεθ' ὁμήγυριν ἔμπεσεν ἀνδρῶν
κυκλόθεν ἰθύνοντα πολυσπερέων κλισιάων·
δαινύμενοι δ' ἅμα πάντες ἐνεπλήσθησαν ἐδωδῆς,
καὶ σφίσιν ἐλδομένοις καταθύμιον ὤπασε δαῖτα
οὐδὲ πόθου νόσφισσε λιλαιομένους σφετέροιο.
Οὔ πω δαὶς τετέλεστο, κόρου δ' ἔτι δεύετο θυμός,
καί σφεας ἀθανάτοιο μετέστιχε μῆνις ἑτοίμη
πότμον ἀνώιστον πολέων τεύχουσα καρήνοις
καρτίστους τ' ἐπέδησεν ἀγακλέος Ἰσραήλου.
Ἀλλὰ γὰρ οὐδ' ἐπὶ τοῖσι κακορραφίης ἐλάθοντο
οὐδ ἐπὶ θαυμασίοισι τόσοις θάρσησαν Ἄνακτι,
ἀλλ' ὀλιγοδρανίῃ βιοτὴν κενεαυχέ' ἰδόντες
ῥίμφα διωκομένων ἐτέων ἐξέφθιθεν αὔτως.
Ἆ δειλοί, τότ' Ἄνακτα καταφθίμενοι ποθέεσκον,
161 ἐξ ἠοῦς μιν ἀρωγὸν ἀνηύτεσκον ἰόντες,
πληθὺν φραζόμενοι προτέρων εὐεργεσιάων,
ὧν σφισιν ἐγγυάλιξεν ἐλεύθερον ἦμαρ ὀπάζων.
Οἱ δέ μιν ἀμφαγάπαζον ἑοῖς περὶ χείλεσιν ἄκροις
γλώσσης ψευδαλέης μειλίγματα κωτίλλοντες·
οὐ γὰρ ἔχον κραδίας ἰθύφρονας οὐδὲ νόημα
οὐδ' ἐπὶ συνθεσίῃ σφετέρῃ συμφράδμονα πίστιν.
Ὦ βασιλεῦ, σὺ δὲ πάντοτ' ἔχεις οἰκτίρμονα βουλὴν
καὶ σφέων ἀμπλακίῃσιν ἱλάσσεαι οὐδ' ἐναρίξοις,
ἀλλὰ παλίννοστον δαμάσας μεγαλήτορα θυμὸν
ἐσσυμένως σέο μῆνιν ἀναπτομένην κατερύκοις·
οἶσθα γὰρ ἀδρανέων μερόπων γένος, οἷον ἐτύχθη,
οἷς βίος οὐ λιστός, ἐπὴν Ἀίδης μιν ἐρύξῃ·

40 Ἅ πόσα μιν θώρηξαν ἐποτρύνοντες ἐρήμῳ
καί οἱ θυμὸν ὄριναν ἐν ὕδασι πολλὸν ἀνύδροις
41 πὰρ θέμιν ὑψίστοιο Θεοῦ πειρώμενοι ἀλκῆς
καὶ μύθοις ἐρέθοντες ἀκήρατον Ἰσραήλου;
42 **162** πῶς μόχθων παλάμης ζωαρκέος ἐξελάθοντο,
Αἰγυπτίων ὡς πάντας ἐρύσατο δουλοσυνάων,
43 ὡς Αἰγύπτῳ ἔθηκεν ἀθέσφατα σήματα τεύξας,
αὐτὰρ ὑπὲρ Τάνιος πεδίον θηητὰ τελέσσας·
44 αἷμα μὲν ἦεν ὕδωρ, προτέρην δ' ἠρνήσατο μορφήν,
φρείατα δ' ἤλλαχθεν, γλυκερὴν δ' ἐψεύσατο γεῦσιν.
45 Πρῶτον μὲν κυνάμυια μετέστιχε παμφάγος αἶαν,
βάτραχος ἔνθεν ἔπειτα μολὼν ἀλάπαξεν ἀρούρας·
46 αὐτὰρ ἐρυσίβῃ πολυανθέα καρπὸν ἔδωκεν,
ὀξέα δ' ἀμώωσα πόνους χθονὸς ἀκρὶς ἔπερσε·
47 ψυχρῇ δ' ἀμπελόεσσα κατέφθιτο γαῖα χαλάζῃ
καὶ στιβαρὴ συκάμινος ἀμειδέι τέρσετο πάχνῃ·
48 ῥιπὴ τετραπόδων ἀγέλας ἐνάριζε χαλάζης
καὶ κτῆσιν σφετέρην κατεβόσκετο καιομένη φλόξ.
49 Ἀλλ' οὐδ' ὡς ἀπέληγεν ἀεί σφισι μῆνιν ἀέξων,
μῆνιν καὶ κότον αἶνον ὁμῶς βαρυπενθέι μόχθῳ
πνεύμασιν αἰθερίοισιν ἀμειλίκτοισι κελεύων·
50 θυμῷ ὀρινομένῳ πολυπήμονα τεῦξεν ἀταρπόν,
οὐδὲ καταφθιμένων ψυχέων περιφείδετο πάμπαν,
ἀλλὰ καὶ ἀγρονόμους ἀγέλας ξυνέδησεν ὀλέθρῳ.
51 **163** Ἅ χθὼν πρωτοτόκων ὁπόσων ὠδύρατο πότμον,
ὡς ἴδε θαπτομένων τεκέων πρωτάγριον ἦβην.
52 Αὐτὰρ Ἄναξ ἓο λαόν· ὅπως καλὰ ῥύσατο μῆλα,
ἀγλαὸν οἷά τε πῶυ κατ' οὔρεα μακρὰ νομεύων,
53 ἐλπίδι πιστεύοντα· καὶ ἡγεμονῆος ἐρωῇ·
δυσμενέας δ' ἐκάλυψεν ἑοὺς μέγα λαῖτμα θαλάσσης.
54 Οἱ μὲν ἄρ' ἐννεσίαις ὄρος ἔστιχον ἀθανάτοιο,
κλεινὸν ὄρος, τὸ πρόσθε φίλῃ κτεατίσσατο χειρί.
55 Αὐτὰρ Ἄναξ ναέτας προτέρους ἐξήλασε γαίης,
αὐτοὺς δ' εἰσαγαγὼν κλήρῳ διεδάσσατ' ἀρούρας,
ῥιζώσας κατὰ φῦλα μετὰ κλισίῃσιν ἑῇσιν.

56 Οἱ δ' ἔτι πειρήσαντο βίην ἐρέθοντες Ἄνακτος,
θυμὸν ἀπαινύμενοι σφετέρων ἀπὸ μαρτυριάων,
57 ῥέζοντες προτέρων ἀθεμίστια ἔργα τοκήων·
ἀπτόλεμον δ' ἄτε τόξον ἔχον στρεψαύχενα λώβην
58 ἀθάνατον κορυφῇσιν ὀρεσσιβάτοις ἐρέθοντες,
καί οἱ ἐποτρύνεσκον ἑοῖς φρένας εἰδώλοισιν.
59 Ἔνθ' αἴων ἀθέριξε Θεὸς κακοεργέα βουλήν,
αὐτίκα δ' Ἰσραῆλον ὀνόσσατο τὸν πρὶν ἀγητόν·
60 Σιλώμης δ' ἐκέδασσε φίλον καὶ ὁμήθεα νηόν·
οὐ γὰρ ὀιζυροῖσιν ὁμέστιος ἔσκε βροτοῖσιν.
61 **164** Ἐκ δὲ βίης ἐλάθοντο, πόρεν δέ ἑ λῃστῆρσι
καὶ σφέτερον δηίοισιν ἕλωρ δωρήσατο κάλλος·
62 οὐκέτ' ἄορ λώφησεν ἀεί σφεας ἐξεναρίζον,
οὓς δὲ λίην ἀγάπαζε, φίλης ἀπέριψεν ἀρωγῆς.
63 Οἰκτρὰ μὲν ἠθέους κατεβόσκετο θεσπέσιον πῦρ,
οὐδέ τις οἰοβίων ὀλοφύρατο παρθενικάων,
64 οὐ ξίφεϊ θνήσκοντας ἀνέστενον ἀρητῆρας,
οὐδέ τις ὀλλυμένης πολιὴν ᾠκτίσσατο χήρης,
65 εἰσόκεν ὑπνώοντι Θεὸς πανομοίιος ὦρτο,
καρτερῷ ἐξ οἴνοιο καρηβαρέοντι ἐοικώς.
66 Ὀρνύμενος δ' ἔδρῃσι κακῶς ἐδάμασσεν ἀλείτας
καί σφισι μῶμον ἔδωκεν ἐπ' ἀλλήκτοισι γενέθλαις.
67 Δὴ τότ' Ἰωσήφου κέδασεν δόμον αἰγλήεντα·
Ἐφρέμου αὖτ' ἐρατεινὸν ἄφαρ μωμήσατο φῦλον,
68 κλεινὸν δ' ἀντιθέου ἐπελέξατο φῦλον Ἰούδα,
θεῖον ὄρος Σιῶνος, ὅ περ φρεσὶν ἀμφαγαπάζει.
69 Νηὸν ἐὸν τέκτηνεν Ἄναξ ἅτε μουνοκερῆος
καὶ γαίῃ κατέπηξε διηνεκέεσσι γενέθλαις.
70 Τῆμος ἐὸν Δαυῖδον ἄναξ ἐπελέξατο δοῦλον,
εὖ δέ μιν ἐκ πολέων ἐκαλέσσατο μηλοβοτῆρων·
71 **165** ἐξόπιθέν μιν ἄειρεν ἀμελγομένων τότε λαῶν,
θεσπίσσας Ἰάκωβον ἐὸν θεράποντ' ἀγελάζειν
καὶ κτέρας ἀμφιβόητον ἔχειν μέγαν Ἰσραῆλον.
72 Καί μιν μειλιχίῃ κραδίης ἐνόμευσε δικαίως
καὶ χειρῶν πινυταῖς σφετέρου ἡγήσατο λαοῦ.

ΨΑΛΜΟΣ ΟΗ′

Ἀσάφου λιγυρὸν ὄγδοον ἀμφὶ μέλος
ἑβδομάτης δεκάδος κῶμος ἀριστοπόνος.

1 Ἄγρια φῦλα τεῆς ἐπέβαν, Πανυπέρτατε, μοίρης,
ἄχραντον δ' ἐμίηναν ἀθεσμοσύνῃ σέο νηόν,
οἵ ῥ' Ἱερουσαλὴν φρουρὸν θέσαν ὥς τιν' ὀπώρης·
2 πτηνοῖς αἰθερίοις σέο λείψανα θῆκαν ἐρίθων,
σῶν ὁσίων θήρεσσιν ἑλώρια σάρκας ἔθεντο·
3 ὡς δ' ὅθ' ὕδωρ δαπέδῳ δμώων σέθεν αἷμα χέαντο
ἀμφ' Ἱερουσαλὴν χήτει μάλα κηδεμονήων.
4 Ἀνδράσι λωβητοὶ γεγενήμεθα πάγχυ θυραίοις
οἷα περικτιόνεσσι γέλως καὶ παίγνιον αἰνόν.
5 Εἰπέ, Μάκαρ, τέο μέχρι μένεις κεχολωμένος ἡμῖν
καί σεο μῆνις ὄρωρε διαμπερὲς οἷά τε πυρσός;
6 χεῦε κότον μετὰ φῦλα, τά περ τεὸν οὐ μάθε κῦδος,
166 καὶ μετὰ κοιρανίας, αἳ σῆς ἀμέλησαν ἀρωγῆς,
7 οὕνεκ' Ἰάκωβον πινυτὸν κατέδοντο κακοῖσι
καὶ οἱ χῶρον ἑλόντες ἀγακλέα θῆκαν ἔρημον.
8 Αὐτός, Ἄναξ, προτέρων ἐπιλήθεο δυσφροσυνάων,
οἰκτιρμοὺς κατάπεμπε θοῶς, Μάκαρ, ἄμμιν ἀρωγούς·
πτωχοὶ γὰρ μετὰ πᾶσι λίην γεγενήμεθα μοῦνοι.
9 Ἀλκτὴρ μοῦνος ἐὼν καὶ ἀεὶ Θεὸς ἄμμιν ἀρήγοις,
ῥύεο σοὺς ἱκέτας, Βασιλεῦ, σέθεν εἵνεκα τιμῆς,
οὔνομα σὸν βροτέῃσιν ἱλάσσεται ἀμπλακίῃσι.
10 Μή ποτε φῦλ' ἐρέῃ· πῇ δὴ Θεὸς ἔπλετο κείνων;
Ἔθνεά μιν ἀναφανδὸν ἐν ὀφθαλμοῖσιν ἴδοιντο
δμώων οἰχομένων ὑπὲρ αἵματος, ὃ πρὶν ἔχευον.
11 Ἀντίον ἱλλομένων στοναχὴ σέθεν ἵξεται ὄσσων·
ὅσση δ' ἀθανάτοιο βραχίονός ἐστιν ἐρωή,
νόσσον ἀποφθιμένων ἀδίκως περικήδεο παίδων.
12 Ἑπτάκις εἰς κόλπον μετάθες πάλιν αἰνὰ θυραίοις
ὕβριος, ἧς νείκεσσαν ἀπειρεσίην σέο τιμήν·
13 ἡμεῖς γὰρ σέο λαός, Ἄναξ, καὶ θρέμματα ποίμνης·
ἀντ' εὐεργεσίης σοι, Ἄναξ, ἀναμέλψομεν αἶνον,
ἐκ γενεῆς γενεὴν δὲ τεὸν κλέος ὑμνήσαιμεν.

ΨΑΛΜΟΣ ΟΘ′

1 **167** *Ἀσάφου πινυτοῦ μαρτυρίη μελέων*
ἔργων ἐσθλός, ἔφυ κῶμος ἀμειβομένων
εἴνατος ἑβδομάτην ἀμφιέπων δεκάδα.

2 Δέρκεο τιμήεντα νέμων, Μάκαρ, Ἰσραῆλον,
αὐτὸς ὃς Ἰώσηφον ἄγων ἅτε μῆλον ἀέξεις·
φαίνεό μοι βεβαὼς ὑπὲρ ἄφθιτα σεῖο Χερουβίμ,
3 ἄντα Βενιαμίνου τε καὶ Ἐφρέμου ἠδὲ Μανασσοῦ
σεῖο βίην ἀνάειρε καὶ ἡμέας ἐλθὲ σαώσων.
4 Ῥεῖα μεταστρεφθεὶς καλέοις πάλιν ἡμέας, ἐσσήν,
ζωῇ δ' ἡμετέρῃ προΐοις σέο φέγγος ὀπωπῆς.
5 Κοίρανι παντοίου σθένεος βασιλεύτατε πάντων,
κλῦθι, Μάκαρ· τέο μέχρι λιταζομένῳ χαλεπαίνεις
6 ἄρτον δακρυόεντα κατὰ χρέος ἄμμιν ὀπάζων
καὶ πόμα μετρήσας ἀχέων πλέον ἄμμε ποτίζων;
7 Ἡμέας ἀντιβίοισι μετ' ἀνδράσι νεῖκος ἔδωκας
καὶ πυκινὸν προύθηκας ἔμεν δηΐοισι γέλωτα.
8 Ἄμμε μεταστρεφθείς, σθενέων Μάκαρ, εἰς σὲ καλέσσαις,
ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἐάλλοις.
9 Ἄμπελον Αἰγύπτοιο μετήγαγες ἀνθεμόεσσαν,
168 ἐκ δὲ ταμὼν ἐφύτευσας ἀγακλέος ἔθνεα γαίης
10 πρόσθε δέ οἱ ταναὰς προμολὼν λείηνας ἀταρποὺς
καὶ ῥίζας ἐφύτευσας, ὅλην δ' ἔπλησεν ἄρουραν·
11 οὔρεα μὲν σκιεροῖς ἐκαλύπτετο μυρία θάμνοις
καὶ Μάκαρος κέδρους ἀναδενδράδες ἔσκεπον ἄκρας·
12 τῆς πτόρθοι τανύοντο δι' ἀτρυγέτοιο θαλάσσης
καὶ ποταμῶν ὄρπηκες ὑπερτέλλοντες ἔβαινον.
13 Τίπτε οἱ ἀσφαλὲς ἕρκος, Ἄναξ, χείρεσσι καθεῖλες
καί μιν ἀποτρυγόωσι παραστείχοντες ὁδῖται;
14 Δεινὸς ἀπὸ δρυμοῖο μολὼν λυμήνατο κάπρος
καί μιν ἀτιμαγέλης κατεβόσκετο λυσσαλέος σῦς.
15 Ἡγητὴρ σθενέων, μοὶ ἐπιστρέψειας ὀπωπήν,
οὐρανόθεν τανύσειας, Ἄναξ, πανεπίσκοπον ὄμμα,
ὄφρα μοι ἡμερίδος χλοερῆς ἰήσεαι ἄλγος·
16 καί μιν ἑτοιμάσσειας ἀναστήσας κατὰ μοῖραν—

σῆς γὰρ δεξιτερῆς πολυήρατον ἔργον ἐτύχθη—,
ἀνθρώπου φίλον υἱόν, ὃν ἄλκιμον αὐτὸς ἀνέγνως.
17 Ἀμφισκαπτομένη καὶ καρφομένη πυρὶ λάβρῳ·
μήνιος ἐκ πυκινῆς ἀπολοίατο σεῖο προσώπου.
18 **169** Ἀνέρα... δεξιτερῆς πολυήρατον ἔργον ἐτύχθη—,
ἀνθρώπου φίλον υἱόν, ὃν ἄλκιμον αὐτὸς ἀνέγνως.
19 Ἡμεῖς δ' ἀθανάτης ἀποπαυσόμεθ' οὔ ποθ' ὁδοῖο·
τεῦχε φάος βιότοιο, λιταζομένων δ' ὑπακούσαις.
20 Ῥεῖα μεταστρεφθεὶς καλέσαις πάλιν ἡμέας, ἐσσήν,
ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἰάλλοις.

ΨΑΛΜΟΣ Π΄

1 *Ἀσάφου ληναῖος ἀγακλήεις πέλει ὕμνος*
ὀγδοάτης δεκάδος τερπνὸν ἄκος φορέων.

2 Χαίρετ' ἀλεξικάκῳ περιθαρσέες αἰὲν Ἄνακτι,
κῶμον Ἰακώβου ἀλαλάξατε Παμβασιλῆι·
3 ψαλμὸν δεξάμενοι λιγυρὸν δότε τύμπανον ἡδύ,
εὐκέλαδον κιθάρην, μετὰ δὲ ψαλτήριον ἱρόν·
4 μηνὸς ἀπαρχομένοιο φίλοι σαλπίγξατε φῶτες
ἤματι τῷ, ὅτε κάλλος ἀριφραδές ἐστιν ἑορτῆς.
5 Κλεινὸν ἀεὶ θέσπισμα τόδ' Ἰσραῆλος ἔδεκτο,
εὐδικίην Βασιλῆος Ἰακώβοιο φυλάσσειν·
6 τὴν μὲν Ἰώσηφος παρεδέξατο μάρτυρα θεσμῶν
ἐρχόμενος τὸ πάροιθεν ἀπ' Αἰγύπτοιο πολήων.
7 Γλῶσσαν ἀριζήλην ἀίων, ἧς νῆις ἐτύχθη,
170 νῶτα δυσηλεγέων ἀνεπαύσατο φαίδιμα μόχθων
ὅ πρὶν ὑποδρήσσων ὁλοῷ παλάμῃσι κοφίνῳ.
8 Ἅ τότε πῶς βοάασκες, ἐγὼ δέ τοι ἦλθον ἀμύντωρ,
οὐδ' ἔλαθες δνοφερῇ με καταιγίδι, κευθόμενός περ,
σεῖο δὲ διψαλέου ἑλόμην καὶ ἐν ὕδατι πεῖραν.
9 Κέκλυθι, λαὸς ἐμός, λέξω δέ τοι αἴσιμα μύθοις,
μή τοι ἐμῶν ἐπέων ἐπιλήσεαι, Ἰσραῆλε·
10 οὔ τίς τοι νέος ἄλλος ἀνειρομένῳ Θεὸς ἔσται,
οὐδὲ Θεὸν ξεῖνον γουναζόμενος λιτανεύσαις·
11 αὐτὸς γὰρ Θεός εἰμι σέθεν καὶ ἀγήραος ἐσσήν,

ὅς σ' ἀνάγων ἐσάωσα καὶ ἐκ Νειλωίδος αἴης.
Εἰ δέ τινος χατέεις, τάνυσον στόμα καὶ τόδε πλήσω.
12 Νήπιος ἡμετέρων ἐπέων οὐκ ἔκλυε λαός,
οὐδέ τί μ' Ἰσραῆλος ἐβούλετο φάεσι λεύσσειν·
13 τοὔνεκά μιν προέηκα νόῳ καταθύμια ῥέζειν,
νισοέσθων σφετέραις ἀεσιφροσύνῃσιν ὀπηδοί·
14 εἰ γὰρ ἐμῆς φθογγῆς ἀποφώλιος ἔκλυε λαός,
εἰ δράμεν ἡμετέροισιν ἐπ' ἴχνεσιν Ἰσραῆλος,
15 καί κέ οἱ ἀντιβίους πέλασα χθονὶ καὶ δίχα μόχθου
καί κέ μιν ἐχθαίροντας ἐμῇ πάρος ὤλεσα χειρί.
16 **171** Ἐχθροὶ δ' ἐψεύσαντο μεγασθενέτην Βασιλῆα·
τῶνδε διηνεκέως βιότου τροφὸς ἔσσεται ὥρη,
17 καὶ σφίσιν ἀθάνατος ζωαρκέα πυρὸν ἔδωκε
καὶ μέλιτος πέτρηθεν ἀκηρασίου κόρον ἴσχειν.

ΨΑΛΜΟΣ ΠΑ΄

Πρῶτον ἐπ' ὀγδοάτῃ δεκάδι μέλος ἐσθλὸν Ἀσάφου.

1 Ἄφθιτος ἐν κλισίῃσι θεῶν πανυπέρτατος ἔστη,
ἑζόμενος δ' ἀνὰ μέσσον Ἄναξ μακάρεσσι δικάζει.
2 Μέχρι τεῦ ἀχράντοιο δίκης οὐ κρίνετε θεσμούς,
ἄζεσθε δὲ πρόσωπον ὑπερφιάλων ἀλεγεινῶν;
3 Ὀρφανικοῦ [τε] καὶ ἀκτεάνου διαείδεται ὕβρις,
δειλῷ τ' ἠδὲ πένητι δίκης ἰθύνατε θεσμούς·
4 ἀκτέανον ῥύσασθέ [τ'] ἀμήχανον ἠδὲ πενιχρὸν
καί μιν ἀνιηρῆς παλάμης ἁρπάξατ' ἀλιτροῦ.
5 Νήπιοι, οὐ σκέψαντο μετὰ φρεσὶν οὐδ' ἐνόησαν,
οὕνεκεν ἀφραδέως ὁλοὴν μετεκίαθον ὄρφνην·
172 ἔνθεν ὀρινέσθωσαν ὅλης περὶ πυθμένος αἴης.
6 Αὐτὸς ἐκὼν ἐφάμην Μάκαρος πάρος ὑμέας εἶναι
καὶ παῖδας βασιλῆος ἀγακλέος ὑψίστοιο,
7 θνήσκετε δὲ φθιμένοισι κατὰ χθονὸς ἶσα βροτοῖσιν
οὐλομένῳ πίπτοντες ὁμοίιοι ἡγητῆρι.
8 Ἔγρεο, Παμβασιλεῦ, καί μοι χθονὶ σεῖο δικάζοις,
οὕνεκα σὺ κλήρῳ κτεατίσσεαι ἔθνεα πάντα.

ΨΑΛΜΟΣ ΠΒ′

1 *Ὀγδοάτης δεκάδος καὶ δεύτερος ὕμνος Ἀσάφου.*

2 Ἄφθιτε, τίς δή τοι πανομοίιος ἔσσεται ἄλλος;
Μή ποτε σιγήσῃς μηδὲ φρεσὶ μείλιχος εἴης,
3 οὕνεκα σῶν πυκινῶς δηίων ὀρυμαγδὸς ἀέρθη,
οἱ δέ σ᾽ ἀπεχθαίροντες ἀερτάζουσι κάρηνα·
4 μῆτιν ἐτεκτήναντο τεῷ δηλήμονα λαῷ,
ἀμφὶ δὲ σῶν ὁσίων ὀλοφώια μητίσαντο·
5 δεῦτ᾽ ἄγε δή, φίλοι ἄνδρες, ὅπως σφέας ἐξολέσωμεν,
οὔνομα δὲ σβέσσωμεν ἀπὸ χθονὸς Ἰσραήλου.
6 Αὐτίκα δ᾽ ἀγρόμενοι κακομήχανοι ἐσκέψαντο,
συνθεσίην κατέναντα, Μάκαρ, σέο τεχνήσαντο,
7 Ἰδουμαίων φῦλα καὶ υἱέες Ἰσμαήλου,
173 τοῖσι δ᾽ ὁμοῦ Μωᾶφος ὑπερφίαλοί τ᾽ Ἀγαρηνοί,
8 Ἀμμῶνες Γέβαλοί τε καὶ υἱέες Ἀμαλήχου
ἀλλοδαποί θ᾽ ἁλίοισιν ἅμ᾽ ἀγρόμενοι Τυρίοισιν·
9 οὐδὲ μὲν Ἀσσυρίων ἀπελείπετο δῆμος ἀπείρων,
ἀλλ᾽ ἐπιθωρηχθέντες ἔβαν πρόμοι υἱάσι Λώτου.
10 Ἔρξον, ὅπως Σισάρᾳ τέλεσάς ποτε καὶ Μαδιάμῃ
ἢ μετὰ χειμέριον Κισσῶν ῥόον Ἰαβίνοισιν,
11 οἳ πρὶν ἐν Ἀελδῶρι δάμεν βαρυπήμονι μόθχῳ
κόπρῳ τ᾽ ἐξεφάνησαν ἀλίγκιοι ὑψόθι γαίης,
οἷα κόνις, τὴν ὦκα διὰ χθονὸς ἤλασ᾽ ἀήτης.
12 Τῶνδε καθηγητῆρας, Ἄναξ πανυπέρτατε, τεύξεις
Ὠρήφῳ, Ζήφῳ, Ζεβέῳ καὶ Σαλμανῷ ἴσους
πάντας, ὅσοι τελέθουσι μετὰ σφίσιν ἡγεμονῆες,
13 οἳ πρὶν ἐλεῖν σκέψαντο Θεοῦ περικαλλέα βωμόν.
14 Οἷα τροχὸν σύμπαντας, Ἄναξ, περιηγέα θείης
ἢ ἅτε καρφομένην καλάμην κατέναντα θυέλλης.
15 Ὡς πυρὶ βοσκομένῳ κατὰ πίσεα πυκνὰ καὶ ὕλην
174 ἢ φλογὶ καρφαλέων ὀρέων ὑπερορμηθείσῃ,
16 ὧδε, Μάκαρ, μάλα τούσδε καταιγίδι σεῖο διώκοις
θυμῷ ἀμαιμακέτῳ καὶ ἀπηνέι πάντας ἀτύζων.
17 Αἰσχύνης ἅμα πᾶσι περιπλήσειας ὀπωπάς,
ὄφρα κεν αἰδόμενοι τεὸν οὔνομα μαστεύσειαν.

18 Νωλεμέως στυγεροῖσιν ὀρινέσθωσαν ἐλέγχοις,
μῶμος ἕλοι σύμπαντας, ὁμοῦ δ᾽ ἀπολοίατ᾽ ἀνίῃ·
19 γνοῖεν ἀπολλύμενοι κραδίῃ τεὸν οὔνομα θεῖον,
οὕνεκα μοῦνος ἐπ᾽ αἶαν ὅλην Ὕψιστος ἐτύχθης.

ΨΑΛΜΟΣ ΠΓ′

1 *Γίἀσιν ἱερὸς ὕμνος ὑπερθύμοιο Κοραίου*
ὀγδοάτης δεκάδος μέλπετο καὶ τρίτατος.

2 Ὡς ἐραταὶ κλισίαι σθενέων σέθεν αἰὲν ἔασιν·
3 ἐκ θυμοῦ ποθέω Μάκαρος περιναιέμεν αὐλάς.
Ψυχῇ καὶ μελέεσσι Θεῷ ἐπαγάλλομ᾽ ἐόντι·
4 καὶ γάρ τοι στρουθὸς καταθύμιον οἶκον ἐφεῦρε
καὶ τρυγὼν τεκέεσσιν ἐναίσιμον εὗρε καλιήν·
βωμοὶ σεῖο, Μάκαρ σθενέων, Θεός ἐσσι καὶ ἐσσήν.
5 Ὄλβιστοι μάλα πάντες, ὅσοι σέο δώματ᾽ ἔχουσιν,
αἶνον ἀγακλήεντα τεὸν μέλψουσιν ἀοιδαῖς.
6 **175** Ὄλβιος, ὅς τις ἀνὴρ παρὰ σοὶ κράτος ἐσθλὸν ἐφεῦρε
θυμῷ ἐποπτεύων καὶ ἐς οὐρανὸν αὐτὸν ἐλάσσας
7 ἐν κοίλῃ κλαυθμῶνος, ἵνα κλυτὸν εὕρετο χῶρον.
Εὐλογίας θεσμοῖο δοτὴρ κατὰ μοῖραν ὀπάσσαι·
8 ἐκ σθένεος νίσσοιντο μετὰ σθένος ὁρμηθέντες,
ἀμφαδὸν ἐν Σιῶνι θεῶν Θεὸς ὄψεται ὅσσοις.
9 Κλῦθι, Μάκαρ σθενέων, θεράπων δέ τοι εὔχομαι εἶναι,
ἀρχὲ Ἰακώβου, δέξαι νῦν μ᾽ οὔασιν αὐδήν·
10 ἄλκαρ ἐμὸν γεγαὼς ποτιδέρκεο σῇσιν ὀπωπαῖς,
μὴ δὴ σεῖο πρόσωπον, Ἄναξ, χριστοῖο παρέλθῃς.
11 Αὐλαῖς χιλιάδων προφέρει σέθεν ἦμαρ ἰαύειν·
βέλτερον ἐν μεγάροισι Θεοῦ καὶ οἰκτρὸν ἀκοῦσαι
ἢ κρατερὸν ναετῆρα μετὰ κλισίῃσιν ἀλιτρῶν.
12 Ὡς ἔλεον καὶ ἀληθείην Θεὸς ἀμφαγαπάζει,
αὐτὸς κῦδος ἀεὶ καὶ ἐὴν χάριν ἐγγυαλίξει
οὐδ᾽ ἀγαθῶν σφετέρων ἀκάκους ποτὲ νόσφιν ἐάσει.
13 Ἄφθιτε, καὶ γὰρ ἀεὶ σθενέων Μάκαρ ἔπλεο μοῦνος,
ὄλβιος οὗτος ἀνήρ, οὗ κεν φρεσὶν ἐλπὶς ἐτύχθῃ.

ΨΑΛΜΟΣ ΠΔ΄

Ὀγδοάτῃ δεκάδι πρὸς τέτρατος ἱερὸς ὕμνος
μέλπεθ' ὑπερθύμοιο φίλοις τεκέεσσι Κοραίου.

Σεῖο πάλιν, Βασιλεῦ, μετὰ κήδεα φίλαο γαῖαν,
αὖτις Ἰακώβου δωρήσαο λῃδι νόστον·
δυσνομίας μεθέηκας ἀπειρεσίας σέο λαῷ,
παντοίων ἐκάλυψας ἐῶν ψύθος ἀμπλακιάων.
Μήνιος ἐκ πυκινῆς ἀγανόφρονα θυμὸν ἔπαυσας,
σεῖο μετήμειψας κεκοτηότα θυμὸν ἀνίης.
Ἀλλ' ἄγε, φέγγος ἐμόν, στρεφθεὶς πάλιν ἵλαθι σοῖσιν,
ἡμείων δ' ἀπάλαλκε τεὴν πολυπήμονα μῆνιν·
μηδὲ τεοῖς δμώεσσι διηνεκέως χαλεπήνῃς
ἐκ γενεῆς γενεὴν δὲ βαρύφρονα μῆνιν ἀέξων.
Αὐτὸς ἐπιστρέψας βιότου χάριν ἄμμιν ὀπάζοις,
σοὶ δ' ἐπιγηθήσειεν ἀγαλλόμενος σέο λαός.
Θεσπεσίην ἐλετύν, Ἄναξ, ἀνάφαινε τεοῖσι,
δὸς δ' ἐπιδευομένοισιν ἀλεξίκακον σέο φέγγος.
Πεύσομαι, ὅττί κεν αὐτὸς ἐμοὶ Θεὸς ἐξαγορεύσῃ
177 εἰρήνην σφετέροισι πάλιν λαοῖσι φυτεύων
καὶ νόον οἷς ὁσίοις καὶ ὅσοι πάλιν εἰσὶ μετ' αὐτοῦ.
Ἔμπα γε μὴν τρομέοντας ἐὸν φάος ἀμφιπολεύει
νωιτέρην κατὰ γαῖαν, ὅπως κλυτὸν εὖχος ὀρέξοι.
Ἤντεον ἀλλήλοισιν ἀληθείη τ' ἔλεός τε,
εἰρήνη δ' ἐφίλησε δικαιοσύνην ἐρατεινήν·
γαίης ἐξανέτειλεν ἀληθείη χαρίεσσα,
οὐρανόθεν δ' ἐρόεσσα δικαισύνη διέκυψε·
καὶ γὰρ μειλιχίην Βασιλεὺς ζωαρκέα δοίη
καὶ χθὼν καρποτόκος φυσίζοον εἶδαρ ὀπάσσοι.
Εὐδικίη κατέναντα Θεοῦ Βασιλῆος ὁδεύσει
ἴχνιά οἱ τροχαλοῖσιν ἐπιθύνουσα κελεύθοις.

ΨΑΛΜΟΣ ΠΕ΄

Πέμπτον ἐπ' ὀγδοάτῃ δεκάδι μέλος ἐσθλὸν ἀείδων
εὐχωλὴν βασιλῆι μέγας Δαυῖδος ἀνῆκεν.

Κλῖνον, Ἄναξ, τεὸν οὖας, ἐμῆς δ' ἐπικέκλυθι φωνῆς,

οὕνεκεν ἀκτεάνός τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.
Ἥτορ ἐμὸν φρούρησον, Ἄναξ, ὅσιος νύ τοί εἰμι·
σὸν θεράποντα σάωσον, ἐπεὶ σύ μοι ἄφθιτος ἐλπίς.
178 Ἵλαθί μοι βοόωντι πανημαδὸν εἰς σὲ λιτῇσιν
ἦτορ ἂν εὐφρήνειας ἐελδομένου θεράποντος·
σεῖο γὰρ ἐξήρτησα βίην καὶ θυμὸν ἐμεῖο.
Αὐτὸς μείλιχός ἐσσι λίην ἐπιεικέα ῥέζων,
εὖ δ' ἐπιδευομένοισι τεὴν ἐλετὴν ἀέξων.
Κλῦθί μευ εὐχωλῆς καὶ ἐμῆς ἴδε γήρυος αὐδήν.
Τειρόμενος βοάασκον, ὑπήκουσας δὲ λιτάων.
Οὔ τις ἐν ἀθανάτοισι Θεῷ πανομοίιος ἄλλος·
οὐδὲ γὰρ ἔργα τεοῖσι πανείκελα φαίνεται ἔργοις.
Ἀνδρῶν ἔθνεα πάντα, τά περ τεκτήναο χειρί,
ἄντα σέθεν προμολόντα, Μακάρτατε, γουνάσσονται
οὔνομα κυδαίνοντα τεὸν καὶ ἀγήραον ἀλκήν·
αὐτὸς ἐπεὶ μέγας ἐσσὶ καὶ ἄφθιτα θαύματα ῥέζεις,
αὐτὸς μοῦνος Ἄναξ πανυπέρτατος αἰὲν ἐτύχθης.
Σῇ μ' ὁδῷ ἰθύνειας, ἀληθείην δὲ κιχείω,
θυμὸν ἰαινοίμην τρομέων σέθεν οὔνομα θεῖον.
Ἀλλήκτῳ κραδίῃ σε, Μάκαρ πανυπέρτατε, μέλψω,
σεῖο διηνεκέως κλυτὸν οὔνομα κυδαίνοιμι,
179 οὕνεκα δή μ' ἐλετύς, Ἄναξ, σέθεν ἀμφικαλύπτει,
ἡμέτερον δ' Ἀίδαο βαρύφρονα ῥύσαο θυμόν.
Ἄντα μεῦ, ὦ Βασιλεῦ, ἀθεμίστιοι ἀντεφέροντο
καὶ σθεναρῶν ἐμὸν ἦτορ ὁμήγυρις ἰχνεύεσκεν,
οὐδὲ βίην προύθεντο τεὴν κατεναντίον ὄσσων.
Καὶ σὺ μάλ' οἰκτίρμων πέλεαι, Μάκαρ, ἠδ' ἐλεήμων
καὶ δοτὴρ ἐλέου πολέος καὶ μοῦνος ἀληθής.
Οὐρανόθεν σκοπίαζε, Μακάρτατε, καί μ' ἐλεαίροις,
παιδὶ τεῷ σέο κάρτος ὑπέρτατον ἐγγυαλίξοις
καὶ σέθεν ἀμφιπόλου ἀγαπήνορα παῖδα σαώσοις.
Τεύχοις ἄμμι, Μάκαρ, σημήιον εἰς ἀγαθόν περ,
ὄφρα μευ αἰσχυνθεῖεν ἀνάρσιοι εἰσορόωντες,
ὥς ῥα σὺ παρφασίῃ τελέθεις καὶ ἀρωγὸς ἐμεῖο.

ΨΑΛΜΟΣ ΠϚ'

Υἱάσιν ἀντιθέοισιν ὑπερθύμοιο Κοραίου
ἕκτον ἐπ' ὀγδοάτῃ ἡδὺ μέλος δεκάδι.

1 Οὔρεσιν ἀχράντοισι θεμείλια καλὰ θεοῖο·
2 οἵδε πύλας Σιῶνος ἀεὶ Θεὸς ἀμφαγαπάζειν
πασάων πολὺ μᾶλλον Ἰακώβου κλισιάων.
3 Πευθόμεθ' ἀμφὶ σέθεν, πόλις ἄφθιτε, κυδήεντα.
4 **180** μνήσομαι ἄντα φίλων Ῥαάφης ἅμα καὶ Βαβυλῶνος·
ἀλλοδαποὶ Τύριοί τε καὶ Αἰθιόπων κλυτὰ φῦλα
κεῖσ' ἅμα πάντες ἰόντες ὁμέστιον αὖλιν ἔθεντο.
5 Μητέρα τιμήεσσαν ἀνὴρ Σιῶνα καλέσσει·
καὶ γὰρ ἀρίζηλον καὶ ἀληθέα γείνατο φῶτα
καί μιν Ἄναξ ὕψιστος ἀπ' οὐρανοῦ ἐρρίζωσεν.
6 Αὐτὸς Ἄναξ γραφίδεσσι περιφραδέως ἀγορεύσει
λαῶν καὶ κρατερῶν, ὧν περ τέκεν, ἡγεμονήων,
7 οἵ τέ μιν οἰκήσουσι νόῳ κεχαρηότες αἰεί.

ΨΑΛΜΟΣ ΠΖ'

1 *Καὶ τόδε Κοραίου παισὶν ἀνακείσθω μέλος*
ὑπὲρ μαελήθου λεχθὲν ἐκθύμως, ὅτε
τὴν Αἰθάμου πρὸς πεῦσιν εἰπεῖν ἴσχυον,
ὃν Ἰσραηλίτην μὲν εἰδικὸς λόγος
ἐπωνόμαζεν. Ἕβδομον δ' αὐτοῖς ὅμως
ἀμφὶ μέλος δεκάδι ὀγδοάτῃ πέλεται.

Καὶ τόδ' ὑπὲρ μαελέθ πινυτοῖς παίδεσσι Κοραίου
ἕβδομον ὀγδοάτῃ ἀμφὶ μέλος δεκάδι.

2 Νωιτέροιο βίῃ, Πανυπέρτατε, φέγγεος ἐσσήν,
ἠμάτιος βοόω καὶ πάννυχος εἰς σὲ λιτῆσιν·
3 **181** εἴθε μοι εὐχωλὴ σῶν ἀντίον ἵξεται ὅσσων,
εἴθε μοι ἱκεσίῃσιν, Ἄναξ, τεὸν οὖας ἐρείδοις,
4 οὕνεκά μοι βέβριθεν ἀμήχανος ἄλγεσι θυμὸς
νερτερίου τ' Ἄιδαο φίλη πέλας ἦλθε βιώνη.
5 Ὡίσθην ἔμεν ἶσος ἐπεσσυμένοις μετὰ βόθρον,
θνητὸς ὅπως γενόμην, ᾧ μὴ καταφαίνετ' ἀρωγός,

6 καί περ ἀεὶ νεκύεσσιν ἐλεύθερος αὐτὸς ἐών περ,
οἷά περ οὐτηθέντες ἀκήδεστοι περὶ τύμβους
εὕδουσιν, τῶν οὔ τι μετατρέπῃ οὐδ' ἀλεγίζεις·
καὶ γὰρ σῆς παλάμης ἐρικυδέος ἐκτὸς ἔλασθεν.
7 Νερτέριόν μ' ἀπέθεντο μετὰ φθισήνορα βόθρον,
ὀρφναίην θανάτοιο περὶ σκιοειδέα χώρην.
8 Ἀμφ' ἐμὲ σεῖο κότος βαρυώδυνος ἐστήρικται
καί με μεταχρόνιον κλονέει τεὰ μέρμερα πάντα.
9 Τῆλε παρηγορίην νοσφίσσαο πᾶσαν ἑταίρων,
οἱ δέ με λευγαλέῳ τῳ ἀποστυγέουσιν ὁμοῖον·
ἆ τότε πῶς βιόωντο καὶ οὐκ ἐθέλοντά μ' ἔπεσθαι.
10 Ἐκ δ' ὀλιγηπελίης ἀμαθύνετο καὶ φάος ὄσσων,
182 αὐτὰρ ἐγὼ κάλεόν σε τόσης ἐπίκουρον ἀνάγκης,
εἰς δὲ σὲ χεῖρες ἐμεῖο πανημαδὸν ᾐώρηντο·
11 μὴ τεὰ πὰρ νεκύεσσιν ἀκηδέσι θαύματα ῥέξεις;
ἦ ῥά τοι ἰητῆρες ἀναστήσουσιν ἀοιδούς;
12 μή τις σὴν παρὰ τύμβον, Ἄναξ, ἐλεητὺν ἀείσει
καί σευ ἀληθείην ἐρατὴν ἐπ' ὀλωλότι χώρῳ;
13 μὴ κνέφαϊ θηητὰ τεὰ προφανήσεται ἔργα
ἢ σέθεν εὐδικίην προλελασμένη εἴσετ' ἄρουρα;
14 τοὔνεκά σε ζώων μεθέπω καὶ λίσσομ' ἀρωγόν,
ἠῶθεν δὲ λιτῇσι μετασπόμενός σε καλέσσω.
15 Τίπτε μοι εὐχωλὴν ἀγανόφρονα τηλόσε πέμπεις,
ἐκ δὲ τεὴν ἑκέταο τρέπεις παλίνορσον ὀπωπήν;
16 Ἐξ ἤβης πτωχός τε καὶ ἐν καμάτοισι μεμηλὼς
ὑψόθεν αὖ χθαμαλὸς γενόμην καὶ ἀμήχανος ἔργοις.
17 Ἀμφ' ἐμὲ σεῖο, Μάκαρ, πυκιναὶ διὰ μήνιες ἦλθον
καὶ σῆς ἠνορέης ῥιγηλά με δείματ' ἀτύζει·
18 ἀμφ' ἐμὲ κυκλώουσι βαθύρροον οἷά περ ὕδωρ
πάντοθεν ἀμφιβαλόντα πανημαδὸν ἔνθα καὶ ἔνθα.
19 Γείτονά μευ νόσφισσας ἐμὸν θ' ἅμα πιστὸν ἑταῖρον,
οὐδέ τις ἀσχάλλοντι παρήγορος ἦλθε θυραῖος.

ΨΑΛΜΟΣ ΠΗ΄

1 **183** *Ἄξιον οὐρανίης πινυτῆς χαρίεντος Ἐτάνου*
ὄγδοον ὀγδοάτῃ ἀμφὶ μέλος δεκάδι.

2 Νωλεμέως ἔλεον, Βασιλεῦ, τεὸν ὑμνοπολεύσω
ἐκ γενεῆς γενεὴν δέ, Μάκαρ, νημερτέα μέλψω.
3 Φῆς ἐλεημοσύνην τεκταινέμεν ἤματα πάντα
σεῖό τ᾽ ἀληθείην ὑπὲρ αἰθέρα θέσθαι ἑτοίμην.
4 Συνθεσίην ποίησα μεθ᾽ ἡμετέροισιν ἀρίστοις,
ὤμοσα Δαυίδῳ, θεράπων δ᾽ ἐμὸς αἰὲν ἐτύχθη·
5 νωλεμέως σέο φῦλον ἐπεντύναιμι θοώκοις
καὶ πολυκυδήεντα θρόνον σέο πάντοτε τεύξω.
6 Οὐρανοὶ ὑμνήσσουσι, Μάκαρ, τεὰ θέσκελα ἔργα,
καί σευ ἀληθείη ὁσίων κλισίῃσι μελέσθω.
7 Τίς ναέτης νεφέων πανομοίιος ἔσσετ᾽ Ἄνακτι
ἢ τίς τοί ποθ᾽ ὁμοῖος ἐν υἱάσιν ἀθανάτοιο;
8 Κύδιμος ἐν βουλαῖς ἁγίων Θεὸς αἰὲν ἐτύχθη,
ὡς μέγας ὡς φοβερός, περὶ δὲ τρόμος ἔλαβε πάντας.
9 Ἡγητὴρ σθενέων, τίς τοι μένος ἰσοφαρίζοι;
αὐτὸς ἀληθείῃ κεκορυθμένος ἄλκιμα ῥέζεις.
10 Αὐτὸς ἐρισμαράγοιο βίην κτεατίσσαο πόντου,
κύματα μειλίσσων, ἀνέμοις ὅτε κυρτὰ κορύσσῃ.
11 **184** Οἷά περ οὐτηθέντα ὑπέρβιον ἄνδρα καθεῖλες,
κάρτεϊ δὲ βρίθων στυγεροὺς ἐκέδασσας ἀλείτας.
12 Οὐρανοὶ ἠδὲ καὶ αἶα τεῆς κτέρας εἰσὶν ἀνωγῆς,
εὐκύκλου παλάμῃσι θεμείλια θήκαο κόσμου.
13 Καὶ Βορέην καὶ πόντον ἀθέσφατον αὐτὸς ἔτευξας·
σοὶ περὶ Θαβῶρός θ᾽ Ἑρμωνίμός τε χαρεῖεν.
14 Ἀστυφέλικτος ἀεὶ περὶ κάρτεϊ σεῖο βραχίων·
σὴ μεγαλιζέσθω πρὸς θάρσεϊ δεξιτερὴ χείρ.
15 Εὐδικίη καὶ κρῖμα τεὴν περιίσταται ἕδρην,
ἄντα σέθεν προθέουσιν ἀληθείη τ᾽ ἔλεός τε.
16 Ὄλβιος ἔπλετο λαὸς ἐπισταμένως ἀλαλάζων·
τῶν ἤτοι σέο φέγγος ἀγήραον ἡγεμονεύσει
17 πάντοτε τερπομένων, οἷσιν τεὸν οὔνομα τέρψις,
καὶ κλέος ἀμφιβόητον ὑπ᾽ εὐδικίῃσι τεῇσιν.

18 Οὕνεκα σὺ σφίσιν εὖχος ἔφυς περιώσιον ἀλκῆς,
σοί τ᾽ ἐπὶ θαρσαλέοι σφέτερον κέρας ὑψώσειαν.
19 Ἀθανάτου κατὰ γαῖαν ἀεὶ πέλει ἔρκος ἀρωγῆς,
ἀχράντου βασιλῆος ἀγακλέος Ἰσραήλου.
20 Δὴ τότε παισὶ τεοῖσι τάδε προσελέξαο βάζων·
185 κάρτος ἐπὶ κρατερῷ καὶ ἐπ᾽ εὐρυβίῃ πόρον ἀλκήν,
ἐκ λαοῦ πανάριστον ἑλὼν κόσμησα θοώκοις·
21 Δαυῖδον θεράποντα φίλον καὶ ἔριθον ἐφεῦρον,
εὐαγέι δ᾽ ἤλειψα δέμας περικαλλὲς ἐλαίῳ·
22 καὶ γὰρ νωιτέρην παλάμην ἐπιτάρροθον ἕξει,
ἡμέτερος δέ μιν αἰὲν ἐποτρύνειε βραχίων.
23 Οὔ ποτε δυσμενέεσσι γενήσεται ἦδος ἐπ᾽ αὐτῷ
οὐδέ ἑ δυσνομίης ἐπὶ πήμασιν υἱὸς ἐλέγξει.
24 Δερκομένου παλάμῃσιν ἑοὺς δηίους ἐναρίξω
καί μιν ἀπεχθαίροντας ἐλεγχέας ἐξαναφήνω·
25 καί οἱ ἀληθείη ἔλεός θ᾽ ἅμα σύνδρομος εἴη,
ἀμφὶ δ᾽ ἐμοὶ μεγαλευχὲς ἀειρόμενον κέρας ἕξει.
26 Χεῖρα μέν οἱ στήσαιμι δι᾽ ἀτρυγέτοιο θαλάσσης,
καί οἱ δεξιτερὴ ποταμῶν καθύπερθεν ἀνάξει.
27 Αὐτὸς ἀρίζηλον ποθέων καλέσει με τοκῆα,
ἀλκτῆρα σφετέρου φάεός θ᾽ ἅμα καὶ Θεὸν ἴσχων.
28 Πρωτότοκον δέ μιν αὐτὸς ἐμὸν φίλον υἱέα θήσω,
ὑψηλὸν μετὰ πᾶσιν ἀριστοπόνοις Βασιλεῦσι.
29 Νωλεμέως ἐλεητὺν ἐνηέα τῷδε φυλάξω
καί οἱ συνθεσίης ἐρικυδέα πίστιν ἐρείσω·
30 ἐκ γενεῆς γενεὴν δὲ φίλος σπόρος ἔμπεδος εἴη
καὶ θρόνος αἰγλήεις, ὅσον οὐρανοῦ ἤματα μίμνει.
31 **186** Εἰ δέ κε κείνου παῖδες ἐμῶν λυσαίατο θεσμῶν
μηδὲ μετ᾽ εὐδικίῃσιν ὁμαρτήσουσιν ἐμῇσιν·
32 αἴ κε δικαιοσύνην ἐμέθεν τεύξωσι βέβηλον,
ἡμετέρων δὲ γένωντ᾽ ἀμνήμονες ἐννεσιάων,
33 ἱέμενος σκήπτρῳ στυγερὰ σφέων ὄψομαι ἔργα,
σφωιτέρας μάστιξιν ἀτασθαλίας ἐρεείνων.
34 Τῶν δ᾽ ἐλεημοσύνην προτέρην οὐ πάγχυ κεδάσσω
οὐδ᾽ ἐπ᾽ ἀληθείῃ ἄδικον τῇ πρόσθε τελέσσω

35 οὐδ' ἐπὶ συνθεσίῃσιν ἐμαῖς ῥέξαιμι βάβηλα
οὐδὲ μεταστρέψαιμι, τά περ χείλεσσιν ἔειπον.
36 Ὤμοσα Δαυίδῳ, σταθεροὺς δ' οὐ ψεύσομαι ὅρκους·
37 ὄλβιόν οἱ μετὰ πᾶσι διηνεκέως γένος ἔσται
καὶ θρόνος ἠελίῳ πανομοίιος αἰγλήεντι,
38 τοῖος ἐών, οἵη περ ἔφυ πλήθουσα σελήνη,
καί οἱ ναιετάων πιστὸς μέγαν οὐρανὸν ἵστωρ.
39 Ἀλλὰ σὺ παντοδαποῖσιν, Ἄναξ, μεθέηκας ἐλέγχοις,
ἀμβολίῃ χρισθέντα τεῷ παρέλασσας ἐλαίῳ·
40 συνθεσίην ἔστρεψας ἐρισθενέος θεράποντος
καί οἱ πᾶσι βέβηλον ἐπὶ χθονὶ θήκαο νηόν·
41 ἔρκεά οἱ σύμπαντα μεγακλήεντα καθεῖλες,
187 οἷσι πάρος φρουρεῖτο· τὰ δ' οἱ ῥίγιστα τέτυκται·
42 καί ἑ παραστείχοντες ἀφαρπάζεσκον ὁδῖται·
λωβητὸς γεγένητο παρὰ σφετέροισι θυραίοις.
43 Δεξιτερὴν ἀνάειρας ἐπειγομένων μιν ὀλέσσαι,
σφωιτέρους κύδηνας ἀναιδέας ἁρπακτῆρας·
44 μαρναμένου ξίφεος κρατερὴν ἔστρεψας ἐρωὴν
οὐδ' ἐπιδευομένῳ κατὰ φύλοπιν ἦλθες ἀρωγός,
45 ἀλλ' ἔμεν' οὐλομένοισι μάχης πεπαλαγμένος ἔργοις·
ἃ πῶς οἱ στονόεσσα κατήριπεν ὑψόθεν ἕδρη,
46 ἃ πῶς τόσσον ὄλεσσε μινυνθαδίῳ θρόνον ὥρῃ,
ἀντὶ δέ μιν στεφάνων κατερήτυε πάντοθεν αἶσχος.
47 Εἰπέ, Μάκαρ, τέο μέχρι κοτεσσάμενος χαλεπαίνοις
πυρσὸν ἀναπτόμενον σθεναρὸν σέο θυμὸν ἀέξων
48 Μνῆσαι, Παμβασιλεῦ, βρότεος βίος ὅσσος ἐτύχθη·
μὴ γὰρ μαψιδίως μερόπων τεκτήναο φῦλον;
49 Τίς βροτός, ὃς θανάτοιο βίην καὶ δεσμὸν ἀλύξει
ἐξ Ἀίδαο φίλον καλέων παλινάγρετον ἦτορ;
50 Ποῦ μοι σῆς προτέρης ἐλεητύος ἄσπετος ἀλκή,
ἣν Δαυίδῳ πρόσθεν ὑποσχόμενος κατένευσας;
51 **188** μηδὲ τεῶν δμώων ἐπιλήθεο μωμηθέντων,
ὧν πάρος ἡμετέρῳ φερόμην κατὰ νείκεα κόλπῳ,
52 ὥς σε πάρος δήιοι κακοεργέσιν ἔψεγον ἔργοις,
οἵ ῥα τεοῦ χριστοῖο καὶ εἰκόνα λωβήσαντο.
53 Αἰνετὸς ἔσσετ' ἄναξ Θεὸς εἰς αἰῶνα. Γένοιτο.

ΨΑΛΜΟΣ ΠΘ'

Εἰ θέμις οὐράνιον φάσθαι βροτόν, αἰὲν ἐτύχθη
Μωσῆς ἀθανάτου πιστότατος θεράπων,
ὃς πάρος εὐχωλὴν τήνδ' ἴαχεν· ἡ δὲ τέτυκται
ὀγδοάτης δεκάδος ἀμφ' ἐνάτῳ μέλεϊ.

1 Ἄμμι, Μάκαρ, γένου ἔρκος ἐπ' ἀλλήκτοισι γενέθλαις,
2 πρὶν ἕδρας ὀρέων, πρὶν καὶ χθονὸς ἕρμα γενέσθαι·
ἐκ παλαχῆς Βασιλῆα καὶ εἰς αἰῶνά σε μέλψω.
3 Μή μοι ἀποστρέψας χθαμαλὸν πάλιν ἀνέρα τεύξῃς
κεκλόμενος μερόπεσσι βίον παλίνορσον ἐλέσθαι.
4 Χθιζὸν ὅπως ἐτέων σέο χιλιὰς ἦμαρ ἐν ὄσσοις,
ὃ πρὶν ἀποφθίμενον φυλακήν ἑο νυκτὶ παρέσχε.
5 Μωμητὰ σφίσιν ἔργα γενήσεται εἰς ἑνιαυτούς,
ἠὼς ἠριγενὴς παρελεύσεται οἷά περ ἄνθος·
6 **189** ἠὼς ἀνθήσειε καὶ ἀνθήσασα παρέλθοι,
ἑσπέρῃ αὖθις πέσοι κάρφοιτό τε πετρωθεῖσα·
7 σεῖο γὰρ ἀδρανέες γεγενήμεθα μηνίσαντος,
αἰνὰ κοτεσσαμένοιο ταρασσόμενοι βασιλῆος.
8 Δυσνομίας προύθηκας ἐπ' ὄμμασι σοῖσιν ἑτοίμους,
ζωὴ νωιτέρη τελέθει σέο φέγγος ὀπωπῆς·
9 ἐξ ὀλιγηπελίης ἴκελοι γεγενήμεθα καπνῷ
καί σευ ὀδυσσαμένοιο φίλην κατατηκόμεθ' ἀλκήν·
ἡμετέροις ἐτέεσσι πανείκελός ἐστιν ἀράχνης.
10 Ζωῆς ἀνδρομέης δεκάδες χρόνου ἑπτὰ πέλονται,
ἢν δ' ἔτεα ζήσαιμεν ἐπὶ πλέον, ὀγδοήκοντα·
τῶνδε κόπος καὶ μόχθος ἀεὶ βίου ἐστὶ περισσόν,
οὕνεκα μειλιχίη βροτέην δαμάσειε γενέθλην.
11 Τίς σέο χωομένοιο μέγα φρεσὶ κάρτος ἀνέγνω;
τίς σευ ἀριθμήσειεν ἀμειδέα δείματα θυμοῦ;
12 Δεξιτερὴν ἐρίτιμον, Ἄναξ, σφίσιν ὦδ' ἀναφαίνοις,
ὅσσοις ἀθανάτη σοφίη πραπίδεσσι μέμηλε.
13 Παύεο χωόμενος· τί νόον βαρύμηνιν ἀέξεις;
Σεῖο, Μάκαρ, δμώεσσι λιταζομένοις ὑποείκοις.
14 Ἐξ ἠοῦς ἐλέῳ βεβρίθαμεν, Ἄφθιτε, σεῖο,
190 τερπωλῇ καὶ εὐφροσύνῃ φρένας ἤματα πάντα,

ὧν χάριν ἡμερέων παρὰ σοὶ δεδμήμεθα μόχθοις,
ἀντ' ἐτέων, ὧν πρόσθεν ἐλεύσσομεν ἄλγεα τόσσα.
Δέρκεο σοὺς θεράποντας, Ἀκήρατε, καὶ σέθεν ἔργα,
τῶν δ' ἄρα παισὶ φίλοισι παλίσσυτος ἡγεμονεύοις.
Ἀγλαΐη Βασιλῆος ἀοίδιμος ἄμμι φανείη,
ἔργα δὲ νωιτέρων ἰθύνειας παλαμάων.

ΨΑΛΜΟΣ ϛ′

Αἶνον ἀγακλήεντα μέγας Δαυῒδος ἔμελψε
καλλιχόρων μελέων εἰς ἑνάτην δεκάδα.

Ἄφθιτα ναιετάων, ὑψαύχενος ἄλκαρ ὀπωπῆς,
ἐν σκέπαϊ Βασιλῆος ἐπουρανίοιο διάξει.
Ἐξερέει Βασιλῆι· βίη καὶ πύργος ἐτύχθης
καὶ Θεὸς ἄμμι πέλεις καὶ ἀοίδιμος ἐλπὶς ἀρωγῆς·
αὐτὸς ἐπεὶ ῥύσαιτο λίνοιό με θηρητήρων
μύθου τ' ἀσταθέος ταραχῆς περιπεπτηῶτος.
Αὐτὸς Ἄναξ σκιερῷ σε μεταφρένῳ ἀμφικαλύψει,
ἐλπίδα σὴν πτερύγεσσιν ὑπ' ἀθανάτοισι δοκεύοις,
ἀμφὶ δ' ἀληθείῃ θωρήξεαι οἷά περ ὅπλῳ.
Οὔ ποτέ μοι νυχίῳ περὶ δείματι δειμήνειας
191 οὐδὲ μεθημερίῳ πταμένου ῥοιζηδὸν ἰστοῦ,
οὐδ' ὑπὸ νισσομένου σκοτίους περὶ πυθμένας ἔργου
οὐδ' ὑπὸ δαιμονίοιο μεσημβρινοῦ ἀντιόωντος.
Ἐκ σέο μὲν λαιῆς παλάμης κατὰ χιλιὰς ἔρροι,
ἐκ δ' ἄρα δεξιτερῆς μάλα μυριὰς αὖθι πεσεῖται,
ἀλλ' οὔ τίς ποτε σεῖο δυνήσεται ἆσσον ἱκέσθαι·
ἔμπα γε μὴν καθαροῖσιν ἐν ὀφθαλμοῖσι δεδορκὼς
ἄξιον ἀμπλακίης κακοεργέος ὄψεαι ὦνον.
Αὐτὸς ἐπεί ῥ' ἐμέθεν φυσίζοος ἐλπὶς ἐτύχθης,
ἦ ῥα παρ' Ὑψίστῳ φορέεις τεόν, ἄλκιμε, θάρσος.
Μή ποτε δείδιθι πάγχυ κακῶν ξυνιοῦσαν ἀνάγκην
μηδ' ἀλύῃς, ὅτι σεῖο δέμας μάστιγι δαμείη·
ἀμφὶ σέθεν στρατιῇσιν ἐπουρανίοισι κελεύσει,
ὄφρα κεν ἐν πάσῃσι περιστιχόωσιν ὁδοῖσι·
καί σε, Μάκαρ, παλάμῃσιν ἀειράμενοι φορέοιεν,
μή ποτε τιμήεντα τεὸν πόδα λᾶι καθάψῃς.

Ἀσπίδα θαρσαλέως ἐπιβήσῃ καὶ βασιλίσκον,
ἰοβόλον δὲ δράκοντα ποσὶν καὶ θῆρα πατήσεις.
Ῥυσαίμην μιν ἐμῇ μεμελημένον ἐλπίδι θυμῷ,
εὖ δέ μιν ἀμφιέσω· μάλα γὰρ μάθεν οὔνομ' ἐμεῖο.
Τοῖο λιταζομένοιο θοώτερον αὐτὸς ἀκούσω
192 καί οἱ τειρομένῳ πέλας ἔσσομαι ἤματα πάντα·
ῥυσάμενος δέ ἑ κῦδος ἀεὶ μεγαλαυχὲς ὀπάσσω
καί μιν ἐνιπλήσαιμι ἀτερμάντοισι γενέθλαις,
νωλεμέως οἱ φέγγος ἀγήραον ἐξαναφήνω.

ΨΑΛΜΟΣ ϛΑ′

Πρῶτος ἑνενηκοστός τε τῶν σοφῶν μελῶν
ὁ ψαλμὸς οὗτος ἡμέραν εἰς σαββάτου.

Ὡς ἀγαθὸν Βασιλῆα μεγακλήεντα λιγαίνειν
καὶ πολυκύδιστον κιθάρῃ τεὸν οὔνομα μέλπειν
ἐξ ἠοῦς ἐρέοντι περιφραδέως ἐλεητὺν
καὶ σέο τιμήεσσαν ἀληθείην διὰ νυκτὸς
νεύρων πλεξαμένῳ δεκάδα φόρμιγγι λιγείῃ.
Ὡς γάνυμαι· μάλα γάρ με τεοῖς, Μάκαρ, ἔργμασι θέλγεις,
καὶ σέο θεσπεσίοισι νόον κεχαρήσομαι ἔργοις.
Τίς κεν ἀνυμνήσειε τεὴν μεγαλαυχέα τέχνην;
τίς πινυτὴν μέλψειε περὶ πραπίδεσσι βαθεῖαν;
Οὔ τίς τοι τάδε νῆις ἐνὶ φρεσὶν εἴσεται ἀνὴρ
οὐδ' ἀεσιφροσύνῃ μεμελημένος αὐτὰ νοήσει,
εὖτ' ἀδίκους θαλέθοντας ἐσόψεται ἠύτε χόρτον,
ὑψόθεν ὀπτεύοντας ἀθεσμοσύνης ὑποφήτας,
193 ὄφρ' αἰεὶ σφετέροιο κακοῖς ἄρξειαν ὀλέθρου.
Ἀθάνατος δὲ σὺ μοῦνος Ἄναξ ὕψιστος ἐτύχθης·
δυσμενέων ἀπόλοιτο τεῶν κακοεργέα φῦλα,
πανσυδίῃ δ' ἀνέμοισι κεδασθήσονται ἀλεῖται.
Οἷα δὲ μουνοκερῆος ἐμὸν κέρας ὑψόσε θύοι
καὶ πολιὸν θαλέθοι περὶ πίονι γῆρας ἐλαίῳ.
Δυσμενέων πολύμοχθον ἐμῶν ἴδον οἶτον ὀπωπῇ,
πικραῖς δ' ἀντιβίων τερφθήσομαι ἀγγελίῃσι.
Τῆμος ἄρ' ἀνθήσει ὅσιος βροτὸς οἷά τε φοῖνιξ,
ἴσα βριθόμενος χλοερῇ Λιβανίτιδι κέδρῳ.

14 Ὅσσοι θεσπεσίοισι δόμοις πεφυτευμένοι εἰσίν,
αὐλαῖς ἀθανάτῃσιν ἐπανθήσουσι θεοῖο·
15 πιαλέου πλήθοντες ἔτι περὶ γήραος ὥρῃ,
ὡς θέμις ἐσθλὰ παθόντες, ἀπαγγελέουσιν ἕκαστα,
16 οὕνεκεν ἰθύφρων βασιλεὺς Θεὸς αἰὲν ἐτύχθη
οὐδ' ἄδικον πραπίδεσσι νόον πινυτῇσι καλύπτει.

ΨΑΛΜΟΣ ϛΒ′

Ἥματι σαββάτου τὸ μέλος Δαυΐδος ἔμελψεν
ἀμφ' ἐνενηκοστὸν δεύτερον ἐκτελέσας.
Ἔστι γε μὴν πινυτοῖς ἀνεπίγραφον Ἑβραίοισιν.

1 Ἀθάνατος βασίλευσεν, ἑὸν δ' ἐνεδύσατο κάλλος·
194 δυσάμενος δ' ἐρατεινὸν Ἄναξ ἐζώσατο κάρτος,
ἀσφαλέως δ' ἀδόνητον ἀπείρονα θήκατο κόσμον.
2 Ἄφθιτε, σεῖο δὲ θῶκος ἑτοιμότατος πέλει αἰεί·
ἐκ παλαχῆς κόσμοιο, Μακάρτατος, ἔπλεο μοῦνος.
3 Πάντοθεν εὐκέλαδοι ποταμοὶ βοόωσι ῥεέθροις
ῥοίζῳ κυματόεντι λιλαιόμενοι κελαρύζειν.
4 Ἐξ ἀναειρομένων πολέων ὑδάτων ὀρυμαγδοῦ
πάντα πέλει θηητὰ μετήορα ἔργα θαλάσσης·
μοῦνος ἄναξ θηητὸς ἐν ὑψηλοῖσιν ἐτύχθη.
5 Μαρτυρίαι σευ, Ἄναξ, συμφράδμονα πίστιν ἔχουσι·
νηῷ ἀκηρασίῃ Βασιληίῳ αἰὲν ἀρήρει
ὥρῃ ἀτερμάντῳ καὶ ἐπ' ἦμασι μηκεδανοῖσιν.

ΨΑΛΜΟΣ ϛΓ′

Τετράδι σαββάτων γλυκερῶν Δαυΐδος ἄεισεν
ἀμφ' ἐνενηκοστὸν ἡδὺ μέλος τρίτατον.

1 Ἀθάνατος μετὰ πᾶσιν ἀεὶ πέλει ἔκδικος ἐσσήν·
οὔ τιν' ἐρευθιόων Βασιλεὺς ποινῇσι δικάζοι.
2 Καλὰ θεμιστεύων, ἀναείρεο, κοίρανε γαίης,
μισθὸν ὑπερφιάλοισιν ὑπερβασίας ἀποτίσοις.
3 Κλῦθι, Μάκαρ· τέο μέχρι βίῃ κρατέουσιν ἀλεῖται;
μέχρι τεῦ ἀμπλακίης ὑποφήτορες αὐχήσουσι;
4 **195** γλώσσῃ ἐρευγόμενοι κραδίης ἀθεμίστιον ὕβριν
καὶ σφέας ἀμφ' ἔργοισιν Ἄναξ σφετέροις ἀμαθύνοι.

ἐργατίναι κακότητος ἄδην ἐρέουσιν ἄπαυστα;
5 οἳ σέο λαόν, Ἄναξ, δαπέδῳ θέσαν ἶσον ἀνάγκῃ
καὶ κλῆρον κακότητι τεὸν διέπερσαν ἐλόντες·
6 ὀρφανικὸν κατέπεφνον, ἐχειρώσαντο δὲ χήρην
καὶ ξεῖνον δαμάσαντο νεήλυδα νόσφιν ἀρωγοῦ·
7 οὐδ' ὅπιν οὐρανίην βασιλήιον ἐμπάζοντο·
οὐ γὰρ Ἰακώβου δόκεον Θεὸν ἴδμεναι ὕβριν.
8 Ἀλλ' ἄγε σύνθεσθε κραδίῃ τάδε, νήπιοι, ἔργα·
οἷς πρὶν ἐπ' ἀφροσύνῃ βίοτος, ξυναγείρατε θυμόν.
9 Ἦ ῥ' ἀκοὴν ἑτέροισι διδοὺς οὐ μᾶλλον ἀκούσει;
ἢ φάεος γενέτης ἑτέρων οὐκ ὄψεται ἔργα;
10 ἔθνεα παιδεύων κακίην οὐκ οἶδεν ἐλέγχειν,
ὃς μοῦνος μερόπεσσι νοήματα πάντα φυτεύει;
11 Μαψιδίην δεδάηκεν Ἄναξ μεροπηίδα βουλήν.
12 Ὄλβιος, ὅς ῥα τεῇσιν ὑπ' ἐννεσίῃσι δαμείη
θεσμοτόκους μελεδῶνας ἑαῖς φρεσὶ σεῖο νοήσας,
13 μείλιχα βουλεύων, κακίης ἵνα καιρὸν ἀλύξῃ,
βόθρος ἕως δυσάλυκτος ἀτασθάλλοντι φανείῃ·
14 οὐ γὰρ ἑῆς ποτε λαὸν ἀπορρίψειεν ὀπωπῆς
οὐδὲ καταφθιμένην σφετέρην ὑπερόψεται αἶσαν,
15 εἵως κρῖμα τεκοῦσα δικαιοσύνη πάλιν ἔλθῃ
196 πάντας ἀποκρεμόωσα φίλων ἰθύφρονας ἔργων.
16 Τίς μ' ὀλοῶν τεύξειεν ἀναστήσας ὀλετῆρα;
τίς δέ με θωρήξας ἀνόμων ἐπὶ δῆριν ἐγείροι;
17 Εἰ μή μοι μενέχαρμος Ἄναξ ἐπιτάρροθος ἔστη,
καί κεν ἐμὸς πεπότητο συνέστιος Ἄιδι θυμός·
18 εὖτε γὰρ ὀκλάζοντι νόῳ ποδὶ φύζαν ἐδέγμην,
αὐτίκα σή μ' ἐλεητύς, Ἄναξ, ἐσάωσε φανεῖσα.
19 Ὅσσον δ' ἀμφ' ὀδύνῃσιν ἀμέτρητον φέρον ἄλγος,
σῇσι παραιφασίῃσιν ἐμὸν περὶ θυμὸν ἰάνθην.
20 Μή τοι θῶκος, Ἄναξ, ἀθεμίστιος ἐγγύθεν ἔστω,
ὅς τις ῥιγεδανῷ τελέει θεσπίσματι μόχθον
21 ἀνέρος ἰσχανόων ὁσίου διὰ θυμὸν ὀλέσσαι,
μαψιδίως ποθὲν οἷτον ἀναιτίῳ αἵματι ῥάπτειν.
22 Ἀλλά μοι αὐτὸς Ἄναξ πανυπέρτατος ἔρκος ἔγεντο,
ἐλπωρῆς ἐπίκουρος ἐμῆς Θεὸς ἦλθεν ἑτοῖμος,
23 ὃ κείνοις ὀπάσειεν ἑῆς ἀντάξια λώβης

ΨΑΛΜΟΣ ϟΔ′

Δαυίδου πινυτοῦ καλλιχόρου κιθάρης
ἀμφ᾽ ἐνενηκοστῇ τετράτῃ εὐεπίῃ.

1 Δεῦτ᾽ ἐπαγαλλόμενοι γηθήσομεν ἀμφὶ Ἄνακτι,
197 μέλψομεν ἀθανάτῳ παιήονα Ποιμένι κόσμου·
2 ἀμφ᾽ ἀγανοφροσύνῃ θείην μεθέπωμεν ὀπωπήν,
γηθόμενοι ψαλμοῖσιν ὁμῶς ἀλαλάξομεν ὕμνον,
3 οὕνεκα δὴ μετὰ πᾶσι Θεὸς μέγα κάρτος ἀέξει
καὶ πάντων μακάρων βασιλεύτατος αὐτὸς ἐτύχθη.
4 Οὔ ποτ᾽ ἀπορρίψειε φίλον καὶ ἐνηέα λαὸν
ἀθανάτῳ παλάμῃ μεθέπων κλυτὰ πείρατα γαίης,
οὔρεσιν ὑψικόμοισιν ὑπέρτατος ἐμβασιλεύων·
5 αὐτὸς πόντον ἔτευξεν, ἀνακτορίῃ δέ μιν ἴσχει,
καὶ χθόνα πουλυβότειραν ἑαῖς τεκτήνατο χερσί.
6 Δεῦτε λιταζόμενοι περὶ γούνασιν οἷσι πέσωμεν,
ἄντα Θεοῦ κλαύσωμεν, ἑὸν δ᾽ οἰκτίσσεται ἔργον,
7 οὕνεκεν ἡμερίων Βασιλεὺς ἅμα καὶ Θεὸς αὐτός,
τοῦ δ᾽ ἡμεῖς ἄρα λαὸς ὁμοῦ καὶ θρέμματα ποίης.
8 Σήμερον εἴ κεν Ἄνακτος ἀκούσαιτ᾽ οὔασιν αὐδήν,
μή τινι χαλκείῃ κραδίῃ καὶ ἀμείλιχος εἴῃ,
ὡς ὁπότ᾽ ἀθανάτου κραδίην ἐρεθίζετε ἔργοις,
ὡς πάρος, εὖτε Θεοῖο κατὰ τρηχεῖαν ἔρημον
9 ὑμέτεροι τὸ πρόσθεν ἐπειρήσαντο τοκῆες,
οἵ μευ τεσσαράκοντ᾽ ἐτέων ἴδον ἔργα καὶ ἀλκήν·
10 **198** ἔνθεν ἐγὼ κείνην ὁλοὴν ἔστυξα γενέθλην,
ἐκ δ᾽ ἐφάμην· κραδίῃσι διηνεκέως ἀλάληνται,
ἠμετέρας δ᾽ οὐ πάμπαν ἀπεφράσσαντο κελεύθους.
11 Ὤμοσα μηνίσας, μὴ σφέας κατάπαυσιν ἰδέσθαι.

ΨΑΛΜΟΣ ϟΕ′

Δώματος αἰγλήεντος ἀνεγρομένου Βασιλῆος
Δαυΐδος κελάδησεν Ἄναξ μετὰ ληίδος αἴσαν
ἀμφ᾽ ἐνενηκοστῷ πέμπτον ἄεισμα λιγύ.

1 Μέλψατέ μοι Βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,
πᾶσα μεγασθενέτην ἀναμέλψατε ποιμένα γαῖα·

2 οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος,
αἴσιον ἦμαρ ἐπ᾽ ἦμαρ ἑὸν σημήνατε φέγγος.
3 Ἔθνεσι παντοδαποῖσιν ἐὴν ἀγγείλατε τιμήν,
θαύματα τιμήεντα Θεοῦ μηνύσατε λαοῖς,
4 οὕνεκα δὴ μέγας ἐστὶ καὶ αἰνετὸς αἰὲν ἐτύχθη
καὶ δέος ἐν πάντεσσι θεοῖς κρατερώτατον ἴσχει·
5 δαιμονίων εἴδωλα θεοὶ πέλον ἔθνεσι πάντες,
οὐρανὸν αὖ πολύχαλκον ἑῇ Θεὸς ἔκτισε βουλῇ.
6 Αἶνος καὶ μέγα κάλλος ἑῶν κατεναντίον ὄσσων,
νηῷ ἀκηρασίῃ καὶ ἀριπρεπὲς ἥρμοσεν εὖχος.
7 **199** Οἴσετε τιμήεντι φερώνυμον εὖχος Ἄνακτι,
8 οἴσετε παμβασιλῆι Θεῷ τιμήν τε καὶ εὖχος,
δεξάμενοι θυσίας σφετέρας νίσσεσθε ἐπ᾽ αὐλάς,
9 αὐλῇ ἐν εὐαγέι λιτανεύσατε Ποιμένα κόσμου.
Ἄντα Θεοῦ χθὼν πᾶσα ταρασσέσθω βασιλῆος.
10 Εἴπατέ μοι δήμοισι· Θεὸς μετὰ πᾶσιν ἀνάσσει·
καὶ γὰρ κύκλον ἔρεισε, τὸν οὐ χρόνος οἶδε δονῆσαι·
λαοὺς ἰθυπόροισιν ἀεὶ θεσμοῖσι δικάζοι.
11 Οὐρανοὶ εὐφραίνοιντο, ἀγαλλέσθω δ᾽ ἅμα γαῖα,
πόντος ὀρινέσθω καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
12 καρποτόκοις πεδίοισιν ὁμοῦ σύμπαντα χαρείη.
Δὴ τότε γηθήσειεν ὁμοῦ δρυμὰ πυκνὰ καὶ ὕλη
13 ἄντα Θεοῦ μετὰ γαῖαν ἐπειγομένου βασιλῆος·
ἤλυθε γὰρ μερόπεσσιν ὀιζυροῖσι δικάζειν
πάντας ὑπ᾽ εὐδικίης καλέων ἀψευδέα θεσμόν,
γλῶσσαν ἀληθείῃ προχέων ἀκλινέα λαοῖς.

ΨΑΛΜΟΣ ϟϚ′

Δαυίδου, παλίνορσον ἑὴν ὅτε δέξατο γαῖαν,
ἀμφ᾽ ἐνενηκοστῷ ἕκτον ἄεισμα φίλον.

1 Χαῖρε, χθών, σέθεν ἦρξεν, ὃς οὐρανίοισιν ἀνάσσει,
200 χαίρετ᾽ ἐπ᾽ ἀγλαΐῃ, νῆσοι πολιῆς ἁλοσύδνης.
2 Ἐγγὺς Ἄναξ νεφέλῃ πεπυκασμένος ἠδὲ θυέλλῃ,
θῶκον ὑπ᾽ εὐδικίῃ κρίσιος πέρι πάντα πυκάζων.
3 Κοιρανίης σθεναρῆς προπορεύσεται αἰθόμενον πῦρ,
ὄφρα κεν ἔνθα καὶ ἔνθα καταφλέξειεν ἀλείτας.

4 Χθὼν ὑπὸ θεσπεσίῃσιν ἐλάμπετο μαρμαρυγῇσιν·
ὡς δ' ἴδεν, ὡς δεδόνητο θεμείλια πάντοσε γαίης.
5 Οὔρεα δ' ἀμφὶ Ἄνακτι ὁμῶς κατετήκετο κηρῷ
γαίης παντοδαπῆς κατεναντία Παμβασιλῆος.
6 Οὐρανοὶ ἀστερόεντες ἀνήγγειλαν θέμιν αὐτοῦ
καὶ κλέος εἶδον ἅπαντες ἐπουρανίου Βασιλῆος.
7 Αἰδείσθων προκυλινδόμενοι γλυπτοῖσι πάροιθε,
κῦδος ὅσοι παρέχουσιν ἐνὶ σφετέροις εἰδώλοις·
ἄγγελοι αἰγλήεντες, ὁμῶς ὑποκλίνατε γοῦνα.
8 Τάρπη ἔῃσιν ἐνὶ φρεσὶν ἔξοχα οὔρεα Σιὼν
καὶ πραπίδεσσι χάροντο ποσίκροτ' Ἰούδα κοῦραι
ὑψιμέδοντος ἕκητι μεγασθενέος σέο δίκης·
9 οὕνεκα μοῦνος ἔπλευ, πανυπέρτατε, τέρμασι γαίης,
ὡς οὔ τις, κλυτόμητι, λίην Θεὸς ὑψώσ' ἀέρθης.
10 Ἐκ κραδίης φιλέοντες οἷον Θεόν, μέρμερα θέσθε·
ὧν θυμὸν φιλέει πανεπίσκοπος ἔξοχα δούλων,
201 καί σφεας αἰὲν ῥύσετ' ἀλάστορος ἐκ παλαμάων.
11 Ἀντολίη περίλαμψεν ἐνὶ βλεφάροισι δικαίου
τερπωλή τ' ἐφύπερθεν ἐσίκετο εὐθέων ἦτορ.
12 Παμβασιλῆι χάρητε, ἀμύμονες ἰθυδίκαι,
καὶ βροτέοις οὔασιν ἐνήσατε τοῖό γε μνήμην.

ΨΑΛΜΟΣ ΟΖ'

Καὶ τόδε ἀμφ' ἐνενηκοστῷ ἕβδομον ἦσε Δαβῖδος.
Ἀμφ' ἐνενηκοστῷ ἕβδομον ἡδὺ μέλος
Δαυίδου λιγυρῇ μελπομένου κινύρῃ,
Δαυῖδος τόδε ἀμφ' ἐνενηκοστῷ ἕβδομον ἦσε.

1 Μέλψατέ μοι Βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,
μοῦνος ἐπεὶ θητὰ σοφαῖς ποιήσατο χερσί·
δεξιτερῇ σφετέρῃ ζωαρκέι πάντα σάωσε
καὶ πολυκυδήεντι βραχίονι πάντα φυλάσσει.
2 Παντοδαπῶν ἀλκτῆρα κακῶν ἀνέφηνε βροτοῖσιν
ἀθάνατον κατέναντα πολυσπερέων γενεάων,
σφωιτέρην ἀνέτειλε δικαιοσύνην ἐρατεινήν·
3 μνήσατο γὰρ κατὰ θυμὸν Ἰακώβοιο μελάθρων
εἰό τ' ἀληθείης περὶ δώμασιν Ἰσραήλου·

ἀμφαδίην ἐνόησαν ὅλης κλυτὰ πείρατα γαίης
φέγγος ἀλεξίκακον μεγαλοσθενέος Βασιλῆος.
4 Πᾶσα μεγακλήεντ' ἀλαλάξατε ποιμένα γαῖα,
202 ψάλλετε γηθόσυνοι, λιγυρῷ δ' ἀναμέλψατε κώμῳ·
5 εὐκελάδῳ κιθάρῃ φορμίζετε Παμβασιλῆι,
6 ἀμφ' ἐλαταῖς σάλπιγξι καὶ ᾗ κέρας ἴαχε βόμβον·
ἀντίον ἀθανάτου ἀλαλάξατε Παμβασιλῆος.
7 Πόντος ὀρινέσθω καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
κύκλος ὅλος καὶ πάντα, τά περ χθόνα ναιετάουσι·
8 χερσὶν ἀγειρέσθων ποταμοὶ πλαταγεῦντες ὁμαρτῇ,
οὔρεα τερπέσθων θείου κατέναντα προσώπου·
9 εἶσι γάρ, ἦλθε δὲ μᾶλλον, ὅπως χθονὶ καλὰ δικάζοι
πάντας ὑπ' εὐδικίης καλέων ἀψευδέα θεσμόν,
γλῶσσαν ἐπεσσυμένοις προϊεὶς ἀκλινέα λαοῖς.

ΨΑΛΜΟΣ ΟΗ'

Ἀμφ' ἐνενηκοστῷ ὄγδοον ἡδὺ μέλος
Δαυίδου λιγυρῇ μελπομένου κινύρῃ.

1 Ἀθάνατος βασίλευσε Θεός· μὴ χαίρετε λαοί·
ἥμενος ἦλθε Χερουβίμ, ὅλης χθονὸς ἔρμα δονείσθω.
2 κλεινὸς ἄναξ [Σιῶνι] μέγας λαοῖσί τ' ἀγητός.
3 Μελπόντων ἅμα πάντες ἀγήραον οὔνομα σεῖο,
οὕνεκα δὴ φοβερόν τε καὶ ἀπροτίοπτον ἐτύχθη
4 **203** καὶ τιμὴ βασιλῆος ἀεὶ θέμιν ἀμφαγαπάζει.
Αὐτὸς Ἰακώβῳ ἰθύφρονα δῶκας ἐρωήν,
εὐδικίην ψῆφόν τε τεῶ πόρες Ἰσραήλῳ.
5 Ἄφθιτον ἡμείων ἀναείρατε Παμβασιλῆα
λισσόμενοι θρῆνυν σφετέρην· ἅγιος γὰρ ἐτύχθη.
6 Μωσῆς ἀμφ' ἱερεῦσι μέγας καὶ ἀοίδιμος Ἀαρών,
ἐν δὲ λιταζομένοισι Σαμουῆλος μενέχαρμος·
κεῖνοι μὲν λιτάνευον, ὁ δ' ἀντεφθέγγετο φωνῇ
7 καὶ σφέας ἐκ νεφέλης σταθερῆς ἠμείβετο μύθῳ·
ἐσθλοὶ μαρτυρίης φύλακες ἐγένοντο Θεοῖο,
θείων δ' οὐκ ἀμέλησαν, ὅσων μάθον, ἐννεσιάω.
8 Ἄφθιτε, σὺ σφίσι δῶκας ἀπ' οὐρανοῦ οὗας ἑτοῖμον,

καὶ θυμὸς μετὰ τοῖσιν ἀεὶ σέθεν ἵλαος ἦεν·
πάντα δ', ἅ κεν ῥέζεσκον, ἐπιθύνεσκες ἀρωγῇ.
9 Ἄφθιτον ἡμείων ἀναείρατε Παμβασιλῆα,
ἀχράντῳ δέ μιν αἰὲν ἐν οὔρεϊ γουνάζεσθε,
οὕνεκα δὴ μετὰ πᾶσιν Ἄναξ ἄχραντος ἐτύχθη.

ΨΑΛΜΟΣ ΚΘ'

Ἀμφ' ἐνενηκοστῷ εἴνατον ᾆσμα κλυτόν·
ᾖσεν Δαυῖδος μελπόμενος κιθάρᾳ.

1 Πᾶσα μεγακλήεντ' ἀλαλάξατε Ποιμένα γαῖα,
2 **204** ἀθανάτου χαίροντες ὑπὸ ζυγὸν αὐχένα θέσθε,
σπεύσατε γηθόμενοι θείων κατεναντίον ὄσσων,
3 αὐτὸν ἀεὶ πραπίδεσσι νοήσατε Παμβασιλῆα.
Ζωὴν αὐτὸς ἔτευξε βροτοῖς, οὐχ ἡμέες αὐτοί,
αὐτὸς ἔτευξ' ἡμέας, οὐδ' ἡμεῖς ἄρκιοί εἶμεν,
ἡμεῖς αὖθ' ἕο λαὸς ὁμοῦ καὶ θρέμματα ποίης.
4 Σπεύσατε μελπόμενοι θείων ἔντοσθε πυλάων,
ἐν δ' αὐλαῖς βασιλῆα Θεὸν λιτανεύσατε μολπῇ·
οὔνομα μέλψατε θεῖον ἐπὶ χθονὶ μείλιχον αἰεί,
5 νωλεμέως ἐλεητὺν ἐπεὶ μετὰ πᾶσι φυλάσσει,
ἐκ γενεῆς γενεὴν δὲ φέρει παναληθέα βουλήν.

ΨΑΛΜΟΣ Ρ'

α. Ψαλμὸς ὧδ' ἑκατοστὸς Δαυίδου πέλει.

β. Δαυῖδος ᾖσεν ᾆσμ' ἑκατοστὸν τόδε.

1 Εἰν ἐνί σεῦ ποινήν, Βασιλεῦ, ἔλεόν τ' ἀναμέλψω,
2 φορμίζων ξυνίοιμι ἀμωμήτοις ἐν ἀταρποῖς·
δέγμενος ὁππότε δή μοι ἀφίξεαι, ἄφθιτε Ποιμήν;
Ἀμφ' ἀγανοφροσύνῃ διὰ δώματος ἤια μέσσῳ
3 οὐδὲν πάμπαν ἄθεσμον ἐν ὀφθαλμοῖσι δοκεύων,
ἀλλ' ἔτι καὶ στυγέων ἀλιτήμονας ὑβριστῆρας.
Οὐδέ ποτ' ἀλλοπρόσαλλος ἐμοὶ πάρος ἤνδανε μῆτις·
4 **205** φεῦγε μὲν αἰνὸς ὄφις, δολερῶν δ' ἀδάητος ἔμιμνον,
5 οὗας ἐμὸν πέφρακτο κακηγορέοντος ἀκοῦσαι,
οἷα δὲ λυμαντῆρα φίλων ἐδίωκον ἑταίρων·

ἀπλήστῳ κραδίῃ καὶ ὑπερφιάλοισιν ὀπωπαῖς
οὐκ ἔθελον παρὰ δαιτὶ φίλος καὶ ὁμέστιος εἶναι.
6 Ἀνδράσιν ἀμφ' ὁσίοισιν ἐμαὶ τετάνυσθεν ὀπωπαί,
ξυνὸν ὅπως μοι θῶκον ἅμ' ἑδριόωντες ἔχοιεν·
δρηστῆρ' ἀτραπιτοῖς ὁσίαις μεμελημένον εἶχον.
7 Οὐδέ μοι ἐνναίεσκε δόμοις ὑπερήφανος ἀνὴρ
οὐδ' ἄδικον λαλέων μευ ἐναντίον ἤλυθεν ὄσσων.
8 Ἠῶθεν κατέπεφνον ἀτασθαλίης ὑποφήτας
δυσνομίης μεμαὼς δαμάσαι θεράποντας ὀλέθρῳ.

ΨΑΛΜΟΣ ΡΑ'

1 *Εὐχωλὴ πτωχοῖο κακῇ βεβαρηότος ἄτῃ,*
εὖτε μάλ' εὐχωλὴν προχέῃ κατέναντα Θεοῖο,
ἔμπα γε μὴν ἑκατοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.

2 Εὐχῆς ἡμετέρης ἐπικέκλυθι, φέρτατε Ποιμήν,
οὔασι δευομένοιο τεοῖς ὑποδέχνυσο φωνήν.
3 Μή μευ σὴν χαρίεσσαν ἀποστρέψειας ὀπωπήν·
τειρομένῳ κλίνειας, Ἄναξ, ὀξεῖαν ἀκουήν·
εὖτε, Μάκαρ, καλέσω σε, θοῶς φίλον οὖας ἐρείδοις,
4 οὕνεκ' ἐμὴ ζωὴ ἰκέλη κατετήκετο καπνῷ,
ὀστέα δ' ἀζαλέῳ φρυγίῳ κατεκαίεθ' ὁμοῖα.
5 **206** Ἐπλήγην ἅτε χόρτος, ἐμὸς δ' ὑπεκάρφετο θυμός,
γαστέρι δ' ἐκλαθόμην δόμεναι φίλον ἄρτον ἀνάγκης.
6 Νωιτέρῃ στοναχῇ περιπίλναται ὀστέα σαρκί.
7 Δέρκεσθαι φαίης κεν ἐρημονόμον πελεκᾶνα
ἢ νυκτὸς κόρακα ψιλῶν δαπέδων ναετῆρα
8 ἢ στρουθόν τιν' ἄυπνον ἐόντ' ἐν δώματι μοῦνον.
9 Δυσμενέες μ' ἐπέεσσι πανημέριον στυφέλιζον,
οἱ δὲ γεραίροντές με μάτην ἐπίορκον ὄμοσσαν,
10 οὕνεκα τειρόμενος πασάμην σποδὸν ἄρτῳ ὁμοίην
καὶ γοεροῖς πιόμην ἅμα δάκρυσι πῶμα κεράσσας
11 μήνιος ἐξ ὀλοῆς, Πανυπέρτατε, καὶ σέο θυμοῦ,
οὕνεκεν ὑψώσας μ' ἐξ αἰθέρος ἔκβαλες αὖτις.
12 Ἡμετέρης αἰῶνος, ὅπως σκιή, ἤματα λήγει,
χόρτῳ δ' ἀζαλέῳ πανομοίιος αὐτὸς ἀτύχθην,

13 μοῦνος ἐπεὶ ζώοντα διηνεκέως βίον ἔλκεις
ἐκ γενεῆς γενεὴν δὲ βροτοῖς μνημήιον ἴσχων.
14 Αὐτὸς ἀνεγρόμενος, Βασιλεῦ, Σιῶν' ἐλεαίρεις·
ὥρη γὰρ μάλα τήνδε πιεζομένην ἐλεαίρειν,
καὶ δὴ καιρὸς ἐκεῖνος ἐπέχραεν, ὃν πρὶν ἔδεκτο.
15 Οὔνεκά σοι θεράποντες ἑαῖς λάϊγξιν ἔθεντο,
207 καὶ σφέτερον κραδίῃσι κονίσαλον οἰκτίσσονται.
16 Πάνθ' ἅμα δειμήνειαν, Ἄναξ, τεὸν οὔνομα φῦλα,
πάντες σὴν τρομέοιεν ἐυκλείην βασιλῆες,
17 οὕνεκα τεκτήνειε Θεὸς Σιῶνα πεσοῦσαν
ἀμφαδίην μερόπεσσι φαεινόμενος κατὰ γαῖαν.
18 Ἱκεσίην χθαμαλῶν Πανεπίσκοπος ἔδρακε ποιμὴν
οὐδέ τ' ὀνοσσάμενος σφετέρων ἀμέλησε λιτάων
19 γράψατε δή μοι ταῦτα μετ' ὀψιγόνοισι γενέθλαις,
καὶ λαὸς σέο χερσὶ γενησόμενός σε βοήσει·
20 οὕνεκεν ὑψόθεν αὐτὸς ἐπεσκοπιάζετο κύψας,
οὐρανόθεν μετὰ γαῖαν ἑὴν ἐτάνυσσεν ὀπωπήν,
21 ἰλλομένων ὄφρ' οἶκτον ἀλυκτοπέδῃσι πύθοιτο
καὶ δεσμῶν φίλα τέκνα καταφθιμένων ἀπολύσῃ,
22 οὔνομα δ' αὖ Σιῶνι πολύλλιτον ἐξαναφήνῃ,
ἐν δ' Ἱερουσαλῆ λιγυρὸν καὶ ἀοίδιμον αἶνον
23 ὄφρα κε παντοδαπῶν πολίων ἄπο λαὸν ἀγείρῃ,
αὐτὰρ κοιρανίῃσιν ἐὸν ζυγὸν αὐχένι θήῃ.
24 Νισσόμενος σθεναρῶς μιν ἀμείβετο καὶ φάτο τοῖα·
208 εἰπέ μοι ἡμετέρας ὀλίγας βιότοιο κελεύθους,
25 μηδ' ὥρης προπάροιθε ταμὼν βιότόν με καλέσσῃς·
σεῖο, Μάκαρ, γεγάασι διηνεκέες ἐνιαυτοί.
26 Ἀρχόμενος τὸ πρῶτον ἐπεστηρίξαο γαῖαν,
καὶ χειρῶν τελέθουσι τεῶν, Μάκαρ, οὐρανοὶ ἔργα.
27 Αὐτοὶ ἀποφθίσονται, ἀτὰρ σύ μοι ἄφθιτος εἶῆς·
εἰδόμενοι πέπλοισι παλαιγενέεσσιν ὅλοιντο,
πάντα δ' ἐναλλάξουσιν ἑλισσόμενοι ἅτε φᾶρος·
28 αὐτὸς δ' ἄφθιτός ἐσσι, βίος δέ τοι οὔ ποτε λήξει.
29 Δρηστήρων σέθεν υἷες ἀεὶ κλισίῃσι παρεῖεν
καὶ σφέων οὐ λήξειεν ἐπιθύνουσα γενέθλη.

ΨΑΛΜΟΣ ΡΒ'

Ὕμνος Δαυίδου, ὃς δεύτερος ἀμφ' ἑκατοστῷ.

1 Θυμέ, τεὸν Βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε,
οὔνομα δ' αὐτοῦ μέλπετ' ἀκήρατον, ἔγκατα πάντα.
2 Θυμέ, τεὸν Βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε
μηδὲ θεοπρεπέων ἱερῶν τ' ἐπιλήθε' ἀμοιβῶν·
3 **209** παντοίης ἀνάμελπε κακορραφίης ἐλατῆρα,
αἴνεε παντοίων κρυερῶν ἰήτορα νούσων,
4 σεῖο δυσηλεγέως φθιμένου ῥυτῆρα βίοιο,
ὅς ῥ' ἐλεημοσύναις τε καὶ οἰκτιρμοῖσι πυκάζει,
5 ἀλλήκτοις ἀγαθοῖσι σέθεν καταθύμια ῥέζει·
αὖτις ἀνηβήσειας ἄτ' αἰετὸς ὑψιπετήεις.
6 Κλεινὸς Ἄναξ ἐλεητὺν ἀεὶ δεδάηκε τελέσσαι
ἀθανάτην πάντεσσι δικαιοσύνην ἀναφαίνων.
7 Θεσπεσίας ἀνέφηνε σοφῷ Μωσῆι κελεύθους,
υἱάσιν αἰγλήεντος ἀεὶ νόον Ἰσραήλου.
8 Οἰκτίρμων μετὰ πᾶσι πέλει Θεὸς ἠδ' ἐλεήμων,
ἡγητὴρ ἐλέοιο καὶ ἠπιόθυμος ἐτύχθη.
9 Οὐκ αἰεὶ κρυόεντα κότον στέρνοισιν ἐρύξει
10 οὐδ' ἡμῖν ἐτέλεσσεν ἐπάξια δυσφροσυνάων
πικρὸν ἐν ἀμπλακίῃ βαρυπήμονι μισθὸν ὀπάζων,
11 ἀλλ' ὅσον ἀστερόεις μέγας οὐρανός ἐστ' ἀπὸ γαίης,
τόσσον ἀνηέξησεν Ἄναξ ἐλεητὺν ἐρίθοις·
12 ὁππόσον ἀντολίαι δύσιος γεγάασιν ἄνευθε,
τόσον δυσνομίας μερόπων μεθέηκε φέρεσθαι·
13 ὡς δὲ πατὴρ παίδεσσιν ἑοῖς φρένα μείλιχον ἴσχει,
ὣδε Θεὸς θεράποντας ἑοὺς οἰκτίσσατο θυμῷ·
14 ἔγνω γὰρ Θεὸς ἔργμα, τό περ τεκτήνατο χερσί·
210 μνῆσαι, Παμβασιλεῦ, ὅτι τοι κόνις εἰμὲν ἀφαυρή.
15 Ἀνδρομέῃ χόρτῳ πανομοίιός ἐστι βιώνη
ἄνθεσιν ἶσ' ἔρπουσα μινυνθαδίοισιν ἀρούρης,
16 ἣ ψυχῆς πταμένης μελέων ἐξέφθιτο πᾶσα
οὐδὲ δόμον βλεφάροισιν ἑὸν γνοίη κεν ἰδοῦσα.
17 Εὖ δ' ἔλεος Βασιλῆος ἀεὶ τρομέουσιν ὀπηδεῖ
καὶ σφέων υἱωνοῖσι μεθ' υἱέας αἶσια ῥέζει,

18 οἷς περὶ θεσπεσίη φυλακὴ μέλει ἁρμονιάων,
οὐδέ οἱ ἐξελάθοντο διαμπερὲς ἐννεσιάων.
19 Οὐρανῷ ἀστεροέντι Μάκαρ τεκτήνατο θῶκον,
20 καί οἱ ἀνακτορίης κρατέει μέγα κῦδος ἁπάντων.
Ἄγγελοι αἰγλήεντες, ὁμοῦ κελαδήσατ' Ἄνακτα,
21 ἄλκιμοι, οἷσι μέμηλεν ἐφημοσύνη Βασιλῆος.
Ἀλκαὶ παντοδαπαί, κελαδήσατε Παμβασιλῆα,
22 οἷς τ' οὖας μεμέληται ἐπ' ἀθανάτῃσιν ἀνωγαῖς.
Ἔργα πολυκλήεντα Θεοῦ, κελαδήσατ' Ἄνακτα,
κοιρανίῃσιν ἃ κάρτος ἀεὶ τετανυσμένον ἴσχει·
θυμέ, τεὸν Βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε.

ΨΑΛΜΟΣ ΡΓ'

211 *Δαυίδου λιγυρὸν τρίτατον μέλος ἀμφ' ἑκατοστῷ.*

1 Θυμέ, τεὸν Βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε·
ἄφθιτε Παμβασιλεῦ, μάλα τοι μέγα κῦδος ἀέρθη.
Δύσαο πάντοθεν αἶνον ὁμοῦ καὶ ἀριπρεπὲς εὖχος
2 ἀμφιβαλὼν ἅτε φᾶρος ἀκηράσιον μέγα φέγγος,
ἐκτανύων ῥινῷ μέγαν οὐρανὸν ἶσον ὁρᾶσθαι,
3 ὕδασιν ἀχράντοις ὑπερώια κλεινὰ καλύπτων,
ἴχνεσιν ἀθανάτοις νέφεα στηρίγματα τεύχων,
σπερχομένων ἀνέμων πτερύγων ἔπι μακρὰ βιβάσθων,
4 ἀγγελίην στρατιὴν ἰθύδρομα πνεύματα ῥέζων,
εἰς δὲ βίην φλογεροῖο πυρὸς δρηστῆρας ἀμείβων
5 πυθμένα παγχάλκειον ἐπεστηρίξατο γαίῃ,
ὄφρα βίην ἀδόνητον ἀεὶ φορέουσα φυλάσσοι.
6 Φάρεϊ θεσπεσίην ἰκέλην περιθήκατ' ἄβυσσον,
ὑψικόμων στήσοντ' ὀρέων ὕπερ ὕδατα πολλά.
7 Ἀλλὰ τράποιντ' ἐπὶ φύζαν ὁμοκλήσαντος Ἄνακτος,
καί σευ ὑποδδείσουσιν ὑπερμενέος κτύπον αὐδῆς.
8 Οὔρεα μὲν βαίνει, χθαμαλὴ δέ τις εἴδεται αἶα
κεῖσ', ὅθι δὴ μετὰ τοῖσι θεμείλια πήξαο χώρων.
9 **212** Πήξαο τέρμα, Μάκαρ, τό περ οὐ παρελεύσεται ἄλλος,
οὐδὲ φίλην ποτὲ γαῖαν ἀποστρέψουσι καλύψαι.
10 Γαίης τρηχαλέης προϊεὶς μετὰ ῥήγμασι πηγὰς
ὑψικόμων ὀρέων διελεύσεται ὕδατα μέσσον·

11 θηρσὶν ὀρεσσικόμοισι διὰ δρυμὰ πῶμα φανείη,
ἔθνος διψαλέων σε μένοι παντοῖον ὀνάγρων·
12 αἰθέρος αὖτ' ἐπὶ τοῖσι παραστίψει πετεηνά,
μεσσόθι πετράων σθεναρῶν δώσουσιν αὐτήν.
13 Πιαίνων ὑπερωιόθεν σέθεν οὔρεα, Ποιμήν,
γαῖα φερεζώων πλησθήσεται ἐκ σέο καρπῶν
14 χόρτον τετραπόδεσσιν ἐπαντέλλουσα μελιχρόν,
αὐτὰρ δουλοσύνη χλοερήν με ὀπηίδι ποίην,
ἐκ χθονὸς ὄφρα κε καρπὸν ἄγοι μελιηδέα σῖτον
15 καὶ θνητῶν κραδίῃσι πόροι πολυγηθέα οἶνον
ὄμματα πιαίνων λευκόχροος αἵμασ' ἐλαίης
ἄρτῳ τ' ἀνδρομέην κραδίην τρομέουσαν ἐρείδων.
16 Καρποτόκου πεδίοιο κόρος ξύλα μυρί' ὀφέλλοι
καὶ κέδρους Λιβάνοιο τεῶν, Μάκαρ, ἔρνεα χειρῶν·
17 κεῖσε νεηγενέων πέλεται στρουθῶν ἀλεωρή,
213 δῶμα φίλον πτερόεντος ἐρωδιοῦ ἡγεμονεύει.
18 Οὔρεα μακροπόροις ἐλάφοις σκιόεντα μέμηλε,
πέτραις ἠλιβάτοις περιθαρσέες εἰσὶ λαγωοί.
19 Καιρῶν ἔμπορον αὐτός, Ἄναξ, τεκτήναο μήνην,
ἠέλιος φαέθων σφετέρας ἐφράσσατο δυσμάς.
20 Ὄρφνη ἀμείδητος σημήιον ἔπλετο νυκτός,
νὺξ δ' ἄρα θηροκόμος· φιλέουσι δὲ θηρία νύκτα
21 καὶ σκύμνοι μεμαῶτες ἀναγκαίην ἐπὶ θήρην,
σφωιτέρην θαλίην θεόθεν διζήμενοι αἰεί.
22 Ἠελίου ξυνάγερθεν ἐπὶ χθονὶ λαμπομένοιο
καὶ λέχος ἠντύναντο παρὰ ξυλόχοισιν ἑοῖσιν·
23 αὐτὰρ ἀνὴρ παλίνορσος ἐὸν μετανίσσεται ἔργον
ἑσπερίην καμάτοιο τέλος ποτιδέγμενος ὥρην.
24 Ὡς σέθεν ἀμφιβόητα, Μάκαρ, μεγαλίζεται ἔργα,
πάνθ' ἅμα θεσπεσίῃ σοφίῃ τεκτήναο, Ποιμήν·
χθὼν ἱερὴ βέβριθεν ἀμετρήτων σέθεν ἔργων,
25 κῦτος ἀπειρεσίης τε καὶ εὐρυχόροιο θαλάσσης.
Ἅ πόσα τοι βρεμέθοντος ἐγείρεται ἑρπετὰ πόντου,
ζῷά κε θηήσαιο μεμιγμένα μείζονα τυτθοῖς·
26 ἔνθα πολυκληῖσιν ὁδὸς νήεσσιν ἐτύχθη,
214 ἔνθα δράκων, ὃν πρὶν τεκτήναο παίγνιον εἶναι.

27 Εἰς δὲ σὲ πάντα βλέπει, δόμεναι φίλον εἶδαρ ἑκάστῳ·
28 πᾶς δ' ἄρα δωτίνην ἀγαθὴν σέθεν εἰς ἓ κομίσσοι.
Πάντα λίην γάνυται, παλάμας ὅτε σεῖο πετάσσαις,
29 καὶ κλόνος αἰνὸς ἔχει, ὅτε σὴν στρέψειας ὀπωπήν.
Θυμὸν ἀπαινυμένοιο σέθεν θνήσκουσι δαμέντες
καὶ προτέρην φθινύθουσιν ἄφαρ περὶ μητέρα γαῖαν.
30 Εἰ δ' ἄρα καὶ ψυχὴν σφετέρην παλίνορσον ὀπάσσοις,
αὖτις ἀνηβώουσιν, ὅλη δ' ἀναμέλπεται αἶα.
31 Ἔσται κῦδος Ἄνακτος ἀεί, πανακήρατον ἔσται,
ἔργων ἀγλαΐῃσιν ἑῶν ἐπιτέρψεται ἐσσήν.
32 Χθὼν ὑπὸ μαρμαρυγῇσι τεῆς ἐλελίζετ' ὀπωπῆς,
τυτθὸν ἐφαψαμένοιο σέθεν βρέμει οὔρεα καπνῷ.
33 Αὐτὰρ ἐγὼ Βασιλῆα διαμπερὲς ὑμνοπολεύσω,
ἀθάνατον μέλψαιμι πολύλλιτον, εἰσόκεν ἔρπω.
34 Τερπόμενος γλυκερῆς μελεδήματα δέχνυσο μολπῆς·
ἀλλήκτοις Βασιλῆος ἐν εὐφροσύνῃσι χορεύσω.
35 Πάμπαν ἀπολλήξειαν ἀτασθαλίης ὑποφῆται,
215 ἐκ γαίης δ' ἀθέμιστος ὅλη παύσαιτο γενέθλη.
Θυμέ, τεὸν Βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε.

ΨΑΛΜΟΣ ΡΔ'

Τέτρατος ἀλληλούια βοὴ θείων στρατιάων.
Ψαλμὸς ἑκατοστὸς τέταρτος.

1 Μέλψατε λισσόμενοι παναγήραον οὔνομ' Ἄνακτος,
ἔργα Θεοῦ δήμοις ἀγγείλατε παντοδαποῖσι·
2 μέλψατε καὶ ψαλμοῖς λιγέως φορμίζετ' Ἄνακτα,
πάντα περιφραδέως ἀγορεύσατε θέσκελα ἔργα.
3 Ἡμέτερος πέλει αἶνος ἐπ' ἀθανάτῳ Βασιλῆι,
ἦτορ ἰαινέσθω διζήμενον αὐτὸν Ἄνακτα.
4 Δίζεσθε Βασιλῆα, ὅθεν κράτος ὔμμιν ἐτύχθη,
καί οἱ θεσπεσίην ἰχνεύσατε πάντοτ' ὀπωπήν·
5 θαυμασίων μνήσασθε, ὅσων τεχνήσατο χερσί,
γλώσσης εὐδικίας σφετέρας τεράεσσιν ὀπηδούς.
6 Δμῶες ἑοὶ γεγάασι φίλον γένος Ἀβραάμου,
παῖδας Ἰακώβου προλελεγμένον εὗρετο λαόν.
7 Αὐτὸς Ἄναξ μετὰ πᾶσι δικαιοσύνην ἀναφαίνει·

8 νωλεμέως σφετέρων ἐμνήσατο συνθεσιάων
μύθου θ', ὃν γενεῆς ἐνετείλατο χιλιάδεσσιν,
9 ὃν μεμαὼς κατένευσεν ἑῷ πάρος Ἀβραάμῳ,
216 Ἰσαάκῳ θεράποντι φίλῳ μέγαν ὅρκον ὀμόσσας·
10 ὃν πρὶν Ἰακώβῳ πινυτῷ θέσπιζε τελέσσαι,
συνθεσίην ἀλίαστον· ὑπέσχετο δ' Ἰσραήλῳ,
11 γαῖαν ὅλην δόμεναί οι ὑποσχόμενος Χαναάμου,
ὑμετέρου διαμετρήσας σχοινίσματα κλήρου.
12 Τῶν δ' ὀλίγιστος ἀριθμὸς ἔην, ὀλίγοι δ' ἔσαν αὐτοὶ
γαίης ναιετάοντες ἐπ' ἀλλοτρίης μετανάσται.
13 Πολλάκις ἐξ ἑτέροιο μετέστιχον ἔθνεος ἔθνος,
ἐκ δ' ἄρα κοιρανίης λαὸν μετεκίαθον ἄλλον.
14 Σίντην οὔ τιν' ἔασεν ἐπὶ σφίσι χεῖρα κορύσσαι,
ἀλλ' ἔτι τῶνδ' ἐδάμασσε χάριν βασιλῆας ἐλέγχων·
15 ἴσχεσθ' ἀντιθέων· τί νύ μευ σίνεσθ' ὑποφήτας;
16 Πικρὸν λυμαντῆρα καλέσσατο λιμὸν ἀρούρης,
εὐφόρβου ξυνέαξε βίην φυσίζοον ἀκτῆς.
17 Τῶν δ' ἀγανὸν προύπεμψε σαόφρονα κηδεμονῆα,
Ἰώσηφος ἄναξ ὑπεδύσατο δούλιον ἦμαρ.
18 Ἃ τότε πῶς μογέεσκεν ἀλυκτοπέδῃσι πεδηθείς,
πῶς δὲ πιεζομένην κραδίην δέδμητο σιδήρῳ,
19 εἰσόκεν ἔλπετο κεῖνος ἑῶν τέλος ἐσθλὸν ὀνείρων.
Αὐτὸς ἑὸν θεράποντα Μακάρτατος ἔφλεγε μύθῳ.
20 **217** Ἐκ δεσμῶν μιν ἔλυσεν Ἄναξ Νείλοιο κελεύσας,
ἡγητὴρ λαῶν σφετέρης μεθέηκεν ἀνάγκης
21 οἶκον ἐπιτρέψας ὑπὸ νεύματι τοῖο φέρεσθαι·
καί μιν κοιρανίης ἔθετο κλυτὸν ἡγητῆρα,
22 ὄφρα κεν οἷσι νόμοις προμάχους Νείλοιο διδάξαι
καὶ σφέων πρεσβυτάτην πινυτὴν τεύξειε γενέθλην.
23 Ἔνθεν ἄρ' Ἰσραῆλος ἐπ' Αἰγυπτίην μόλε γαῖαν
Χάμου δ' Ἰάκωβος ἀγακλέα νάσσατο χώρην.
24 Αὐτὰρ Ἄναξ ἓο λαὸν ἀνηέξησεν ἀγητὸν
καί μιν δυσμενέων ἔθετο κρατερώτατον εἶναι.
25 Οἱ δ' ἄρα λυμήναντο πάλιν θεοτερπέα δῆμον
ἤθεα θεσπεσίοισιν ἐπαλλάξαντες ἐρίθοις.

26 Τοῖσδε Θεὸς θεράποντα πολύφρονα Μωσέα πέμψας
ἀντίθεόν τ' Ἀρῶνα, ὅς οἱ προλελεγμένος ἦεν·
27 οἷσιν ἀριπρεπέως παρακάτθετο σήματα βουλῆς
καὶ τεράων, Χάμοιο βίην κατὰ γαῖαν ἀνύσσαι.
28 Ἔνθ' ὄρφνην προέηκεν ὑπὲρ Νειλωίδα γαῖαν,
οἱ δ' ἐπέων βούλευον ἐναντία πικρὰ Θεοῖο.
29 Τοῖσιν ὕδωρ ἔτρεψε δαφοινεὸν αἷμα τελέσσας,
218 ἰχθύας αὖ κατέπεφνε μελαμβαφέος ποταμοῖο·
30 χθὼν ὑδατοτρεφέων βατράχων ἀνέτειλε γενέθλην,
δώμασι θωρήχθησαν ἐρισθενέων βασιλήων·
31 εἶπε δέ, καὶ κυνάμυια μετέστιχε δώματ' Ἄνακτος
καὶ σκνῖπες διέπερθον ὅλης κλυτὰ τέρματα γαίης·
32 ψυχρὴ ὑπ' ὀμβροτόκων νεφέων κελάρυζε χάλαζα
καὶ φλὸξ γαῖαν ἔδουσα βοηθόος ἦλθε χαλάζης·
33 ἡμερίδας μὲν ὄλεσσεν, ἀπεφθίνοντο δὲ συκαῖ,
καί σφεων ἀνθεμόεντα κατέκλασε δένδρεα γαίης·
34 εἶπε, καὶ ἀμώωσα μετέσσυτο νήχυτος ἀκρὶς
καὶ βροῦχος πολύθεστος ἀμετρήτοισιν ἐρωαῖς,
35 οἳ χθονὸς ἐξαλάπαξαν ὅλην πολυανθέα ποίην.
36 Ἃ πῶς πρωτοτόκων ὀλοφύρατο πότμον ἕκαστος
θάπτων οἰχομένης γενεῆς πρωτάγριον ἀλκήν.
37 Χρυσῷ δὲ βρίθοντα καὶ ἀργύρῳ ἔξαγε λαόν,
οὐδέ τιν' ἠπεδανὸν μεταδήμιον εἶχον ἑταῖρον.
38 Ἃ πῶς νισσομένων ἐχάρη Νειλωὶς ἄρουρα·
πάντες γὰρ βεβόληντο δυσαλθέι δείματι θυμόν.
39 Ἐκπετάσας νεφέλην σκιερὴν ἡγήσατο λαοῦ
219 καὶ πυρὶ παννυχίην κέδασεν διὰ νήχυτον ὄρφνην.
40 Ἦλθε μάλ' αἰτίζουσιν ἀπείριτος ὀρτυγομήτρα,
ἄρτου δ' οὐρανίου σφέτερον ἐμπλήσατο θυμόν·
41 ῥηξάμενος πέτρην ῥοθίων ἐξήγαγε χεῦμα,
καὶ ποταμοὶ δαπέδοισι βίῃ κελάρυζον ἀνύδροις·
42 μνήσατο γὰρ κατὰ θυμὸν ὑποσχεσίης ἐρατεινῆς,
ἣν πρὶν Ἄναξ κατένευσεν ἑῷ πάρος Ἀβραάμῳ.
43 Τοὔνεκα τιμήεντα γεγηθότα ῥύσατο λαόν,
εὐφροσύνῃ θεράποντας ἀεξομένους ξυναγείρας·

44 χώρας δέ σφισι δῶκε πολυσπερέων γενεάων,
καὶ λαῶν ἑτέρων καμάτους διεμοιρήσαντο,
45 ὄφρα δικαιοσύνης μνησαίατο πάντοτε θείης
καὶ νόμον ἰχνεύσωσιν ἐπουρανίου Βασιλῆος.

ΨΑΛΜΟΣ ΡΕ'

Πέμπτος ὅδ' ἀλληλούια βοὴ θείων στρατιάων.

1 Λαοί, μειλιχίην ἀναμέλψατε Παμβασιλῆος,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
2 Τίς σθένος ἀστυφέλικτον ἐμεῦ Βασιλῆος ἀείσοι
καί οἱ παντοδαπῶν μερόπων βάλοι οὔασιν αἶνον;
3 **220** Ὄλβιοι εὐδικίῃ μεμελημένοι ἄνδρες ἔασιν,
οἷσι δικαιοσύνη καταχείριος αἰὲν ἐτύχθη.
4 Λαοῦ ἐπ' εὐδικίῃ μιμνήσκεο σῶν ἱκετάων
καὶ κλεινόν σεο φέγγος ἐπίσκοπον ἄμμιν ὀπάζοις·
5 σῇσι διοπτεύσαιμεν ἐνηείῃσιν ἀρίστους,
ἔθνεος εὐφροσύνῃσι τεοῦ κεχαρησόμεθ' ἦτορ
ἀθανάτου κλήροιο συνήορον αἶνον ἔχοντες.
6 Νωιτέροις τοκέεσσιν ὁμῶς ἀλιτήμονες ἦμεν
δυσνομίας ῥέξαντες ἀθεσμοτάτοισιν ἐπ' ἔργοις·
7 θαυμασίων ἐγένοντο τεῶν ἀδαήμονες αὖτως
οὐδὲ νόῳ σκέψαντο τεῆς ἐλεητύος ἐσμὸν
πικρὰ νόῳ πνείοντες ἔτι κατὰ πόντον Ἐρυθρόν·
8 ἀλλ' ἔμπης ἐσάωθεν ἑοῦ Βασιλῆος ἀρωγῇ,
κάρτος ἵν' ἀθανάτοιο μέγα γνώωσι καὶ ἄλλοι.
9 Κεκλόμενος τέρσηνεν Ἄναξ διὰ πόντον Ἐρυθρόν,
βυσσόθι δ' ἠγεμόνευεν ἐρημαίῃ ἅτε χώρῃ·
10 καὶ σφέας ἐξεσάωσεν ὑπ' ἐχθομένων ὀλετήρων,
δυσμενέων δ' ἐξείλετ' ἐλεύθερον ἦμαρ ὀπάσσας·
11 ἀντιβίους ἐκάλυψε βαρύρροον οἶδμα θαλάσσης,
οὐδέ τις ἐκ δηίων ναέτης μόλεν ἄγγελος ἄλλοις.
12 Οἱ δὲ τέως ἐπίθοντο Θεοῦ ζωαρκέι μύθῳ
221 καί οἱ αἰνετὸν ὕμνον ἐπευφήμησαν ἀοιδαῖς.
13 Μύθων δ' ἐξελάθοντο θοῶς στρεφθέντος Ἄνακτος,
βουλὴν δ' ἀθανάτοιο διεψεύσαντο Θεοῖο·

14 ἴμερον ἱμείροντο κακὸν κατὰ χῶρον ἐρήμου,
ἐν δὲ πέδῳ Βασιλῆος ἐπειρήθησαν ἀνύδρῳ.
15 Ἀλλὰ καὶ ὣς σφετέροιο πόθον δωρήσατο θυμοῦ
πλησάμενος θαλίης κραδίας,ἧς ἤθελον αὐτοί.
16 Οἱ δὲ κότῳ Μωσῆος ἐνηέα θυμὸν ὄρινον,
ἀντιθέῳ δ' ἐν πᾶσιν ἐριδμαίνεσκον Ἀρῶνι·
17 Δάθανον κατέπινεν ἀναιδέα γαῖα χανοῦσα,
πᾶσαν δ' ἀμφεκάλυψε κακοῦ κλισίην Ἀβιρῶνος·
18 σφωιτέρας κλισίας κατεβόσκετο καιομένη φλὸξ
καὶ φλὸξ ἀμπλακίῃ μεμελημένον ἔφλεγε λαόν.
19 Ἐν δ' ἄρα Χωρήβῳ κεραελκέα μόσχον ἔτευξαν,
εἰδώλου δ' ἐλίτοντο μάτην παρὰ ποσσὶ πεσόντες·
20 νήπιοι, οἳ τὸ πάροιθεν ἑὸν κλέος ἠλλάξαντο
μόσχῳ φερβομένῳ ἴκελοι μελιηδέα ποίην.
21 Ἀλκῆς δ' ἐξελάθοντο μενεπτολέμου Βασιλῆος,
ὃς πρὶν ἐν Αἰγύπτῳ τελέσας μεγαλαυχέα ἔργα
22 θηητὸς βεβόητο βαρύφρονος ἐν χθονὶ Χάμου,
τεύχων δείματα πᾶσι βροτοῖς κατὰ πόντον Ἐρυθρόν.
23 **222** καί νύ κε πάντας ὄλεσσεν, ἐπεὶ φάτο πάντας ὀλέσσαι,
εἰ μὴ ἀριστοπόνος θεράπων πέλας ὦρνυτο Μωσῆς,
λισσόμενος παλάμην ἵνα μιν παύσειεν ὀλέθρου.
24 Γαῖαν ἀγακλήεσσαν ἐλωβήσαντο κακοῖσιν
οὐδέ ποτ' εὐθέσμῳ Μάκαρος θάρσησαν ἀνωγῇ·
25 ἀλλὰ καὶ ἐν καλύβῃσιν ἀεὶ τρύζεσκον ἔῃσιν,
οὔασιν ἠρνήσαντο Θεοῦ λαλέοντος ἀκοῦσαι.
26 Τοὔνεκα δεξιτερὴν Βασιλεὺς θώρηξεν ἀλείταις
πάντας ἅμ' ἱέμενος βαλέειν κατὰ χῶρον ἐρήμου,
27 ἔθνεσι δ' ἀλλοδαποῖσιν ἑὸν διὰ φῦλον ὀλέσσαι
ἠὲ πολυσπερέεσσι μετὰ πτολίεσσι κεδάσσαι.
28 Οἱ δὲ Βεελφεγόροιο μιαινόμενοι τελετῇσι
νερτερίης ἐπάσαντο καταφθιμένων ἑκατόμβης,
29 μαχλοσύνης ἐρέθοντες ἐρωμανίῃσιν Ἄνακτα·
τοῖς δ' ὕβρις θανάτοιο Θεοῦ τέκε μητέρα μῆνιν.
30 Φινεὺς δ' εὐχωλῇσιν ἱλάσσατο παμβασιλῆα·
κεῖνος μὲν λιτάνευε, λιταῖς δ' ὑπεχάζετο λοιμός·

31 μισθὸν δ' εὐδικίης θεόθεν ἀριδείκετον εὗρεν
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.
32 Ἀμφήριστον ὕδωρ, σὺ δ' ἐπίστασαι, ὥς μιν ὅριναν,
ὡς Μωσῆς ὀδύνῃ κεκακωμένος ἦεν ἀλιτρῶν,
33 **223** αἰεὶ τρυχόμενος κραδίην πικρῇσιν ἀνίαις,
ὅς ῥα καὶ οὐκ ἐθέλων·προτέρην ἐψεύσατο πίστιν·
34 ἔθνεα γὰρ ῥύσαντο, τά πέρ σφισιν εἶπεν ὀλέσσαι,
35 τοῖς δ' ἐπιμιγνύμενοι ἀθεμίστια μάνθανον ἔργα
36 αὐχένα τ' εἰδώλοισιν ὑπ' ἀψύχοισιν ἔθεντο.
Οὐδ' ἄρα τῶν ἀπόνηντο, κακῇ δ' ἐπίεσθεν ἀνάγκῃ
37 δαίμοσι ῥέζοντες σφετέρας κούρας τε καὶ υἷας.
38 Τεγγομένη στενάχιζεν ἀναιτίῳ αἵματι γαῖα,
ὧν τέκον, ὧν θρέψαντ', ὁλοοὶ ἐγένοντο φονῆες
εἰδώλοις ῥέζοντες ὑπερφιάλου Χαναάμου.
Αἵματι δ' ὀλλυμένων ἐρυθαίνετο πάντοθεν αἶα
39 μαψιδίως ἔργοισι μιαινομένη στυγεροῖσι
μαχλοσύνῃ τ' ὀλοῇ· μάλα γάρ σφισιν ὧδε μεμήλει.
40 Αὐτὰρ ὁ μήνιε πάμπαν Ἄναξ κακοεργέι λαῷ
κλήρου ὀδυσσάμενος σφετέρου ὑπερήφανον ὕβριν·
41 δυσμενέων παλάμῃσι φίλους θεράποντας ἔδωκε
κοιρανίην σφετέροισιν ἐὴν δηίοισιν ὀπάσσας.
42 Ἀντιβίων ὁλοῇσιν ὑπεδμήθησαν ἀνάγκαις
οὐτιδανοὶ παλάμῃσιν ὑπ' ἀλλοτρίῃσι πεσόντες.
43 Πολλάκις ἐξεσάωθεν, ὀιόμενοί περ ὀλέσθαι·
οἱ δὲ νόῳ στυγερῷ πλέον ἤκαχον ἢ πρὶν ἄνακτα
224 αὐχένα δυσνομίῃσιν ὑποδμηθέντες ἔῃσιν.
44 Ὡς δ' ἴδε τειρομένους, σφετέρου περιφείδετο λαοῦ·
λισσομένους δ' ἐλέησεν, ἑῶν δ' ἐπάκουσε λιτάων·
45 αὐτίκα γὰρ σφετέρων ἐμνήσατο συνθεσιάων,
νικηθεὶς δ' ἐλέῳ προτέρης ἀπεπαύετο βουλῆς.
46 Θαῦμά μ' ἔχει, πῶς θυμὸν ἑὸν πρήυνεν ἀνάκτωρ
καί σφεας οἰκτίσσαντο πάρος λῃστορες ἄνδρες.
47 Ἡμέας, ὦ Βασιλεῦ πανυπέρτατε, ῥεῖα σαώσοις
πάντοθεν ἀθροίζων, ἵνα περ κεκεδάσμεθα δήμων,
ὄφρα σευ ἐσσυμένως ἀναμέλψομεν οὔνομα θεῖον
σῇσι μέγα φρονέοντες ἀριπρεπέεσσιν ἀοιδαῖς.

48 Αἰνετὸς αἰὲν ἄναξ πέλεται κλυτὸς Ἰσραήλου
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα·
σὺν δ' ἐρέει πᾶς δῆμος· ἐτήτυμον ὧδε γενέσθω.

ΨΑΛΜΟΣ ΡϚ′

Ἕκτος ὅδ' ἀλληλούια βοὴ θείων στρατιάων.

1 Λαοί, μειλιχίην ἀναμέλψατε Παμβασιλῆος
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
2 Βαζόντων, Θεὸς οἷσιν ἐλεύθερον ὤπασεν ἦμαρ,
οὓς ποτε δυσμενέων κρατερῆς ἀπελύσατο χειρός.
3 Ἐκ δὲ πολυσπερέων ξυναγείρατο δεῦρο πολήων,
225 τοὺς μὲν ἀπ' ἀντολίης, τοὺς δ' ἑσπερίης ἀπὸ γαίης,
ἄλλους δ' ἐκ Βορέαο καὶ ἀτρυγέτοιο θαλάσσης
4 πλαζομένους ἀνὰ χῶρον ἀπείριτον αὖον ἐρήμου·
οὐδ' εἶχον σφετέρης πόλιος σκέψασθαι ἀταρπόν,
5 δίψῃ δὲ φθινύθεσκον ὁμοῦ καὶ νηλέι λιμῷ,
ἐκ δ' ὀλιγηπελίης σφέτερος κατετήκετο θυμός.
6 Ἤν δὲ Θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης βασιλεὺς σφέας ἔξελε πάσης·
7 ἰθείην δ' ἀνέφαινε μετὰ τρίβον ἡγεμονεύων,
ὄφρα φίλον πτολίεθρον, ὅ περ ποθέεσκον, ἵκωνται.
8 Οἰκτιρμοὶ Βασιλῆος, ἐὴν ἀναμέλψατ' ἐρωήν,
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ,
9 οὕνεκα δευομένῃ ψυχῇ πόρε δόρπον ἑτοῖμον
πειναλέον τ' ἀγαθοῖσιν ὑπεστηρίξατο θυμόν,
10 ἑζομένους θανάτοιο ποτὶ κνέφαϊ σκιόεντος,
ἰλλομένους πενίῃ τε σιδηρείοισί τε δεσμοῖς.
11 Οἱ δὲ νόῳ στυγερῷ Θεοῦ ἤκαχον ἢ πρὶν ἀνωγὰς
μαψιδίως ἐρέθοντες ἐὴν ἐρικυδέα βουλήν·
12 ἔνθεν ὑπ' ἀπρήκτου καμάτου δέδμηντο καὶ ἄτης,
οὐδέ τις ἀδρανίης ἐπιτάρροθος ἦλυθεν αὐτοῖς.
13 Ἤν δὲ Θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης Βασιλεύς σφεας ἔξελε πάσης·
14 ἐκ δ' ἄγαγε κνέφαός τε καὶ ἐκ θανάτοιο βερέθρων
ῥηξάμενος μελέων κρατερὸν καὶ ἀτειρέα δεσμόν.

15 **226** Οἰκτιρμοὶ βασιλῆος, ἐὴν ἀναμέλψατ' ἐρωήν,
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ,
16 οὕνεκα χαλκείων δύναμιν διέπερσε πυλάων·
εὐτύκτους δ' ἀδάμαντος ἄφαρ ξυνέαξεν ὀχῆας
17 πάντας ἀφαρπάξας μογερῆς κακότητος ὁδοῖο,
οὕνεκα δυσσεβίης παρελεγχέα μῶμον ἐφεῦρον·
18 θυμῷ ἀποστύξαντες ὅλην θρεψήνορα δαῖτα
ψυχροπόρου θανάτοιο κατήλυθον ἄχρι πυλάων.
19 Ἤν δὲ Θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης Βασιλεύς σφεας ἔξελε πάσης·
20 τειρομένους ἠκέσσαθ' ἑὸν σφισι θυμὸν ἱήνας,
θυμοβόρου δ' ἀπέλυσε καταφθινύθοντας ἀνίης.
21 Οἰκτιρμοὶ Βασιλῆος, ἐὴν ἀναμέλψατ' ἐρωήν,
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ·
22 ῥεζόντων Βασιλῆι θύος μολπῇσι μεμηλός,
βαζόντων δέ οἱ ἔργα νόῳ κεχαρηότες ἐσθλῷ.
23 Ναυτίλοι, οἷσι μέμηλε βίη νηές τε θαλάσσης,
οἷσι πόνος διὰ κῦμα καὶ ἄσπετον ὄρνυται ὕδωρ,
24 ὄμμασι θηήσαντο πολύφρονος ἔργα Θεοῖο
καί οἱ θέσκελα πάντα θαλασσοπόρους μετ' ἀβύσσους.
25 Κεκλομένου Βασιλῆος ἀθέσφατος ὦρτο κατάιξ,
θῦνε δὲ κυρτωθέντα μετήορα κύματα πόντου·
26 **227** φαίης κ' οὐρανὸν εὐρὺν ἄφαρ μίσγεσθαι ἀβύσσῳ.
Τῶν δὲ πολυσμαράγῳ κατετήκετο θυμὸς ἀνίῃ,
27 πάντας δὲ κλόνος εἷλεν ὅπως πεπεδημένον οἴνῳ,
ναυτιλίης δ' ἐλάθοντο, σοφὴ δ' οὐ φαίνετο τέχνη.
28 Ἤν δὲ Θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης Βασιλεύς σφεας ἔξελε πάσης·
29 αὐτίκα δ' εἰς αὔρην προτέρην μετέθηκε θύελλαν,
αὖτις δ' εὐσταθέι μειλίσσετο κύματα σιγῇ·
30 εὐφροσύνη δ' ἔλε πάντας, ὅπως ἴδον εὔδιον ὕδωρ,
εἰς λιμένα σπεύδοντας ὑπ' ἐννεσίῃσι Θεοῖο.
31 Οἰκτιρμοὶ Βασιλῆος, ἐὴν ἀναμέλψατ' ἐρωήν,
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ·
32 εὖ μιν ἀριπρεπέων κλισίαις ἀναείρατε λαῶν
καὶ προτερηγενέων ἱεροῖς ἀναμέλψατε θώκοις.

33 Χεῦμα μέγ' ἐξανέηκεν ἐυρρεῖος παταμοῖο·
ὑδρηλὴ δὲ κέλευθος ἀτερπέι τήκετο δίψῃ·
34 ἄλμην πουλυβότειραν ἄφαρ ποιήσατο χώρην
καρφομένην κακότητι περικτιόνων ναετήρων·
35 αὐτὰρ ἐρημαίην πολυκύμονα θήκατο λίμνην
καὶ γαίης ποταμηδὸν ἐπέχραον ὕδατ' ἀνύδρου,
36 ᾗ ποτε πειναλέοι ναέται πολυπήμονες ἦσαν
228 καὶ δῆμοι πόλιας κάτεχον περιναιετάοντες.
37 Ἡμερίδας κατέπηξαν, ἐπεσπείραντο δὲ χώρας
καὶ βιότου κεχάρηντο τελεσφορίαις ἐρατειναῖς.
38 Ἦνεσε μὲν Θεὸς ἔργον, ἀνηέξηντο δὲ λαοί,
καί σφισι τετραπόδων ἀγέλαι φέρβοντο νομῆσιν.
39 Ἔνθ' ὀλιγοδρανέοντες ἀμηχανέεσκον ἀνίῃ
ἄλγεσι τειρόμενοί τε καὶ ἀπρήκτοις ὀδύνῃσι.
40 Δεινὴ δ' ἡγεμονῆας ἀκηδέας ἄμφεπε λώβη·
οἱ δὲ τρίβον προλιπόντες ἐπ' ἀτρίπτοις ἀλάληντο.
41 Ἐκ δ' ἀχρημοσύνης ἐπιτάρροθος ἦλθε πενιχρῷ
στησάμενος φρήτρας ἄτε πώεα καλὰ νομήων.
42 Ἰθύνοοι λεύσσοντες ἐπ' εὐφροσύνῃσι χαρεῖεν,
ἀμπλακίη δ' ἀρίδηλος ἐὸν στόμα δεινὸν ἀνοίξει.
43 Τίς πινυτὸς τάδε πάντα μετὰ φρεσὶν οἷδε φυλάξαι,
ἀθανάτου δ' ἐλεημοσύνην στέρνοισι νοῆσαι;

ΨΑΛΜΟΣ ΡΖ'

1 *Δαυίδου ἑκατοστὸς ἕβδομος ὕμνος.*

2 Θυμὸς ἑτοῖμος ἐμός, Πανεπίσκοπε, θυμὸς ἑτοῖμος,
229 κύδεϊ ᾧ μέλψει σε καὶ ἐν ψαλμοῖσιν ἀείσει.
Ἔγρεό μοι, κῦδος, τὸ πόρεν Θεός, ὅττι κεν εἴῃ·
3 ἔγρεό μοι, φόρμιγξ καὶ ἐμῶν ψαλτήριον ὕμνων·
ἐμμαπέως ἠῶθεν ἀνεγρόμενος κελαδήσω.
4 Σὸν μέλος ἀμφιβόητον, Ἄναξ, λαοῖσι βοήσω
καὶ δήμοις πολέεσσι λυροκτύπον αἶνον ἀείσω·
5 οὐρανίων ἐλεητὺν ἔχεις καθύπερθε πυλάων,
καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.
6 Ὄρσ' ὑπὲρ οὐρανίων πυλέων, πανυπέρτατε Ποιμήν,
καί σεθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.

7 Ὄφρα φίλους μεμαῶτας ἀφαρπάξειας ἀνάγκης,
δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς.
8 Εἶπεν Ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον·
ὑψωθεὶς Σίκημα θοῶς διαδάσσομαι ἤδη
καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων.
9 Ἡμέτερος Γαλαάδος, ὁμῶς δ' ἐμός ἐστι Μανασσῆς,
Ἔφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη,
αὐτὰρ ἐυκλειὴς βασιλεὺς ἐμός ἐστιν Ἰούδας,
10 ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μωᾶφος ἀμύμων·
230 ἐκτείναιμι πέδιλον ἐμὸν πρόπαρ Ἰδουμαίης·
ποσσὶν ὑφ' ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.
11 Ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα
ἠὲ καὶ ἰθυντῆρ' Ἰδουμαίης μετὰ δήμους·
12 ἦ ῥ' οὐκ αὐτός, Ἄναξ, ἡγήσεαι, ὁ πρὶν ἐάσας;
οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός;
13 Τειρομένοις ἐπίκουρος, Ἄναξ, ἀναφανδὰ φανείης,
ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίζοις.
14 Ἐν κρατερῷ Βασιλῆι βίην τελέσωμεν ἑτοίμην,
δυσμενέων δ' ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.

ΨΑΛΜΟΣ ΡΗ'

Δαυίδου λιγυρὸν μέλος ὄγδοον ἀμφ' ἑκατοστῷ.

1 Αἶνον ἐμὸν μὴ πάγχυ, Μάκαρ, σιγῇ παρελάσσῃς,
2 ἀμφ' ἐμοὶ ὡς δόλιον χαίνει στόμα δεινὸς ἀλείτης.
Θηξάμενοι γλώσσας με κακηγορέεσκον ἀνιγρὰς
3 καὶ μύθοις στυγεροῖσι πεποιθότες ἠερέθοντο
μαψιδίως τ' ὀλοὴν ἐπὶ φύλοπιν ὡπλίζοντο.
4 Οὓς φιλέειν δοκέεσκον, ἐμοὶ κακὰ μᾶλλον ἔραπτον·
231 αὐτὰρ ἐγὼ λιτάνευον ἐς οὐρανὸν ὄμμα τιταίνων.
5 Ἀντ' εὐεργεσίης ὀλοὰς δόσαν ἄμμιν ἀνίας,
ἀντὶ δὲ νωιτέρης φιλίης κακὸν ἔχθος ἔλοντο.
6 Τοῖο καθηγητῆρα πόροις κακοεργέα φῶτα,
διάβολος δ' ἄρα οἱ σταθερὸς ἐνδέξια μίμνοι·
7 κρινόμενος ψήφοισι δίκης δεδμημένος ἔλθοι,
εὐχωλὴ δ' ὀλοή οἱ ἀτάσθαλος αἶψα γενέσθω.

8 Ζωῆς ἠελίοισι μινυνθαδίοισιν ὄναιτο,
καί οἱ ἱροσύνην ἐρικυδέα δέξεται ἄλλος.
9 Ὀρφανίη σφετέρους ἀλιτήμονας υἷας ἐρύξοι,
χηροσύνη δὲ δάμαρτα κακὴ μεθέπουσα πεδήσοι·
10 παῖδες πτωχεύσουσι παρ' ἀλλοδαποῖς μετανάσται,
οὔδεος ἐξελάοιντο φίλου ἀέκοντες ἀνάγκῃ.
11 Πάντα οἱ, ὅσσα πέλονται, ἀνιχνεύσειε δανειστής,
καὶ σφετέρων καμάτων ἀλλότριοι ἅρπαγες εἶεν.
12 Μή οἱ δευομένῳ ἐπιτάρροθος ἄλλοθεν ἔλθοι
μηδέ οἱ ὀρφανικήν τις ἐποικτίσσαιτο γενέθλην.
13 Ἔσται οἱ φίλα τέκνα κακοῦ μέλπηθρον ὀλέθρου,
οὔνομ' ἄιστον ἄπυστον ἐπ' ἤματι πάμπαν ὀλέσσοι.
14 **232** Ἄντα Θεοῦ κακίη σφετέρων μνήσαιτο τοκήων
μηδέ οἱ ἀμπλακίη στυγερῆς παύσοιτο τεκούσης.
15 Λωβητοὶ Βασιλῆος ἀεὶ κατέναντα μενόντων,
καί σφεων ἐκ γαίης ἀγαθῆς μνημήιον ἔρροι·
16 οὐ γὰρ ἐπεμνήσθη ἐλεητύος ἄξια ῥέξαι
ἀκτέανον καὶ πτωχὸν ἀτάσθαλος ἄνδρα διώκων,
φῶτα λιλαιόμενος βαρυώδυνον ἐξεναρίξαι.
17 Ἦν δὲ λίην ἀγάπαζε, θοῶς δέξαιτο κατάραν·
εὐλογίην ἔστυξε, φύγεν δέ ἑ τῆλε τραπεῖσα.
18 Ἀρὴν οὐλομένην ἰκέλην ἐνεδύσατο πέπλῳ,
οἷα δὲ διψώοντι ἐπήλυθεν ἔγκασιν ὕδωρ,
ὀστέα πιαίνουσα κατὰ χρέος ἠύτ' ἔλαιον·
19 ἀντὶ δ' ἀναγκαίου μιν ἐπὶ χροὸς εἵματος ἴσχοι
καὶ ζώνης σφετέρης, ἣν ζώννυται αἰὲν ἐπ' ἔργῳ.
20 Μισθὸς ὅδ', οἷς Βασιλῆι κακηγορέειν με μέμηλεν
οἵς τε μέλει ψυχῇ μευ ἀπείριτα κήδεα τεύχειν.
21 Ἀλλὰ σύ, Παμβασιλεῦ, μοι ἄκος σέθεν εἵνεκα τεύχοις,
οὕνεκα μειλιχίῃσι τεὴν ἐλεητὺν ὀφέλλεις.
22 Ἀκτέανος καὶ πτωχὸς ἐγώ, σὺ δὲ μή με μεθείης·
ἡμέτερος μελέεσσιν ὀρίνεται ἔνδοθι θυμός,
23 **233** κλινομένῃ σκιῇ ἶσα νόῳ ἀλύεσκον ὀρινθείς,
ἀκρίσιν αἰθερίῃσι πανείκελος ἐξετινάχθην·
24 ἐδμήθην φίλα γυῖα τρέμων ὑπ' ἀνάλκιδι λιμῷ,
καὶ δέμας αἰγλήεντος ἀμείβετο νόσφιν ἐλαίου.

25 Ἔνθεν ἅλις μετὰ πᾶσιν ἐγὼ μωμητὸς ἐτύχθην·
ὥς μ' εἶδον, κεφαλὴν δόνεον δολόεσσαν ἕκαστος.
26 Ἀλλά, Μάκαρ, καλέοντι θοῶς ἐπιτάρροθος ἔλθοις
καί μοι σὴν ἐλετύν, Ἄναξ, ἐπίκουρον ὀπάσσοις,
27 ὄφρα τεῆς παλάμης ἀγαθὴν γνώωσιν ἀρωγήν,
ἣν τεῷ ὁρμαίνεσκες, Ἄναξ, θεράποντι τελέσσαι.
28 Κεῖνοι ἐπαρήσονται, ἀτὰρ σύ μοι ὄλβια δοίης·
αἶσχος ἐπαγρομένοισιν ἐμοῖς δηίοισι γενέσθω,
σεῖο δὲ τιμήεις θεράπων φρεσὶ πάντοτε χαίροι.
29 Οἵ με κακηγορέοντες ἀεὶ δυσαίατο μῶμον,
δίπλακι δὲ χλαίνῃ ἴκελον ψύθος ἀμφιβαλέσθων.
30 Ἀείσω μελέεσσιν ἀνὰ στόμα Παμβασιλῆα
καὶ πολέων ἀνὰ μέσσον ἐὸν κλέος ὑμνοπολεύσω,
31 οὕνεκα δεξιτερῆς ἐπιτάρροθος ἦλθε πενιχροῦ,
ὄφρα κε θυμὸν ἐμὸν δηίων ἀπολύσεται ἀνδρῶν.

ΨΑΛΜΟΣ ΡΘ'

234 *Δαυίδου λιγυρὸν μέλος εἴνατον ἀμφ' ἑκατοστῷ.*

1 "Ησο", Θεῷ Θεὸς εἶπεν, ἐμῶν ἐνδέξια θώκων,
ὥς κεν ὑπὸ θρῆνυν δηίους σέο ποσσὶ δαμάσσω.
2 Ἄφθιτος ἐκ Σιῶνος ἀμύμονα ῥάβδον ἰάλλοι,
ὄφρα τεοῖς ἀνὰ μέσσον, Ἄναξ, δηίοισιν ἀνάξῃς.
3 Σῆς ἀρχῆς μετὰ σεῖο πέλει κράτος, ὡς πάρος εἶχες,
σῇσι μετ' ἀγλαΐαις ὁσίων κλέος ἔμπεδον ἔξεις·
γαστρὸς καρπὸς ἐμῆς πρὸ ἑωσφόρου αὐτός ἐτύχθης.
4 Ὤμοσε πιστὸς Ἄναξ, σφετέρους δ' οὐ ψεύσεται ὅρκους·
ἔσσεαι ἀρητήρ, οἷος πέλε Μελχισεδῆκος.
5 Δεξιτερῆς ἄχραντον ἔχεις πέλας ἀσπιδιώτην,
ὅς ῥα κότῳ βασιλῆας ἐπιχθονίους δαμάσαιτο.
6 Φῦλα Μάκαρ δικάσει, πλήσει δ' ἀναρήγματα δήμων
καὶ πολέων κατὰ γαῖαν ἀπορραίσειε κάρηνα.
7 Ὕδωρ χειμέριον πίεται κλυτὸν οἶμον ὁδεύων·
ἔνθεν Ἄναξ τιμῆεν ἀνυψώσειε κάρηνον.

ΨΑΛΜΟΣ ΡΙ′

Ἄφθιτον ἀλληλούια, δεκὰς δ' ἔφυ ἀμφ' ἑκατοστῷ.

1 Ἀλλήκτῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω
235 ἰθυνόων ὁσίων τε παρὰ κλισίῃσι φαεινᾶς.
2 Ἀθανάτου Βασιλῆος ἀεὶ περιώσια ἔργα,
βουλαῖς παντοδαπῇσι μεμηλότα θεσπεσίῃσιν.
3 Αἶνος ἀεὶ Θεοῦ ἔργα πέλει καὶ ἀριπρεπὲς εὖχος,
ἐκ γενεῆς γενεὴν δὲ δικαιοσύνη ἔο μίμνει.
4 Θαυμασίων σφετέρων Βασιλεὺς ἐμνήσατο θυμῷ,
οἰκτίρμων μετὰ πᾶσι Θεὸς πέλει ἠδ' ἐλεήμων.
5 Δαῖτα φίλοις δμώεσσιν ἀγακλήεσσαν ἔδωκε,
νωλεμέως σφετέρων μεμνήσεται ἁρμονιάων.
6 Ἔργων ἠνορέην ἀγαθὴν διεπέφραδε λαῷ
κλῆρον ἀρίζηλον μεμαὼς δόμεναί σφισι δήμων.
7 Εὐδικίην καὶ ἀληθείην ἐργάζεται αἰεί·
ἐννεσίαι Βασιλῆος ἀγακλέα πίστιν ἔχουσιν,
8 ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἐστήριχθεν
τυκταὶ ἀληθείῃ τε καὶ ἰθείῃσι μενοιναῖς.
9 Λύτρον Ἄναξ νημερτὲς ἑῷ δωρήσατο λαῷ,
πάντοτε συνθεσίην σφετέρην ἐνετείλατο ποιμήν·
ἄχραντον φοβερόν τε Θεοῦ κλυτὸν οὔνομ' ἐτύχθη.
10 Ἀρχὴ ἐπουρανίου σοφίης πέλε δεῖμα Θεοῖο
καὶ πινυτὴ μερόπεσσι μέλει σοφίης ὑποφῆται·
ἐκ γενεῆς γενεὴν δὲ μένει Θεοῦ ἄφθιτος αἶνος.

ΨΑΛΜΟΣ ΡΙΑ′

236 *Πρῶτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούια.*

1 Ὄλβιος, ὃς πραπίδεσσι περιτρομέει Βασιλῆα
ἀθανάτου γεραρῇσιν ὑπ' ἐννεσίῃσι μεμηλώς.
2 Ἀλκῆεν κατὰ γαῖαν ἐὸν μένει αἷμα γενέθλης
ὄλβῳ ἰθυνόοισιν ὁμοῦ γενεῇσι τεθηλός·
3 οὔ οἱ ἀπολλήξειε δόμων ἄφενός τε καὶ εὖχος,
ἀλλὰ καὶ εὐδικίῃσι διηνεκέεσσι χαρείη.
4 Ἐξ ὄρφνης ἀνέτειλεν ἐπ' ἰθυνόοις μέγα φέγγος·
οἰκτίρμων ὅσιός τε Θεὸς πέλει ἠδ' ἐλεήμων.

5 Μείλιχος, ὅς ῥ' ἔχρησεν, ἀνὴρ ἑτέρους ἐλεαίρων,
ἑσμὸν ἐπιθύνων σφετέρων ἀγανόφρονα μύθων·
6 οὔ ποτέ μιν μογεροῖο κλόνος βιότοιο κιχείη,
νωλεμέως ὁσίου μνημήιον αἰνετὸν ἔσται·
7 οὔ ποθ' ὑποδδείσειεν ἀθέσμιον οὔασι φήμην,
αἰὲν ἔχει Βασιλῆος ἐπ' ἐλπίδι θυμὸν ἑτοῖμον.
8 Ἠνεκέως ἀδόνητον ἐὴν στήριξε μενοινήν,
εἰσόκε δυσμενέων θηήσεται οἰκτρὸν ὀπωπήν.
9 Ἀκτεάνοις ἐκέδασσε χαριζόμενος βιότοιο·
ἐκ γενεῆς γενεὴν δὲ δικαιοσύνη ἔο μίμνει·
τιμῇ καὶ γεράεσσιν ἀειρόμενον κέρας ἕξει.
10 **237** Δερκόμενον τάδε μῆνις ἀτάσθαλον ἄνδρα χαλέψει,
τηκεδόνι τρύζοντα κακῇ φθονεροῖσιν ὀδοῦσιν·
ἵμερος αὖτ' ἀτέλεστος ἀτασθάλου ἀνδρὸς ὀλεῖται.

ΨΑΛΜΟΣ ΡΙΒ′

Ἑνδεκάτης δεκάδος μετὰ δεύτερον ἀλληλούια.

1 Ἀθάνατον Βασιλῆα σοφοὶ ἀναμέλψατε παῖδες,
οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος.
2 Ἔσσεται οὔνομα Θεῖον ἀεὶ μεμελημένον ὕμνοις
καὶ νῦν καὶ μετέπειτα διηνεκέεσι γενέθλαις·
3 ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δυσμὰς
οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος.
4 Δήμων παντοδαπῶν Βασιλεὺς καθυπέρτερα ναίει
καὶ κλέος οὐρανίων δαπέδων ὕπερ ἄφθιτον ἴσχει.
5 Τίς κρατερῷ Βασιλῆι πανείκελος ἄλλος ἐτύχθη;
6 Ναιετάων ὑψηλά, ἀτὰρ χθαμαλώτατα λεύσσων,
γαῖαν τ' ὀφθαλμοῖσι καὶ οὐρανὸν ἀμφιπολεύων
7 ἀκτέανον δεδάηκεν ἀπὸ χθονὸς οἷος ἐγείρειν,
ἐκ κόπρου δὲ πενιχρὸν ἐπισταμένως ἀναείρειν,
8 ὄφρα καθηγητῆρσιν ὁμὴν μετελεύσεται ἕδρην
λαοῦ θεσπεσίοιο συνέμπορος ἡγεμονήων·
9 **238** στείρῃ ναιετάειν ὃς δώματα δῶκεν ἀγητὰ
μητέρα τιμήεσσαν ἀγαλλομένην ἐπὶ τέκνοις.

ΨΑΛΜΟΣ ΡΙΓ′

Ἑνδεκάτης δεκάδος σὺν καὶ τρίτον ἀλληλούια.

1 Ἄλκιμος Ἰσραῆλος ὅτ' ἤλυθεν Ἠερίηθεν,
δῶμα δὲ βαρβαρόφωνον Ἰακώβου λίπε λαός,
2 νηὸς Ἰουδαίῃ γεραρὸς γεγένητο Θεοῖο,
ἀθάνατος δ' ἤνασσεν ἀγακλέος Ἰσραήλου.
3 Φεῦγε μὲν ἀτρύγετός μιν, ὅπως ἐνόησε, θάλασσα,
αὐτὰρ Ἰορδάνης ἀνεχάζετο πολλὸν ὀπίσσω·
4 οὔρεα δὲ κριοῖσιν ἀνεσκίρτησαν ὁμοῖα
καὶ κορυφαὶ λασίων ὀρέων πέλον ἄρνεσιν ἴσαι.
5 ἔννεπε· τίπτε, θάλασσα, διέτμαγες ὧδε φυγοῦσα;
τίπτε δ', Ἰορδάνη, ἀνεχάζεο τόσσον ὀπίσσω;
6 Οὔρεα δέ, κριοῖσιν ἀνεσκιρτήσαθ' ὁμοῖα,
καὶ κορυφαί, λασίων ὀρέων πέλετ' ἄρνεσιν ἴσαι;
7 Ἀθανάτου δεδόνητο Θεοῦ κατεναντία γαῖα,
ὅς τις Ἰακώβου μεγαλήτορος αἰὲν ἀνάσσει,
8 ὃς λίμναις ὑδάτων ἰκέλην ἐστρέψατο πέτρην,
ἀκρότομον πηγῇσιν ἀναβλύζειν ἐπιτείλας.
9 **239** Ἡμῖν μὴ τάδε ῥέζε· τί γὰρ σθένος ἄμμιν ἐτύχθη;
Ἀλλὰ τεῇ σοφίῃ πανυπέρτατον εὖχος ὀπάζοις
σῇ τ' ἐλεημοσύνῃ, Βασιλεῦ, καὶ ἀληθέι βουλῇ.
10 Μή ποτε φῦλ' ἐρέῃ· πῇ δὴ Θεὸς ἔπλετο κείνων;
11 Νωίτερος Θεὸς αὖτε κατ' οὐρανὸν αἰὲν ἀνάσσει·
οὐρανῷ ἠρήρεισται, ἀτὰρ χθονὸς ἔργα νομεύει
τεύχων, ὁππόσα θυμῷ ἀριστοπόνῳ μενεαίνει.
12 Εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,
ἀνδρομέων ἀλαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·
13 οἷς οὐ φθόγγος ἔπεστι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη,
οὐδὲ φάος φορέουσι περὶ ξεστῇσιν ὀπωπαῖς·
14 οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀίουσιν αὐτῆς,
οὐδ' ἱερὴ ῥίνεσσιν ὑπέρχεται ἠέρος ὀδμή·
15 οὐ σθένος ἀμφαφόωντι, καὶ εἰ χείρεσσι κέκασθεν,
οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·
οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσσασθαι·
οὐδὲ γὰρ ἀσθμαίνουσι κατὰ στόμα πνεύματος ὁρμῇ.

16 Τέκτονες εἰδώλοισι γενοίατο τοῖσιν ὁμοῖοι,
καὶ πάντες τοι τοῖσι νόῳ περιθαρσέες εἰσίν.
17 **240** Ἐλπωρὴν ἐπ' Ἄνακτα θέτο κλυτὸς Ἰσραῆλος,
τῶν δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.
18 Ἐλπωρὴν ἐπ' Ἄνακτα θέτο κλυτὸς οἶκος Ἀρῶνος,
τῶν δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.
19 ἐλπίδ' ἔθεντ' ἐπ' Ἄνακτα, μέλει δ' οἷς δεῖμα Θεοῖο·
τῶν δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.
20 Ἡμέων ἀθάνατος μεμνημένος ἤνεσε πάντας,
ἤνεσεν ἀγλαὸν οἶκον ἐνηέος Ἰσραήλου,
ἤνεσεν ἀρητῆρος ἀκήρατον οἶκον Ἀρῶνος,
21 ἤνεσε λαὸν ἅπαντα μεμηλότα Παμβασιλῆι,
ἡλικίην σύμπασαν ὁμοῦ περὶ μείζονι τυτθήν.
22 Ἡμετέροις μετὰ παισὶν ἀέξησεν μάλα πάντας·
23 αἰνετοὶ ἀθανάτου πέλετε φρενὶ Παμβασιλῆος,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.
24 Οὐρανὸς αἰγλήεντος ἐπ' οὐρανοῦ ἐστιν Ἄνακτος,
αὐτὰρ γαῖαν ἔδωκεν ἔχειν μεροπηίδι φύτλῃ.
25 Οὔ σε, Μάκαρ, νεκύων φθιμένων μέλψουσι γενέθλαι
οὐδ' ἐπὶ νερτερίους θανάτου στείχοντες ἀγυιάς·
26 ἡμεῖς δ' οἱ ζώοντες ἀνυμνήσωμεν Ἄνακτα
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

ΨΑΛΜΟΣ ΡΙΔ′

241 *Ἑνδεκάτης δεκάδος μετὰ τέτρατον ἀλληλούια.*

1 Ἱκεσίης ἀίοντος ἐμῆς ἀγάπησα Θεοῖο,
2 οὕνεκά μοι θείην ἀγαθήν τ' ἔκλινεν ἀκουήν,
καί ἑ διηνεκέως ἐπιτάρροθον ἐσθλὸν ἀείσω.
3 Ὠδῖνες θανάτοιο λαθιφθόγγου με κατέσχον,
νερτερίου δ' Ἄιδαο μετέστιχον ἄμμε κυδοιμοί·
ῥιγεδανὴν ὀδύνην καὶ ἀτειρέα μόχθον ἐφεῦρον.
4 Ἀθανάτου δ' ἐκάλεσσα πολύλλιτον οὔνομ' Ἄνακτος·
ἄφθιτε, θυμὸν ἐμὸν πεφοβημένον αἶψα σαώσοις.
5 Ἡμέτερος Βασιλεὺς ὅσιος πέλει ἠδ' ἐλεήμων
ἀνδρομέῃ γενεῇ σφετέρην ἐλεητὺν ἀέξων.

6 Αἰεὶ νηπιάχοντα Θεὸς δεδάηκε φυλάσσειν,
καί με καταδμηθέντα σάω ζωαρκέι χειρί.
7 Θυμέ, τί δηθύνεις μετὰ σὴν ἀνάπαυσιν ἱκέσθαι;
οὐχ ὁράᾳς, Θεὸς ὥς σε δυσαλθέος ἥρπασεν ἄτης;
8 Καὶ γὰρ ἐμὸν θανάτοιο βαρύφρονα ῥύσατο θυμόν,
ὀφθαλμοὺς δὲ γόοιο, πόδας δ' ἐξεῖλεν ὀλίσθου.
9 Ζωόντων ἀνὰ χῶρον ἁδὼν Βασιλῆι φανείην.

ΨΑΛΜΟΣ ΡΙΕ'

Πέμπτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούια.

1 Ἀτρεκέως ἐλάλησα Θεῷ βασιλῆι πιθήσας·
242 αὐτὰρ ἐγὼ θνητῶν γενόμην χθαμαλώτατος ἄλλων.
2 Θαμβήσας μερόπων ψευδηγόρον εἶπα γενέθλην.
3 Τί χρέος ἐκ πολέων, ὧν μοι πόρε, Ποιμένι δοίην;
4 Πώματος ἀχράντοιο δέπας χείρεσσι κομίσσω,
5 οὔνομα δ' ἀθανάτοιο διηνεκέως λιτανεύσω.
6 Πότμος ἐῶν ὁσίων γεραρὸς κατέναντα Θεοῖο.
7 Κέκλυθι, Παμβασιλεῦ, θεράπων δέ τοι εὔχομαι εἶναι,
εἰμὶ τεὸς θεράπων καὶ σῆς γόνος ἀμφιπόλοιο.
Νωιτέρας ἔρρηξας ἀλυκτοπέδας ἀλεγεινάς.
8 Ἀθανάτου ῥέξαιμι θύος μολπῇσι μεμηλός.
9 Εὐχωλὰς Βασιλῆι ὀφειλομένας ἀποτίσω
αὐλαῖς εὐαγέεσσι φίλον κατὰ δῶμα Θεοῖο
10 παντὸς δερκομένοιο θεουδέος ἀντία λαοῦ,
σεῖο, πολυκλήεσσ' Ἱερουσαλήμ, κατὰ μέσσον.

ΨΑΛΜΟΣ ΡΙϚ'

Ἕκτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούια.

1 Πάνθ' ἅμα Παμβασιλῆα πολύθροα μέλψατε φῦλα
καί μιν ὁμοῦ σύμπαντες ἄδην κελαδήσατε λαοί,
2 οὕνεκεν ἄμμιν Ἄναξ ἐλεήμονα μῆτιν ὀφέλλει
καί οἱ ἀληθείη Παναγήραος αἰὲν ἐτύχθη.

ΨΑΛΜΟΣ ΡΙΖ'

243 *Ἑνδεκάτης δεκάδος ἀμφ' ἕβδομον ἀλληλούια.*

1 Μέλψατέ μοι Βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
2 Βαζέτω Ἰσραῆλος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
3 Βαζέτω οἶκος Ἀρῶνος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
4 Δμῶες, βάζετ', Ἄνακτος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
5 Τειρόμενος καλέεσκον ἐρισθενέτην Βασιλῆα,
ἐκ δ' ἀγαγὼν κακότητος ἐμὰς εὔρυνε κελεύθους.
6 Αἰὲν ἐμῆς ἄχραντος Ἄναξ ἐπίκουρος ἀνάγκης·
οὔ ποθ' ὑποδδείσαιμι, τί κεν βροτὸς ἄμμι τελέσσῃ.
7 Αἰὲν ἐμῆς ἄχραντος Ἄναξ ἐπίκουρος ἀνάγκης,
αὐτὰρ ἐγὼ δηίων σφετέρων κακὸν ὄψομαι οἶτον.
8 Φέρτερον ἀθανάτῳ πίσυνον Βασιλῆι βιῶναι
ἠὲ μάτην βροτῷ ἀνδρὶ νόον περιθάρσυνον ἴσχειν·
9 φέρτερον ἀγκύρῃσι σαλεύειν οὐρανίωνος
ἠὲ καθηγητῆρσιν ἀμήχανον ἐλπίδα θέσθαι.
10 Ἀμφ' ἐμὲ κυκλώσαντο περισταδὸν ἔθνεα πάντα,
244 αὐτὰρ ἐγὼ σύμπαντας ἔλον Βασιλῆι πεποιθώς·
11 ἀμφ' ἐμὲ πυργωθέντες ἔχον περιηγέι κύκλῳ,
αὐτὰρ ἐγὼ σύμπαντας ἔλον Βασιλῆι πεποιθώς·
12 πάντοθεν οἷά με σίμβλον ἐκυκλώσαντο μέλισσαι,
ἔφλεχθεν δ' ἅτε πυρσὸς ἐν αὐαλέῃσιν ἀκάνθαις,
αὐτὰρ ἐγὼ σύμπαντας ἔλον Βασιλῆι πεποιθώς.
13 Καί κ' ἔπεσ' ὠθηθείς, πρόμαχος δέ μοι ἤλυθεν ἐσσήν.
14 Αἶνος ἐμὸς καὶ κάρτος ἐπ' ἀθανάτῳ Βασιλῆι,
καί μοι ἀλεξίκακον κατεφαίνετο φέγγος ἑτοῖμον,
15 τερπωλῆς φαέός τε βοὴ κλισίῃσι δικαίων.
Δεξιτερὴ Βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν,
16 δεξιτερὴ κεφαλὴν ἐρικυδέα θῆκεν ἐμεῖο,
δεξιτερὴ Βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν.

17 Οὔ ποτε τεθναίην, βιότου δέ μοι ἔσσεται ὥρη,
ἀλλὰ περιφραδέως Βασιλήια ἔργα βοήσω.
18 Ἀθάνατος δάμασέν με φίλοις παιδεύμασι Ποιμήν,
ἀλλ᾽ οὔ πως θανάτῳ με κακῷ μεθέηκε δαμῆναι.
19 Δεῦτέ μοι εὐδικίης νῦν οἴξατε πιστὰ θύρετρα,
εἰς δ᾽ ἐλθὼν Βασιλῆι πολύλλιτον ὕμνον ἀείσω.
20 Ἥδε πύλη βασιλῆος, ὁδὸς δ᾽ ἀγαθοῖσι μελέσθω.
21 **245** Ἄφθιτε, κυδαίνω σε, ἐμῆς ὅτι σύνθεο φωνῆς
καί μοι ἀλεξίκακον προυφαίνεο φέγγος ἑτοῖμον.
22 Τέκτονες ὃν νείκεσσαν ἐμωμήσαντό τε λᾶαν,
ἦδ᾽ ἱερὴ κεφαλὴ δισσῶν προυφαίνετο τοίχων·
23 τήνδε Θεὸς παλάμῃσιν ἐδείματο τιμήεσσαν,
θηητὴ δὲ πέλει βροτέων κατεναντίον ὄσσων.
24 Ἦμαρ τοῦτο Θεὸς σφετέραις τεκτήνατο χερσίν,
εὐφροσύνη μερόπεσσιν ὅπως καὶ χάρμα φανείη
25 εἰσαΐων, Βασιλεῦ πανυπέρτατε, ῥίμφα σαώσοις,
εἰσαΐων ἴθυνον ἐμὴν καταθύμιον οἶμον.
26 Αἰνετός, ὃς Βασιλῆος ἀφίξεται οὔνομ᾽ ἀείρων·
ὑμέας αἰνέομεν Μάκαρος μεγάροιο μολόντες.
27 Κλεινὸς Ἄναξ ἀγαθός τε Θεὸς μερόπεσσι φαάνθη·
στέμμασι γηθομένοις χλοερὴν ξυναγείραθ᾽ ἑορτὴν
μέχρι θεοδμήτων κεράων βωμοῖο θυηλῆς.
28 Νωίτερος Θεός ἐσσι, ἐγὼ δέ τοι αἶνον ἀείσω·
νωίτερος Θεός ἐσσι, ἐγὼ δέ σέ γ᾽ ὑψόσ᾽ ἀείρω·
ἄφθιτε, κυδαίνω σε, ἐμῆς ὅτι σύνθεο φωνῆς
καί μοι ἀλεξίκακον κατεφαίνεο φέγγος ἑτοῖμον.
29 Μέλψατέ μοι Βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.

ΨΑΛΜΟΣ ΡΙΗ΄

246 *Ἑνδεκάτης δεκάδος ἀμφ᾽ ὄγδοον ἀλληλούια.*

1 Ὄλβιοι, οἵσι μέμηλεν ἀκήρατος αἰὲν ἀταρπός,
οἷς νόος ἱμείρεσκε Θεοῦ κατὰ θεσμὸν ὁδεύειν.
2 Μαρτυρίας σφετέρας φρεσὶν ὄλβιοι ἰχνεύσουσι
παντοίῃ κραδίῃ διζήμενοι ἐσθλὸν Ἄνακτα·

3 οὐ γὰρ δυσνομίης στυγερῆς ὑποφήτορες ἄνδρες
ἴχνεσιν ἀθανάτοιο κατεστείβεσκον ἀταρπούς.
4 Ἔμπεδον ἐννεσίης φυλακὴν ἐπετείλαο λαῷ·
5 εἴθε μοι εὖ μάλα πᾶσαι ἐπιθύνοιντο κέλευθοι,
ὄφρα τοι εὐδικίῃσιν ἀεὶ μεμελημένος εἴην·
6 καί κε νόῳ προφύγοιμι βαρὺν καὶ ἐλεγχέα μῶμον,
εἴ κεν ὑπ᾽ ἐννεσίῃσι θεουδέσιν ὄμματα πήξω.
7 Ἰθυνόῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω,
εὖτε δικαιοσύνης θεοτερπέος ἔργα δαείην.
8 Εὐδικίας πραπίδεσσι τεάς, Ἄχραντε, φυλάξω,
μή με διηνεκέως προλίποις, ἀγανώτατε Ποιμήν.
9 Πῶς νέος ἰθύνειεν ὁδὸν πεποτημένος ἤβῃ,
εἴ [κε] μὴ ἐννεσίας Μάκαρος πραπίδεσσι φυλάξῃ;
10 Παντοίοις, Βασιλεῦ, σὲ νοήμασιν ἰχνεύεσκον,
μή με τεῶν ἀπάνευθεν ἀπώσεαι ἐννεσιάων.
11 **247** Σεῖο, Μάκαρ, γλυκεροὺς ἐθέμην ἐν στήθεσι μύθους,
ὄφρα μὴ οὐλομένῃσιν ἀτασθαλίῃσι δαμείην.
12 Αἰνετός ἐσσι, Μάκαρ, θεσμοὺς δέ με σεῖο διδάσκοις.
13 Χείλεσιν ἡμετέροις στόματός σεθεν ἔφρασα θεσμούς·
14 σεῖο τρίβῳ γήθησα, Μακάρτατε, μαρτυριάων,
οἷά τις ἐν στέρνοις ἐπαγάλλεται εὑρέι πλούτῳ.
15 Σῇσιν ὑπ᾽ ἐννεσίῃσι περιφραδέως κελαδήσω
καί σεο τιμήεσσαν ἀνιχνεύσαιμι κέλευθον·
16 σῇσιν ἐπ᾽ εὐδικίῃσι διηνεκέως μελετήσω
οὐδὲ τεῶν ἱερῶν ἐπέων ἐπιλήσομαι αὔτως.
17 Ἀντὶ πόνων θεράποντι, Μάκαρ, σέο μισθὸν ὀπάζοις·
ζήσομαι ἀθανάτων ἐπέων φρεσὶ κέρδος ἀέξων.
18 Ἀχλὺν ἐπ᾽ ὀφθαλμῶν σκέδασον, Μάκαρ, ἣ πρὶν ἐπῆεν,
ὄφρα διπτεύσαιμι τεῶν κλυτὰ θαύματα θεσμῶν
19 ἀλλοδαποῦ βιότοιο μινυνθαδίην χθόνα ναίων·
μή μευ ἀποκρύψῃς ἀγαθῶν χάριν ἐννεσιάων.
20 Εὐδικίας ἐπόθησα τεὰς νόῳ ἤματα πάντα.
21 Οὐρανόθεν θέσπιζες ὑπερφιάλοισιν ὁμοκλήν·
λωβητοὶ μάλα σεῖο λελασμένοι ἐννεσιάων.
22 Μῶμον, Ἄναξ, ἐλάσοις καὶ ὀνείδεα πολλὸν ἐμεῖο,
οὕνεκα μαρτυρίας γεραρὰς σεθεν ἰχνεύεσκον.

23 Ἀμφ' ἐμέθεν κελάδησαν ἐπεσβόλοι ἡγεμονῆες,
αὐτὰρ ἐγὼν ἀνέμελπον ἐπ' εὐδικίῃσι τεῇσι·
24 **248** μαρτυρίαι Βασιλῆος ἐμεῦ μελεδήματα θυμοῦ,
θεσμοὶ δ' ἐκγεγάασι τεοὶ βουλεύματ' ἐμεῖο.
25 Θυμὸς ἐμὸς δαπέδοισιν ἐλεγχίστοισι πελάσθη·
ἔμπα γε μὴν μύθοισι τεοῖς, Ἄχραντε, βιώην.
26 Νωιτέρας ἐπάκουσας ἀπαγγέλλοντος ἀταρπούς·
ῥίμφα δικαιοσύνην με, Μακάρτατε, σεῖο διδάσκοις·
27 εὐδικίης κλυτὸν οἶμον ἐμῷ παρακάτθεο θυμῷ,
σοῖς δ' ἐπὶ θαυμασίοισι περιφραδέως κελαδήσω.
28 Θυμὸς ἐμεῦ ἤμυσε κακῇ βεβολημένος ἄτῃ,
ἀλλὰ τεοῖς μύθοισιν, Ἄναξ, ἐμὸν ἦτορ ἐρείδοις.
29 Οἶμον, Ἄναξ, ἀθέμιστον ἐμεῦ ἀπάνευθεν ἐρύκοις,
εὐθέσμοις δὲ τεοῖς θεσπίσμασιν ἄμμ' ἐλεαίροις.
30 Οἶμον ἀληθείης καταθύμιον αἰὲν ἐφεῦρον
οὐδὲ θεοπρεπέων λαθόμην σέθεν εὐδικιάων.
31 Μή σεο μαρτυρίῃσι πεποιθότα πάμπαν ἐλέγξῃς·
32 σαῖς ὑποθημοσύναις ἀριδείκετον ἔδραμον οἶμον,
εὖτε μάλ' εὐρύνειας ἐμοῖς ἐν στήθεσι θυμόν.
33 Σεῖο, Μάκαρ, μὲ δίδασκε τεῶν τρίβον εὐνομιάων,
καί μιν ἀνιχνεύσαιμι διηνεκέεσσι γενέθλαις.
34 Δός μοι, Ἄναξ, πινυτήν, ἵνα σευ νόμον ἐξερεείνω
καί μιν ἀεὶ στέρνοισιν ἐφ' ἡμετέροισι φυλάξω·
35 **249** εἴθε μοι ἡγεμόνευσας ἐπ' εὐνομίῃσι τεῇσι,
πᾶσαν ἐμαῖς πραπίδεσσι λιλαίομαι ἀμφιβαλέσθαι.
36 Μαρτυρίαις ἐμὸν ἦτορ ἐπικλίνοιτο τεῇσι,
μηδ' ἀκόρητον ἔλοιμι φιλοκτεανώτατον ὕβριν.
37 Ὀφθαλμῶν ἀπέλασσον ἐμῶν κενεαυχέα λώβην,
σεῖο, Μάκαρ, ζήσαιμι φερεζώοισι κελεύθοις.
38 Σῷ θεράποντι λόγον βεβριθότα δείματι τεύξοις·
39 οὔ πρὶν ὑποπτεύεσκον ὀνείδεος ἄμμε σαώσοις,
σεῦ ὅτι μειλιχίῃσι δίκαι κεκερασμέναι εἰσί.
40 Θυμῷ ἐπισπέρχω σέθεν ἵμερον ἐννεσιάων,
σεῖο δικαιοσύνην βιότου συνέριθον ἐλοίμην.
41 Θεσπεσίη μ' ἐλεητύς, Ἄναξ, σέθεν ἀμφικαλύπτοι,
σοῖσιν ἀλεξικάκοισι φάος μύθοισιν ἐπέστω,

42 ὄφρα κεν ὑβριστῆρας ἀμείψομαι, ἣ θέμις ἐστίν,
οὕνεκεν ἐλπωρὴν ἐθέμην μύθοισι τεοῖσι.
43 Μή μευ ἀληθείην στόματός σεο πάμπαν ἐρύξῃς·
σεῖο γὰρ εὐθέσμοιο δικαιοσύνης πόθον ἴσχω·
44 καὶ νόμον αἰγλήεντα τεὸν πραπίδεσσι φυλάξω
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.
45 **250** Ἔνθεν ἄρ' εὑρείῃσιν ἀεὶ προθέεσκον ἀταρποῖς,
οὕνεκεν ἐννεσίην βασιλήιον ἰχνεύεσκον·
46 οὐδέ τιν' ἀζόμενος λάλεόν σεο μαρτυρίῃσιν,
ἃ πῶς θαυμάζεσκον ἐμὴν τότε γλῶσσαν ἄνακτες.
47 Οἷς ἀγάπαζες, ἄδην μελεδήμασι θυμὸν ἔφερβον·
48 καί σεθεν ἐννεσίαις τάνυον παλάμας ἐρατειναῖς,
σῇσιν ὑπ' εὐνομίῃσι λιλαιόμενος φρένα βόσκον.
49 Μνώεό σευ θεράποντος ἐπελπομένου σέο μύθοις·
50 ἦδέ μευ ἀδρανίης παραμύθιον ἐσθλὸν ἐτύχθη,
οὕνεκ' ἀεί σεο μῦθος ἐμοὶ βίος ἔπλετο καλός.
51 Αἰὲν ὑπερφίαλοι ἀθεμίστια τεκταίνοντο,
αὐτὰρ ἐμὸς θεσμοῖσι τεοῖς νόος αἰὲν ἀρήρει·
52 ἀμπνύνθην σέο θυμόν, Ἄναξ, θεσμοῖσι πετάσσας.
53 Ἦτορ ὑπ' ἀδρανίῃ βεβολημένος ἐπτοίημαι,
θεσμῶν εἰσορόων ἀγαθῶν σεο λυμαντῆρας.
54 Θεσμῶν ὑμνοπόλευσα φίλων σέο πολλάκι μολπήν,
καί περ ἐν ὀθνείοισιν ἐὼν δαπέδοις μετανάστης.
55 Ὀρφναίην ἀνὰ νύκτα παρεμνήσθην Βασιλῆος,
ἀθάνατον δ' ἐφύλαξα φίλοις ἐν στήθεσι θεσμόν·
56 σεῖο τόδ' εὐδικίης ἀγαθῆς ἀντάξιον ἴσχω.
57 **251** Αἶσά μοι αὐτὸς ἔφυς, θεσμοὺς δέ σοι εἶπα φυλαξαι.
58 Ἀλλήκτῳ κραδίῃ λιτόμην Βασιλῆος ὀπωπῆς·
ἵλαθί μοι, Βασιλεῦ, ἐπέων δέ σευ ἄξια ῥέξω·
59 καὶ γὰρ ἐπεφρασάμην καταθύμια σεῖο κελεύθοις,
μαρτυρίης δ' ἔστρεψα τεῆς σεθεν ἀγχόθι πέζας.
60 Ἔνθεν ἑτοιμότατος γενόμην ἀδόνητος ἐών τις
σαῖς ὑποθημοσύνῃσιν ἔχειν μεμελημένον ἦτορ.
61 Ἰλλόμενος δολερῇσι δέμας σειρῇσιν ἀλιτρῶν
οὔ σεθεν εὐθέσμων λαθόμην φρεσὶν ἐννεσιάων.

Αὐτὰρ ἐγὼ διὰ νύκτα μέσην ἔσπευδον ἀναστὰς
ὑμνῆσαι πραπίδεσσι δικαιοσύνης σέο θεσμούς.
Πάντων σεῖο, Μάκαρ, δμώων ξυνήορος ἦα,
ὅσσοις ἐννεσίαι πεφυλαγμέναι εἰσὶ θεοῖο.
Χθὼν ἐλεημοσύνης ἀγαθῆς βέβριθεν Ἄνακτος·
σεῖο δικαιοσύνας ἐρικυδέας ἄμμε διδάσκοις.
Μειλιχίην θεράποντι τεῶν δωρήσαο μύθων·
μειλιχίην σοφίην τε τεήν, Μάκαρ, ἄμμε διδάσκοις,
οὕνεκεν ἐννεσίῃσι, Μάκαρ, θάρσησα τεῇσι.
Πρίν με καταδμηθῆναι, ἀτασθαλίην ἐτέλεσσα·
τοὔνεκα σοὺς ἐφύλαξα φίλοις ἐν στήθεσι μύθους.
Μείλιχός ἐσσι, Μάκαρ, σέο δ' εὐδικίας με διδάσκοις.
252 Ὕβρις ὑπερφιάλων μοι ἀθέσφατος ἐξετανύσθη,
αὐτὰρ ἀνιχνεύσαιμί σεθεν μελεδήματα θυμῷ.
Στῆθος ἐὸν λευκῷ ἴκελον ἐπέπηκτο γάλακτι,
αὐτὰρ ἐμοί σεο θεσμὸς ἀεὶ πραπίδεσσι μεμήλει.
Ὡς ἀγαθὸν χθαμαλόν τε καὶ ἠπεδανόν με τετύχθαι,
ὄφρα δικαιοσύνην ἐρικυδέα σεῖο δαείην·
ὡς ἀγαθὸς στόματος Βασιληίου ἔπλετο θεσμός,
χιλιάδων χρυσοῦ τε καὶ ἀργύρου ἄμμιν ἀμείνων.
Σῇσι, Μάκαρ, γενόμην τε καὶ ἐπλάσθην παλάμῃσι·
δὸς δή μοι πινυτήν, βουλὰς ἵνα σεῖο δαείην.
Δμῶες δερκόμενοί με τεοὶ κεχαροίατο θυμῷ,
οὕνεκα σοῖς ἐπέεσσιν ἐμὰς συνέδησα μερίμνας.
Ἀμφαδίην ἐνόησα δικαισύνης σέο θεσμοὺς
καί σευ ἀληθείῃ χθαμαλὸς καὶ ἄκικυς ἐτύχθην.
Σὴν ἐλεημοσύνην παραμύθιον ἄμμιν ὀπάσσοις
καὶ μῦθον θεράποντι τεῷ συμφράδμονα δοίης·
εὖ με κατοικτείρειας, ὅπως ζήσαιμι πεποιθώς,
οὕνεκά μοι μελέτη Βασιλήιος ἔπλετο θεσμός.
Αἶσχος ὑπερφιάλοις, οἵ μοι παρὰ θεσμὸν ἔρεξαν·
αὐτὰρ ἐγὼ περὶ σῇσιν ἐφημοσύναις κελαδήσω.
Δμῶες ἐπιστρέψωσι τεὴν τρομέοντες ἐρωὴν
253 μαρτυρίας δεδαῶτες ἀριστοπόνου Βασιλῆος.
Σῇσιν ἐφημοσύναις μευ ἀμώμητοι φρένες εἶεν,
ὄφρα κακῶν ἀπάνευθε καὶ αἴσχεος ἔκτοθεν εἴην.

Θεσπέσιον περὶ φέγγος ἐμὸς νόος ἐξεπετάσθη
συνθεσίης ἀγαθῆς ποθέων σέο μῦθον ἀκοῦσαι.
Ἀμφὶ τεῷ μύθῳ ἐμέθεν φθινύθεσκον ὀπωπαὶ
βάζουσαι, πότε δή μοι ἰὼν παραμύθιον εἴης.
Ἀσκὸς ὅπως γενόμην χιονώδεος ἐγγύθι πάχνης,
ἀλλὰ δικαιοσύνης λαθόμην σέθεν οὔ ποτε θυμῷ.
Εἰπέ, νεοῦ θεράποντος ὅσος χρόνος ἐστὶ βίοιο,
εἴ ποτέ μοι τίσειαν ἐπάξιον ὕβριν ἀλεῖται.
Ἀνέρες ὑβρισταὶ ἀεσιφροσύνας ἀνέμελπον,
ἀλλ' οὐ σὸν κατὰ θεσμὸν ἔχον ψευδηγόρον οἶμην.
Ἄφθιτοι ἐννεσίαι παναληθέες εἰσὶν Ἄνακτος·
οἱ δ' ἀδίκως μ' ἐδίωκον, Ἄναξ δ' ἐπιτάρροθος εἴης.
Καί κέ με πανσυδίῃ πέλασαν δαμάσαντες ἀρούρῃ,
αὐτὰρ ἐγώ σεο μίμνον ἐφημοσύνῃσι πεποιθώς.
Ἄφθιτε, σῇ, Βασιλεῦ, ἐλεητύι καλὰ βιώην
καί σεο μαρτυρίας στόματος στέρνοισι φυλάξω.
Οὐρανῷ ἀστερόεντι μένει σέο πάντοτε μῦθος.
254 Ἐκ γενεῆς γενεὴν δὲ νέμεις παναληθέα βουλήν·
γαῖα, Μάκαρ, παλάμῃσι μένει σέο ῥιζωθεῖσα,
ἠὼς δ' ἠριγένεια φέρει σέο φέγγος ἀνωγῇ·
σοὶ γὰρ ὑποδρήσσουσι, τά περ τεκτήναο χερσίν.
Εἰ μή μοί σεο θεσμὸς ἔην μελέδημα μερίμνης,
καί κεν ἀπεφθίμην κρυερῷ καὶ ἀπευθέι πότμῳ.
Οὔ ποτε θεσπεσίων ἐπιλήσομαι εὐνομιάων,
ἔνθεν ἐπεὶ βιότοιο τέος κεχαρισμένον εὗρον.
Εἰμὶ τεὸς θεράπων, σὺ δέ μοι κακὸν οἶτον ἀλάλκοις,
οὕνεκεν ἐννεσίῃσιν ἀεὶ θάρσησα τεῇσι.
Μαψιδίως μ' ὑπέμειναν ἀτασθάλλοντες ὀλέσσαι,
αὐτὰρ ἐγὼ ξυνέηκα χάριν σέο μαρτυριάων.
Παντοίαις ἐνόησα τέλος πραπίδεσσι βίοιο,
σὴν ὑποθημοσύνην, βασιλεῦ, εὐρεῖαν ἀνέγνων.
Ὡς μάλα θεσμὸν ἐγὼ βασιλήιον ἀμφαγάπαζον,
καί μιν ἑλὼν στέρνοισι πανημαδὸν ὑμνοπολεύσω.
Ἐννεσίην δηίων με τεὴν πλέον ἐξεδίδαξας·
καὶ γὰρ ἐμὸν κτέρας ἐστί, διηνεκέως δέ με θάλπει.

99 Εἴξατέ μοι, προτέρης σοφίης κοσμήτορες ἄνδρες·
ἐννεσίας [γὰρ] Ἄνακτος ἔχω μελεδήματα θυμοῦ·
100 πρεσβυτέρων πινυτῆς πολὺ μείζονα μῆτιν ἐφεῦρον
μαρτυρίας κατὰ θυμὸν ἀνιχνεύων Βασιλῆος.
101 Παντοίης ἀπέεργον ὁδοῦ κακοεργέος ἴχνος,
255 ὄφρα φίλον σέο μῦθον ἐμαῖς πραπίδεσσι φυλάξω.
102 Εὐδικίην φρούρησα τεὴν ἀκλινέι βουλῇ
σῆς ὑποθημοσύνης πεφοβημένος αἰὲν ἀνωγήν.
103 Σὸν παρὰ λαυκανίης ἐπέων νόμον ἡδὺν ἐφεῦρον
λαρότερον γλυκερῆς μελικηρίδος ἄμμιν ἐόντα.
104 Πάντα μάλα ξυνέηκα τεῶν χάριν ἐννεσιάων·
ἔνθεν πᾶσαν ἄθεσμον ἀπεχθαίρεσκον ἀταρπὸν
σῆς ὑποθημοσύνης πεφοβημένος αἰὲν ἀνωγήν.
105 Λύχνος ἐμοῖς σεο θεσμός, Ἄναξ, ποσὶν αἰὲν ἐτύχθη,
ἄφθιτον ἡμετέροις καὶ ἀγήραον ἴχνεσι φέγγος.
106 Ὤμοσα σῆς, Ἄχραντε, δίκης θέσπισμα φυλάξαι.
107 Ἠπεδανὸς γενόμην, ἐπέεσσι δὲ σοῖσι βιώην.
108 Γλώσσης ἡμετέρης καταθύμια καὶ σὺ κελεύοις
καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
109 Ἤτορ ἐμὸν παλάμῃσι διηνεκέως σέθεν ἴσχω
οὐδέ σεθεν θεσμοῖο φερεζώοιο λαθοίμην.
110 Ἄμμιν ἐτεκτήναντο λίνον κακομήχανοι ἄνδρες,
οὐ δὲ τεῆς ἀπάνευθεν ἐφημοσύνης ἀλαλήμην.
111 Μαρτυρίας Βασιλῆος ἔλον ζωαρκέα κλῆρον,
οὕνεκα τερπωλὴ κραδίης γεγάασιν ἐμεῖο.
112 Σάς, Μάκαρ, εὐδικίας κραδίῃ ποθέεσκον ἀνύσσαι,
ὥς κεν ἀμοιβαίοις ἀγαθοῖς ἐμὸν ἦτορ ἰαίνοις.
113 Θεσμὸν σὸν φιλέεσκον, ἀτὰρ στυγέεσκον ἀθέσμους.
114 **256** Ἄλκαρ ἐμὸν τελέθεις καὶ ἐμῆς ἐπιτάρροθος ἀλκῆς,
ἐλπίδα κυδιάνειραν ἔχον σέο πάντοτε μύθοις.
115 Εἴξατέ μοι, στυγερῶν ὑποφήτορες ἀμπλακιάων,
ὧν κεν ἀνιχνεύσαιμι Θεοῦ βασιλῆος ἐφετμάς.
116 Ἀμφὶ τεοῖς ἐπέεσσιν ἀρηγόνα χεῖρα τιταίνοις
μηδὲ καταισχύνῃς με τεὴν δεδοκημένον ἀλκήν.
117 Τειρομένῳ μοι ἄρηγε, Μακάρτατε, καί με σαώσοις·
σεῖο δ' ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω.

118 Εὐδικίην ἀθέριξας ἀπεχθαίροντας ἀλείτας,
οὕνεκα δυσσεβέων ἐνθύμιόν ἐστιν ἀλιτρόν.
119 Ὡισάμην σύμπαντας ἀλιτραίνοντας ἀθέσμους·
τοὔνεκεν ἀμφαγάπησα χάριν σέο μαρτυριάων.
120 Δείματι σῷ περίπηξον ἐμὸν δέμας οἷά περ ἥλοις·
σῶν γὰρ ὑποτρομέω σθεναρὸν κλέος εὐνομιάων.
121 Εὐνομίην ἐτέλεσσα δικαιοσύνην τ' ἐρατεινήν,
μή με βιαζομένοισιν ἕλωρ καὶ κύρμα μεθείης.
122 Εἰς ἀγαθὸν θεράποντα τεόν, Πανυπέρτατε, μίμνοις,
μηδέ με νικήσωσι δίκῃ ψευδηγόροι ἄνδρες.
123 Ὄμματά μευ ποθέεσκον ἀλεξίκακόν σεο φέγγος
καί σεο συνθεσίης ἀγανὸν καὶ ἀγακλέα μῦθον.
124 Σῷ θεράποντι, Μάκαρ, ἐλεητύος ἄξια ῥέζοις
καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
125 **257** Εἰμὶ τεὸς θεράπων, σοφίην δέ μοι ἐγγυαλίζοις,
καί σευ ἀναγνοίην μελεδήματα μαρτυριάων.
126 Ὥρη Παμβασιλῆι πολύλλιτον ἔργον ἀνύσσαι·
σεῖο κακορρέκται κέδασαν ζωαρκέα θεσμόν·
127 τοὔνεκα σῶν ἐπόθησα μέγα κλέος ἐννεσιάων
χρυσοῦ ἀριπρεπέος τε τοπαζίου πολὺ μᾶλλον·
128 ἐννεσίαις ἴθυνα τεαῖς νόον ἔνθεν ὀπηδόν,
παντοδαπὴν ἤχθηρα βίην ἀδίκους τε κελεύθους.
129 Μαρτυρίαι Βασιλῆος ἀεὶ περιθαμβέες εἰσί·
τοὔνεκ' ἀνιχνεύεσκον ἐμαῖς πραπίδεσσιν ἅπασας.
130 Σῶν ἐπέων χάρις ἄμμι βίην καὶ φέγγος ὀπάσσοι
ἀεὶ νηπιάχων σοφίην πραπίδεσσι τιθεῖσα.
131 Πνεῦμα χανὼν ὕψιστον ὑπὸ στέρνοισιν ἐδέγμην,
οὕνεκα σῶν ποθέεσκον ἀεὶ κλέος ἐννεσιάων.
132 Ἄμμι τεὴν τανύσειας, Ἄναξ, ἐλεήμον' ὀπωπήν,
ὡς θέμις ἐκτελέειν ἀγαπαζομένοισιν ἐρίοις.
133 Σοῖς μευ ἐπιθύνειας ἐπίδρομα βήματα μύθοις,
μηδέ τ' ἐλεγχήεσσα κακορραφίη με πεδήσῃ·
134 ἐκ ψευδηγορίης μερόπων ὀλοῆς με σαώσοις,
καί σεθεν ἐννεσίας ἀγαθὰς στέρνοισι φυλάξω.
135 Δευομένῳ θεράποντι τεὴν ἀνάφηνον ὀπωπὴν
258 καί με δικαιοσύνην ἐρικυδέα διδάσκοις.

136 Δακρυόεντα κέλευθα φίλης προχέεσκον ὀπωπῆς,
οὕνεκα θεσπεσίων ὑπερέδραμον ἤθεα θεσμῶν.
137 Ἦ ῥ' ὅσιος Βασιλεὺς σὺ καὶ εὐθέα πάντα δικάζεις·
138 σεῖο δικαιοσύνην ἐπετείλαο μαρτυρίῃσι
καὶ σθένος ἀστυφέλικτον ἀληθείης ἐρατεινῆς.
139 Σεῖο θεοπρεπέων ἄχεϊ κατατήκομαι οἴκων,
οὕνεκα σῶν ἐλάθοντο κακόφρονες ἐννεσιάων.
140 Σεῖο πυρὶ φλεγέθοντι πανείκελος ἔπλετο μῦθος,
ἀλλά μιν ὣς θεράπων κραδίῃ τεὸς ἀμφαγαπάζοι.
141 ἠβητὴρ τελέθω καὶ ἐλεγχήεις τις ἐτύχθην,
ἀλλ' αἰεὶ πραπίδεσσι δικαιοσύνας σέο μέλπω.
142 Σεῖο δικαιοσύνη παναγήραος ἤματα πάντα
καί σευ ἀληθείη πινυτοῖς θεσμοῖσιν ὀπηδεῖ.
143 Μόχθος με στυγερὸς καὶ ἀμήχανοι ἔσχον ἀνάγκαι,
ἀλλ' οὐδ' ὣς λαθόμην μελεδήματα σεῖο λιγαίνειν.
144 Μαρτυρίας ὁσίων φορέεις ἐγκύμονας ἔργων,
δός μοι, Ἄναξ, πινυτήν, βίοτος δέ μοι ἄρκιος εἴη.
145 Ἐκ θυμοῦ βοάσκον ὅλων τ' ἀπ' ἐμεῖο στέρνων·
κέκλυθί μευ, Μάκαρ, ἰχνεύσω δὲ τεοὺς μάλα θεσμούς.
146 Ἐκ θυμοῦ βοάσκον, ἀκήρατε, καί με σαώσοις,
259 καί σεο μαρτυρίας ἀγαθὰς στέρνοισι φυλάξω.
147 Προφθάμενος βοάσκον, ἀκήρατε, νυκτὸς ἀμολγῷ
ἐλπωρὴν Βασιλῆος ἐμὴν ἐπέεσσι πετάσσας.
148 Ὄμματά μευ προύκυψε θοῶς μετὰ καιρὸν ἔωθεν,
ὄφρα τεῶν ἐπέων μελεδήματα καλὰ βοήσω.
149 Φωνῆς ἡμετέρης ἐλεήμονι κέκλυθι θυμῷ,
σῇσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.
150 Δυσνομίην ἐλατῆρες ἐμοὶ συνέριθον ἔχεσκον,
σεῖο δὲ τιμήεντα φύγον καὶ ἀγακλέα θεσμόν.
151 Ἐγγύς, Ἄναξ, καί σευ παναληθέες εἰσὶν ἀταρποί.
152 Ἐξ εὐηγεσίης ἐδάην σέο μαρτυριάων,
νωλεμέως ὅτι πιστὰ θεμείλια πήξαο πᾶσιν.
153 Ἀδρανίην μευ, Ἄναξ, ἐπιδέρκεο καί με σαώσοις,
θεσμὸν ἐπεὶ πραπίδεσσι τεὸν μεμνημένος ἴσχω.
154 Ῥυσάμενος, Βασιλεῦ, μὲ δίκην δικάσειας ἐμεῖο,
ἡμετέρου βιότοιο τεὸς λόγος αἴτιος ἔστω.

155 Δυσσεβέων ἀπάνευθεν ἀλεξίκακόν σεο φέγγος·
σεῖο γὰρ ἐξελάθοντο δικαιοσύνας ἐρεείνειν.
156 Οἰκτιρμοὶ βασιλῆος ἀπειρέσιοι γεγάασι·
σῇσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.
157 Μυρίοι ἐξελάοντες ἐπιβρίθουσί με μόχθοις,
ἀλλ' οὐδ' ὣς ἀπάνευθε τράπην σέο μαρτυριάων.
158 **260** Ἀφροσύνης θεράποντας ἰδὼν κατατήκομαι ἦτορ,
οἷσι νόος σέο μῦθον, Ἄναξ, ἠρνεῖτο φυλάσσειν.
159 Φράζευ, ὅπως περὶ σῇσιν ἐφημοσύναις μεμέλημαι·
ἐλπωρὴν βιότοιο τεὴν ἐλεητὺν ἑλοίμην.
160 Σῶν μὲν ἀληθείην προστήσαο μητέρα μύθων,
τοῖσι δ' ἐπ' εὐδικίας ἐπετείλαο πάντοτε θεσμόν.
161 Μαψιδίως μ' ἐδίωκον ἀναιδέες ἡγεμονῆες,
μοῦνα δὲ σῶν τρομέεσκον ἐμῇ φρενὶ δείματα μύθων.
162 Ἀμφὶ τεοῖς ἐπέεσσι φίλον κεχαρήσομαι ἦτορ
ὥς τις ἀπαινύμενος δηίων ἄπο λῃδα πολλήν.
163 Δυσνομίην ἔστυξα τεὸν νόμον ἀμφαγαπάζων.
164 Ἑπτάκις ἠμάτιός τοι, Ἄναξ, τεὸν ἤνεσα κῦδος
ἔργα δικαιοσύνης μεγαλαυχέα σεῖο λιγαίνων.
165 Εἰρήνη Βασιλῆος ὑποδρηστῆρας ἐρύκοι,
οὐδέ τι νεῖκος ἔχουσι μετὰ σφίσιν ὁρμηθέντες.
166 Σὸν φάος ὠισάμην, σέο δ' ἐννεσίας ἐπόθησα·
167 μαρτυρίας ἐφύλαξα τεὰς ἀγάπησά τε θυμῷ·
168 ἐννεσίας ἐφύλαξα καὶ ἁρμονίας ἐρατεινάς·
ἔγνως νωιτέρων κατεναντία τέρμα κελεύθων.
169 Ἱκεσίη Βασιλῆος ἐμὴ προπάροιθεν ἱκέσθω,
μύθων σῶν πινυτὴν ἀντάξιον ἄμμιν ἰάλλοις.
170 Σεῦ, Μάκαρ, ἡμετέρων χάρις ἵξεται ἄντα λιτάων,
ἀλκτήρ μοι κακότητος ἀεί σεο μῦθος ἐπέστω.
171 **261** Χείλεσιν εὐκελάδοισι μέλος φιλόμολπον ἀείσω,
εὖτε δικαιοσύνην μ' ἐρικυδέα σεῖο διδάξῃς·
172 γλῶσσα τεὸν φθέγξαιτο φίλον ζωαρκέα μῦθον,
ἐννεσίαις ὅτι σῇσι δικαιοσύνην ἐκέρασσας.
173 Δεξιτερὴν τανύσειας, Ἄναξ, σέο καί με σαώσοις,
οὕνεκα σῶν ἄπληστα λιλαίομαι ἐννεσιάων.

174 Ἐκ θυμοῦ ποθέεσκον ἀλεξίκακόν σεο φέγγος,
γλώσσῃ θεσμοσύνην Βασιλήιον ὑμνοπολεύσω.
175 Ζώοι θυμὸς ἐμεῦ, καί σευ κλυτὸν αἶνον ἀείσω
καί σεθεν εὐδικίῃσιν ἀεὶ μεμελημένος εἴην.
176 Εἰροπόκου προβάτου καὶ ὁλωλότος ἶσον ἀλήθην·
μνήμονα σὸν θεράποντα τεῆς ἴχνευσον ἀνωγῆς.

ΨΑΛΜΟΣ ΡΙΘ′

Ἐνδεκάτη δεκὰς ἧδε πρὸς εἰνάτῃ ἄφθιτος οἴμῃ,
ᾠδὴ κλιμακόεσσα φερεζώων ἀναβαθμῶν.

1 Τειρόμενος βοάασκον, Ἄναξ δ' ἐπάκουσε λιτάων.
2 Χειλέων ἐξ ἀδίκων ἐμόν, ἄφθιτε, ῥύεο θυμόν·
μή με, Μάκαρ, γλώσσαις δολίαις μέλπηθρον ἐάσῃς.
3 Γλώσσῃ, Ἄναξ, δολερῇ τί νύ τις πόροι ἢ τί προσέσται;
4 Ἀλκήεντος ἔασι τεθηγμένοι αἰὲν ὀιστοὶ
262 θηροκόμου φλογεροῖσιν ὁμῶς ἄνθραξιν ἐρήμου.
5 Ὤμοι, ἐπεὶ μάλα δηρὸν ἐπὶ χθονὸς οἰκία ναίω
Κηδᾶρος καλύβῃσι συνέστια δώματα πήξας.
6 Δηρὸν ναιετάασκον ἐπ' ὀθνείῃσιν ἀρούραις·
7 εἰρήνην μετὰ πᾶσι φιλοπτολέμοισι δίωκον·
εἰς μόθον ὠτρύνοντο μάτην λαλέοντος ἐμεῖο.

ΨΑΛΜΟΣ ΡΚ′

Δωδεκάτη δεκὰς ἧδε φερεζώων ἀναβαθμῶν.

1 Ὄμματα δενδροκόμων ὀρέων ὑπερεξετάνυσσα
ἀλκὴν ἡμετέρης ποτιδέγμενος ἔνθεν ἀρωγῆς.
2 Κάρτος ἐμὸν Βασιλῆι παρ' ἀλκήεντι τετύχθω,
ὅς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.
3 Ἀλλὰ φίλον μὴ σεῖο πόδα κλονέεσθαι ἐάσῃς,
μηδέ σευ ἀγρύπνου φύλακος νόον ὕπνος ἐρύξῃ·
4 οὐ γὰρ νευστάζοντα λάβοι κάτα νήδυμος ὕπνος
φρουρὸν ἀγακλήεντα πολύφρονος Ἰσραήλου.
5 Δεξιτερήν σεο χεῖρα Θεὸς σκεπάσειε φυλάσσων·
6 οὔ σε πανημέριον φλέξοι μένος ἠελίοιο
263 οὐδέ σε παννυχίη κεραὴ σίνοιτο σελήνη.

7 Παντοίης κακότητος Ἄναξ σ' ἀπάνευθεν ἐρύκοι
ψυχῆς σῆς ἀλέγων, ἵνα μή ποτε ἄλγος ἐφεύροι.
8 Ἄφθιτος εἰσελάοντα καὶ ἐξελάοντά σε θάλποι
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

ΨΑΛΜΟΣ ΡΚΑ′

Δωδεκάτη δεκὰς ἧδε παλίσσυτος εἰς μίαν οἴμην.

1 Ἀνδρῶν ὡς πυθόμην, πολὺ δὴ πολὺ θυμὸν ἰάνθην,
οἵ με Θεοῦ πρὸς δῶμα συνέμπορον εἶπον ἱκέσθαι.
2 Ἔνθ' Ἱερουσαλῆς ἱερὰς ἀμφέσταμεν αὐλάς·
3 ἡ δέ οἱ οἷα πόλις τεκταίνετο τιμήεσσα,
ἀμφὶ δέ μιν ξυνάγερθεν, ὅσοι πέλας εἰσὶ θυραῖοι·
4 κεῖθι γὰρ ὠτρύνοντο μολεῖν δυοκαίδεκα φυλαί,
δήμων μαρτυρίη θεοτερπέος Ἰσραήλου,
ὄφρα κεν ὑμνήσωσιν ἀκήρατον οὔνομα θεῖον.
5 Κεῖσε σοφαὶ πήγνυντο δίκῃ μεμελημέναι ἕδραι,
Δαυίδου ῥηξισθενέος μετὰ δώμασι θῶκοι.
6 Εἰρήνην Ἱερουσαλῆ δίζεσθε βαθείην·
τούς σε, Μάκαρ, φιλέοντας ἀπειρέσιος μένοι ὄλβος.
7 Εἰρήνην Βασιλῆος ἔχοι περιώσιος ἀλκή,
264 ἔρκεσιν εὐπύργοισι πέλοι φυσίζοος ὄλβος
8 αὐτοκασιγνήτων καὶ ἐμῶν χάριν, ἄφθιθ', ἑταίρων.
Εἰρήνην λαλέεσκον ἐγώ σεθεν εἵνεκα βουλῆς·
9 εἵνεκα σεῖο δόμων πόθεόν σεθεν ὄλβια πάντα.

ΨΑΛΜΟΣ ΡΚΒ′

Δωδεκάτη δεκὰς ἧδε, φέρει δ' ἅμα δεύτερον ὕμνον.

1 Ὀφθαλμοὺς ἀνάειρα πρὸς οὐράνιον Βασιλῆα.
2 Ὡς δ' ὁπότε δμώεσσι φάος μετὰ χερσὶν ἀνάκτων,
ὡς δ' ὁπότ' ἀμφιπόλοιο φάος μετὰ χερσὶν ἀνάσσης,
νωίτερον, Μάκαρ, ὄμμα τεῆς ἐπιμαίεται ἀλκῆς,
εἰσόκε δευομένοισι τεὴν ἐλεητὺν ὀρέξῃς.
3 Ἡμέας ἀλλ' ἐλέαιρε, Μακάρτατε, μηδ' ἀπολήγοις,
ὕβριος εἵνεκα πάντες ἐνεπλήσθημεν ἀνιγρῆς,

4 θυμὸς ἐνὶ στήθεσσι κακῶν βέβριθεν ἑκάστῳ.
'Ανδράσιν ἀφνειοῖσιν ὀνείδεα πικρὰ λελείφθω,
αὐτὰρ ὑπερφιάλοισιν ἐλέγχεα πάντα τετύχθω.

ΨΑΛΜΟΣ ΡΚΓ'

Ἥδε δυωδεκάτη τρίτατον δεκὰς ὕμνον ἄγουσα.

1 Ἡμέων εἰ μὴ φρουρὸς ἔην ἐρυσίπτολις ἐσσήν,
2 **265** εἰ μὴ φρουρὸς ἔην, λεγέτω μέγας 'Ισραῆλος.
'Αμμι κορυσσόμενοι δήιοι μετὰ φύλοπιν ἄνδρες,
3 καί κε καταβρώξαντες ἔτι ζώοντας ἔλοντο,
τῶνδε κοτεσσαμένων φλογερῷ καὶ ἀπηνέι θυμῷ.
4 Καί κε θοὸν βρυχίους κατερήτυεν ἡμέας ὕδωρ,
θυμῷ χειμερίοιο παρήλθομεν ὕδατος ὁρμήν,
5 ψυχὴ δ' ἡμετέρη παρελήλυθεν ἀσταθὲς ὕδωρ.
6 Αἰνετός, ὃς θήρην σφετέροις οὐ δῶκεν ὀδοῦσι.
7 Νωίτερος στρουθῷ πανομοίιος ἔπτατο θυμὸς
δείν' ὀρεσιτρεφέων προφυγὼν λίνα θηρητήρων·
δίκτυον ἐρραίσθη, φύγομεν δ' ἄπρηκτον ἀνάγκην.
8 Ἡμέτερον Βασιλῆι παρ' ἀθανάτῳ κράτος ἐστίν,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.

ΨΑΛΜΟΣ ΡΚΔ'

Δωδεκάτη δεκὰς ἥδε, φέρει δ' ἅμα τέτρατον ὕμνον.

1 Οὔρεος ἀθανάτῳ πίσυνοι Σιῶνος ὁμοῖοι·
οὐχ 'Ιερουσαλῆς ναέτην κλόνος αἰνὸς ἱκάνοι.
2 Οὔρεά οἱ κύκλῳ δήμοιό τε κυκλόθεν ἐσσὴν
νῦν ἅμα καὶ μετέπειτα δηνεκέεσσι γενέθλαις·
3 **266** οὐ γὰρ ἀτασθάλλοντος Ἄναξ ποτὲ ῥάβδον ἐάσει
κλήρῳ ἀριπρεπέων ὁσίων ἐναρίθμιον εἶναι,
ὡς μὴ ἐπ' ἀμπλακίῃ παλάμας τανύσωσι δίκαιοι.
4 Τοῖς ἀγαθοῖς ἀγάθυνον ὁμοῦ τ' ἰθύφροσι θυμῷ,
5 τοὺς δὲ λιλαιομένους σκοτίαις βουλῇσι κυδοιμοῦ
δυσνομίης ἄχραντος ἄμ' ἐργατίνῃσιν ἀπάξει.
Εἰρήνη χαρίεσσα μετὰ κλητὸν 'Ισραῆλον.

ΨΑΛΜΟΣ ΡΚΕ'

Δωδεκάτη δεκὰς ἥδε μέλος θ' ἅμα πέμπτον ἔχουσα.

1 Σιῶνος παλίνορσον Ἄναξ ὅτε ληίδ' ἀγείρει,
ἄμμι πολυστονάχων ἀχέων παραμύθιον ἦεν.
2 Ἅ πόσον ἐμπλησθέντες ἀνὰ στόμα χάρμα φέροιμεν,
τερπωλῆς δ' ἐρόεσσαν ὅλης ἐγκύμονα γλῶσσαν.
Καί κέ τις ἀλλοδαπῶν ἐρέει καὶ νόσφιν ἀκούσας·
3 ταῦτα Θεοῦ βασιλῆος ἔφυ μεγαλαυχέα ἔργα.
Ἄμμες ἐπ' εὐφροσύνῃ τε καὶ ἀγλαΐῃ θαλέθοιμεν.
4 Ἡμετέρην στρέψειας ἀλήμονα ληίδα, Ποιμήν,
οἷα Νότου πνοιῇ στρέφεται χειμάρροος αἰνός.
5 Δάκρυσιν οἱ σπείροντες ἐπαμήσουσι χαρέντες.
6 **267** Γειοπόνοι στενάχιζον ἐὸν σπόρον ἐξαγαγόντες,
ἀντ' ὀλοοῦ δὲ φέροιντο γόου ποτὶ δράγμασι χάρμα.

ΨΑΛΜΟΣ ΡΚϚ'

Δωδεκάτη δεκὰς ἥδε, μέλος δ' ἔχει ἕκτον ἀγητόν.

1 Εἰ μὴ Παμβασιλεὺς ἐθέλων δωμήσεται οἶκον,
ἃ πόσα μοχθίζουσι μάτην περὶ τέκτονες ἄνδρες·
εἰ μὴ Παμβασιλεὺς ἀριδείκετον ἄστυ φυλάξῃ,
2 μαψιδίως ἄγρυπνον ἔχει πυλαωρὸς ὀπωπήν.
'Εκ δ' ἠοῦς κενεὴ πέλεται φυλακή τις ἑκάστῳ·
ἔγρεσθε, τί μοι ὧδε κατὰ σφέας ἑδριάασθε
δαιτὸς ἀπαινύμενοι μογερῆς πολυώδυνον ἄρτον;
Εὖτε γὰρ οἷσι φίλοισι μόλοι περινήδυμος ὕπνος,
3 δέρκεό μοι Βασιλῆος ἰὼν κλῆρόν τε καὶ υἷας,
γαστρὸς καρποτόκοιο φίλον καὶ ἀγακλέα μισθόν·
4 ὥς τε γὰρ ἀλκήεντι πέλει μετὰ χερσὶ βέλεμνα,
ὧδε τιναχθέντων σθεναροὺς θηήσεται υἷας.
5 Ὄλβιος, ὅς τίς ἔθεν φίλον ἵμερον ἐκτολυπεύσει·
οὐδ' ἐχθροῖς λαλέοντας ἕλοι ψύθος ἄντα πυλάων.

ΨΑΛΜΟΣ ΡΚΖ'

268 *Ἕβδομον ἀμφιέπουσα δυωδεκάτη δεκὰς ὕμνον.*

1 Ὄλβιοι, οἷσι μέμηλε μετὰ σφίσι δεῖμα Θεοῖο,

οἷσιν ὁδῷ Βασιλῆος ἀεὶ πόδες εἰσὶν ἑτοῖμοι.
2 Τέρψεαι, ὧν ἐμόγησας , ἔδων μελιηδέα καρπόν·
ἔσταί τοι καλὰ πάντα, βροτῶν δ' ὄλβιστος ἀκούσεις.
3 Σὴ δάμαρ ἡμερίδι πανομοίιος οἶκον ἐρέψει·
υἱέες αὖ νεαραῖς ἴκελοι γεγαῶτες ἐλαίαις
ἀμφὶ τεῆς θαλέθοντες ἱκοίατο κύκλα τραπέζης.
4 Ὧδε μάλ' ὀλβίζοινθ', ὁπόσοι τρομέουσιν Ἄνακτα.
5 Ἄφθιτον ἐκ Σιῶνος ἔχοις Βασιλήιον αἶνον,
Θεσπεσίης δ' Ἰερουσαλῆς θηήσεαι ὄλβον
ἀκαμάτου βιότοιο διαμπερὲς ἤματα πάντα,
6 υἱωνοὺς περὶ παισὶ φίλοις ὄσσοισι νοήσεις.
Εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον.

ΨΑΛΜΟΣ ΡΚΗ'

Ὄγδοον ἀστράπτουσα δυωδεκάτη δεκὰς ὕμνον.

1 Πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν αὐτήν,
269 βαζέτω ἀλκήεις καὶ ἀοίδιμος Ἰσραῆλος·
2 πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν αὐτήν,
οὐ δέ μοι ἐσσύμενοι πάρος ἔσθενον ἰσοφαρίζειν.
3 Δυσσεβέες τέκταινον ἐμῷ κακὰ κήδεα νώτῳ
ἀμπλακίην σφετέρην ἀποφώλιον ἐκτανύοντες·
4 αὐτὰρ ἄναξ ὅσιος, κατὰ δ' ἔκλασεν αὐχέν' ἀλιτρῶν.
5 Αἶσχος ἀπεχθαίροντας ἀεὶ Σιῶνα καλύπτοι,
6 καρφαλέοι δὲ γένοιντο ὅπως περὶ δώμασι χόρτος,
ὅς τε πρὸ ἀμητῆρος ἀμειδέι κάρφεται ὥρῃ,
7 οὗ παρ' ἀμαλλοδετὴρ κενεὴν μόλε χεῖρα κομίζων
οὐδ' ἄρα κόλπον ἔπλησεν ἐτήσια δράγματ' ἀγείρων,
8 οὐδὲ παρερχόμενός τις ἐπήνεσεν ἀνέρας ἔργου·
ἀνέρας ἤνιζον θείῃ κεχαρηότας ὥρῃ.

ΨΑΛΜΟΣ ΡΚΘ'

Δωδεκάτη δεκὰς ἥδ' ἀμφ' εἴνατον ὕμνον ὁρᾶται.

1 Νειόθεν ἐκ βόθροιο βοὴν ἀνέμελψα χατίζων·
2 αὐδῆς ἡμετέρης, πανυπέρτατε, κέκλυθι, Ποιμήν·
ἱκεσίης ἐπάκουσον, ἐμὴν δ' ὑποδέχνυσο φωνήν·

3 ἢν γὰρ δυσνομίας μερόπων στέρνοισι φυλάξῃς,
τίς βροτὸς ἀθανάτοιο δυνήσεται ἀντία θυμοῦ;
4 Αἰέν, Ἄναξ, ἐλεημοσύνην πραπίδεσσι φυλάσσεις.
5 **270** Εἵνεκα σῆς σοφίης ἀρετὴν Βασιλήιον ἔτλην,
θυμῷ ἐπέσπευδον θεοτερπέα θεσμὸν ἑλέσθαι
6 καὶ κραδίῃ ποθέων σοι ἐμῇ, Μάκαρ, ἐλπίδα θέσθαι
ἤματος ἐκ φρουρῆς νυχίων καὶ μέχρι κελεύθων.
Ἤματος ἐκ φρουρῆς μελέτω Θεὸς Ἰσραήλῳ,
7 οὕνεκ' Ἄναξ ἐλεητὺν ἔχει καὶ ἐλεύθερον ἦμαρ
8 ῥυόμενος κακότητος ὅλον κλυτὸν Ἰσραῆλον.

ΨΑΛΜΟΣ ΡΛ'

Ἡδὺ μέλος δεκάδος τρισκαιδεκάτης πέλει οἵμης.

1 Οὔ ποτέ μοι πραπίδεσσιν ὑπέρβιον ἦτορ ἀέρθη
οὐδέ μευ ἠπερόπευσε μετήορος ὄμματα λώβῃ·
οὐδέ ποτ' ἐν μεγάλοισιν ἔχον πεποτημένον ἦτορ
οὐδέ τ' ἀρειοτέροις ἐπὶ θαύμασιν ἐξεπετάσθην,
2 ἀλλ' αἰεὶ φρόνεον χθαμαλώτατα μειλιχίῃσιν,
αὐδὴν δ' ὣδ' ἀνάειρον ἀθέσφατον, οἷα γάλακτος
νηπίαχος χατέων ὀλοφύρεται ἀμφὶ τεκούσῃ,
ὥς κεν ἀμοιβαίοισιν ἐμὸν μετελεύσεται ἦτορ.
3 Ἰσραῆλος ἄνακτα Θεὸν πραπίδεσσι δοκεύοι
νῦν ἄμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

ΨΑΛΜΟΣ ΡΛΑ'

271 *Ἐκ τρισκαιδεκάτης δεκάδος πρῶτον καλεούσης*
ἡδὺ μέλος λιγυρόν τε φερεζώων ἀναβαθμῶν.

1 Μνώεο Δαυίδου καὶ μειλιχίης ἕο πάσης·
2 ὤμοσεν ἀθανάτῳ Βασιλῆι δ' ἄρ' εὔξατο τοῖα·
3 εἴ ποτε τιμήεντος ἐλεύσομαι ἔνδοθεν οἴκου
ἢ πολὺ καλλίστων λεχέων ἐπιβήσομαι εὐνῆς,
4 εἴ ποτε μείλιχον ὕπνον ἐμοῖς ὑποδέξομαι ὄσσοις,
εἰ κατανευστάζειν τε φίλοις βλεφάροισιν ἐάσω,
εἰ κροτάφοις ἀνάπαυμα μεθ' ἡμετέροισιν ἑλοίμην,
5 εἰσόκε τιμήεντα τόπον Βασιλῆι κιχείω,
ἄφθιτον ὄφρα κε νηὸν Ἰακώβου Θεῷ εὕρω.

6 Τήνδε μέν, ὡς πυθόμεσθα, κατ' Ἐφραθὰ βάξις ἀείδει·
εὕρομεν —οὐ δ' ὅθι βάξις— ἀνὰ δρυμὰ καὶ κατὰ βήσσας.
7 Δεῦτε, φίλοι, καλύβας δὲ μετέλθομεν ἀθανάτοιο
καὶ δάπεδον γεραρὸν γουνασσόμεθ', οὗ πόδα πῆξεν.
8 Ἔγρεο, Παμβασιλεῦ, ἀνάπαυμα δὲ σεῖο κιχάνοις,
σὺν δ' ἅμα φωριαμὸν πανακήρατον αὐτὸς ἐγείροις.
9 **272** Σεῖο, Μάκαρ, πυκάσαιντο δικαιοσύνην ἱερῆες,
πολλῷ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
10 Εἵνεκα Δαυίδου, μεγαλοσθενέος θεράποντος,
μή ποτε σὴν χριστοῖο μεταστρέψειας ὀπωπήν.
11 Ὤμοσε Δαυίδῳ βασιλεὺς παναληθέα ῥέξαι,
ὤμοσε καὶ κατένευσεν, ἑοὺς δ' οὐ ψεύσεται ὅρκους,
θώκῳ ἀνακτορίης σέο νηδύος ἔρνος ἐρεῖσαι.
12 Συνθεσίην εἰ φῦλον ἐμὴν σεο τήνδε φυλάξει
μαρτυρίας τ' ἀγαθάς, ἅς σφιν φρεσὶν αὐτὸς ἐρείσω,
οὔ ποτ' ἀπολλήξειε τεῆς ὑπερήμενον ἕδρης,
13 οὕνεκα δὴ Σιῶνα Θεὸς προελέξατο θείην,
ὡς δέ μιν ἱμερτὸν ποθέει καὶ ἐπήρατον οἶκον.
14 Τοῦτό μοί ἐστ' ἀνάπαυμα μετ' ἀλλήκτοισι γενέθλαις,
ἐνθάδε ναιετάοιμι πόθῳ πεπεδημένος ἐσθλῷ.
15 Οἰκία μὲν πλήσαιμ' ἀγαθῶν ἐπιδευέα χήρης,
πτωχοῖς δ' αὖτ' ὀπάσαιμι βίου μενοεικέα δαῖτα·
16 ἔνθα μὲν ἀρητῆρσι πέλοι φάος ἀμφιβαλέσθαι,
πολλῶ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
17 Ἐνθάδε Δαυίδῳ κέρας ἄφθιτον ἀντείλαιμι,
χριστῷ λύχνον ἑτοῖμον ἐμῷ πόρον ἡγεμονῆα·
18 **273** αἶσχος δυσμενέεσσιν ἑοῖς καὶ μῶμον ἀνάψω,
ἡμετέρη δ' ἀμφ' αὐτὸν ἀκηρασίη ἀνατέλλοι.

ΨΑΛΜΟΣ ΡΛΒ'

Ἐκ τρισκαιδεκάτης δεκάδος μετὰ δεύτερον ὕμνον
οἴμης τ' ἐννεσίης ἄφθιτος εὐεπίη.

1 Τί θνητοῖς καλὸν ἔσκε, τί δ' αὖ τέρπνιστον ἐτύχθη,
ἠὲ κασιγνήτοισιν ὁμοῦ φίλα δώματα ναίειν;
2 Ὡς μύρον ἐσσύμενον κεφαλῆς ἄπο μέχρι γενείου,

Ἀρῶνος γεραροῖο γενειάδα πᾶσαν ἐφέρπον,
ἐκ δέ οἱ ἀνθερεῶνος ἐπιτρέχον ἔσχατα πέπλου·
3 ὡς δρόσος αἰθερίη πολυανθέος Ἀερμῶνος
οὔρεσιν ἀνθοκόμοισιν ὑπὲρ Σιῶνος ἰοῦσα,
εὐλογίην ὅθι πᾶσαν ἐὴν ἐπετείλατο Ποιμήν,
νωλεμέως βιότοιο διαμπερὲς ἔμμεναι ἄλκαρ.

ΨΑΛΜΟΣ ΡΛΓ'

Σὺν τρισκαιδεκάτῃ δεκάδι τρίτατος πέλει ὕμνος.

1 Δμῶες πάντες Ἄνακτος, ἀείσατε Ποιμένα κόσμου
ἱστάμενοι Βασιλῆος ἐρισθενέος κατὰ δῶμα·
2 οἵ τε Θεοῦ μεθέπουσι δόμων εὐερκέας αὐλάς,
πάννυχοι εἰν ἁγίοιο δόμοις ἀναείρατε χεῖρας
274 καὶ μεγαλοσθενέτην ἀναμέλψατε Παμβασιλῆα.
3 Δοίη τοι Βασιλεὺς Σιωνόθεν αἶνον ἑτοῖμον,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.

ΨΑΛΜΟΣ ΡΛΔ'

Τῇ τρισκαιδεκάτῃ δεκάδι μέλος ἀλληλούια
αἰὲν ἀγακλήεις περὶ τέτρατος ὕμνος ὀδεύει.

1 Οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος,
Ποιμένα τιμήεντα, σοφοί, ἀναμέλψατε, παῖδες,
2 ἱστάμενοι Βασιλῆος ἐρισθενέος κατὰ δῶμα,
οἵ τε Θεοῦ μεθέπουσι δόμων εὐερκέας αὐλάς·
3 μέλψατέ μοι Βασιλῆα, ἐπεὶ Θεὸς ἐσθλὸς ἐτύχθη·
οὔνομά οἱ φορμίζετ', ἐπεὶ τόδε καλὸν ἀείδειν·
4 οὕνεκ' Ἰάκωβον πινυτὸν προελέξατο Ποιμὴν
καὶ κτῆσιν σφετέρην ἔθετο κλυτὸν Ἰσραῆλον.
5 Οἶδα φίλαις πραπίδεσσιν, ὅπως μέγας ἔπλετο Ποιμήν·
ἡμέτερος Βασιλεὺς μακάρων περιγίνεται ἄλλων
6 τεύχων, ὁππόσα θυμῷ ἀριστοπόνῳ μενεαίνει,
οὐρανῷ ἀστεróεντι καὶ ἐν χθονὶ πουλυβοτείρῃ,
πυθμέσιν ἐν βυθίοισι καὶ ἐν πάσῃσι θαλάσσαις·

7 ὀμβροτόκους νεφέλας πυμάτης χθονὸς ὑψόσ' ἀείρων
ὑετῷ αἰθερίας στεροπὰς σημήια θῆκεν·
275 αὐτὸς Ἄναξ ταμίων ἀνεμοδρόμον ἔξαγεν ἀλκήν.
8 Πᾶσαν πρωτότοκον δάμασεν Νείλοιο γενέθλην
5 σὺν καὶ τετραπόδων ἀγέλας μερόπεσσιν ἐναίρων,
9 γαίης Αἰγυπτίης μέσα, θέσκελα μυρία τεύχων·
οἶδε παθὼν Φαραώ, δμῶες δέ οἱ οὐ φύγον ἄτην.
10 Αὐτὸς δυσμενέων κατενήρατο μυρία φῦλα
ἰφθίμους βασιλῆας ὑπερμενέως ἐναρίζων,
10 11 κάρτιστον Σηῶνα, Ἀμορραίων βασιλῆα,
Ὤγόν τε, σθεναρὸν βριαρῆς Βασᾶνος ἄνακτα,
κοιρανίας θ' ἑτέρας Χαναάμου παιδοφονῆος.
12 Τῶν δ' ἄρα γαῖαν ἑλὼν σφετέρους διεδάσσατο κλήρους,
κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραήλῳ.
15 13 Οὔνομα Παμβασιλῆος ἀεὶ παναγήραον ἔστω,
ἐκ γενεῆς γενεὴν δὲ Θεοῦ μνημήιον ἐσθλόν.
14 Τοὔνεκα δὴ σφετέροισιν Ἄναξ λαοῖσι δικάζοι
ἀμφὶ φίλοις δμώεσσιν ἄκος παραμύθιον ἴσχων.
15 Εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,
20 **276** ἀνδρομέων ἀλαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·
16-17 οἷς οὐ φέγγος ἔπεστι περὶ ξεστῇσιν ὀπωπαῖς·
οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀίουσιν αὐτῆς·
οὐδὲ φθόγγον ἔχουσι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη·
οὐδ' ἱερὴ ῥίνεσσιν ἐπέρχεται ἠέρος ὀδμή·
25 οὐ σθένος ἀμφαφόωντι, καὶ εἰ χείρεσσι κέκασθεν,
οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·
οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσσασθαι·
οὐ γὰρ δή σφισι πνεῦμα διὰ στόματος προβαλέσθαι.
18 Τέκτονες εἰδώλοισι γενοίατο τοῖσιν ὁμοῖοι,
30 καὶ πάντες τοι τοῖσι νόῳ περιθαρσέες εἰσί.
19 Μέλψατέ μοι Βασιλῆα, σοφοῦ δόμος Ἰσραήλου·
πᾶς δόμος Ἀρῶνος, κελαδήσατε Παμβασιλῆα·
20 Λευίδα κλυτὸς οἶκος, ἀείσατε Ποιμένα κόσμου·
οἷς φρεσὶ δεῖμα Θεοῖο μέλει, κελαδήσατ' Ἄνακτα.
35 21 Αἰνετὸς ἐκ Σιῶνος Ἄναξ πανυπέρτατος ἔσται
ἀμφ' Ἱερουσαλῆ θεοτερπέα δώματα ναίων.

ΨΑΛΜΟΣ ΡΛΕ'

277 *Τῇ τρισκαιδεκάτῃ δεκάδι κλυτὸν ἀλληλούια*
ἡδύ τι καὶ λιγυρὸν πέμπτον ἄεισμα πέλει.

1 Λαοί, μειλιχίην, ἀναμέλψατε Παμβασιλῆι,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·
2 ἀθάνατον μακάρων ἀναμέλψατε Παμβασιλῆα,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·
3 μέλψατέ μοι Βασιλῆα μεγασθενέτην βασιλήων,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
4 ὃς μοῦνος δεδάηκεν ἀθέσφατα θαύματα τεύχειν,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
5 οὐρανὸν ἀστερόεντα σοφῇ τεχνήσατο βουλῇ,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
6 γαῖαν ἐπεστήριξεν ἐφ' ὕδασιν οὐ πρὶν ἐοῦσαν,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
7 ὃς σθεναροὺς φωστῆρας ἑῷ τεχνήσατο μύθῳ,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
8 ἠέλιον φαέθοντα καλῆς ἐπιήρανον ἠοῦς,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
9 τείρεα καὶ μήνην νυχίων βασιλείαν ἀταρπῶν,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
10 πρωτοτόκων Αἴγυπτον ὁμῶς ἐδάμασσε γενέθλην,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
11 **278** τῶν δ' ἐκ μέσσον ἑλὼν ἐξήγαγεν Ἰσραῆλον,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
12 θαρσαλέῃ μάλα χειρί, βραχίονι πάντα πεποιθώς,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
13 ῥηξάμενος πύργωσε διάνδιχα πολλάκι πόντον,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
14 τοῦ δὲ μέσον στείχοντα διήγαγεν Ἰσραῆλον,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
15 ὃς Φαραὼ στρατιήν τε τόσην βίῃ ἔμβαλε πόντῳ,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
16 ὃς κατ' ἐρημαίην σφετέρου ἡγήσατο λαοῦ,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,

17 ὃς μεγάλους βασιλῆας ὑπερμενέως ἐνάριξεν,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
18 ῥηιδίως δ' ἀλάπαξεν ὑπερκύδαντας ἄνακτας,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
19 ἀντίθεον Σηῶνα, Ἀμορραίων βασιλῆα,
279 οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
20 Ὤγόν τε, σθεναρὸν βριαρῆς Βασᾶνος ἄνακτα,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·
21 τῶν δ' ἄρα γαῖαν ἑλὼν σφετέρους διεδάσσατο κλήρους,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
22 κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραήλῳ,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·
23 οὕνεκα τειρομένων ἡμῶν ἐμνήσατο Ποιμήν,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
24 ἐκ δ' ἄρα ῥιγεδανῶν δηίων ἀπελύσατο λαόν,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,
25 ὃς πᾶσι θαλίην, οἷς ἔκτισε, μοῦνος ὀπάζει,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
26 Μέλψατέ μοι Βασιλῆα μέγαν πόλου ἀστερόεντος,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.

ΨΑΛΜΟΣ ΡΛΣ'

α. Πὰρ τρισκαιδεκάτῃ δεκάδι Δαυΐδος ἔμελψεν
ἕκτον ἑῆς σοφίης ἄξιον ἡδὺ μέλος.

β. **280** *Ἀμφ' ἑκατοστῷ καὶ τριακοστῷ ἔπλετο ἕκτον*
Δαυίδου πινυτῆς ἀμφ' Ἱερεμίου τόδ' ἄεισμα.

γ. Ἐκ τρισκαιδεκάτης δεκάδος πινυτοῖο Δαβίδου
ᾆσμα γόων ἀμφ' Ἱερεμίου, τό περ ἕκτον ἐτύχθη,
ἀμφ' Ἱερουσαλῆς, Βαβυλώνιον ἦλθον ὅθ' ὕδωρ.

1 Κλαύσαμεν ἑζόμενοι ποταμῶν Βαβυλῶνος ὕπερθε,
μνησάμενοι Σιῶνος ἀριπρεπέος τ' ἀλεωρῆς·
2 μεσσόθι δ' αὖ ποταμῶν ὑπὲρ ὠλεσίκαρπον ἰταίην
ἡμέτεραι φόρμιγγες ἀπηώρηντο λίγειαι.
3 Κεῖσ' ἀναειρόμενοι λῃστορες ἔννεπον ἄνδρες,
ἡμέας οἳ δέ τ' ἔπερσαν, ἀειδέμεναί σφισι ὕμνον·
ἐκ μελέων Σιῶνος ἀγακλέος εἴπατε μολπήν.

4 Θεῖον ἐν ἀλλοδαπῇ πῶς κεν μέλος ἐστὶν ἀεῖσαι;
5 Αἴ χ', Ἱερουσαλὴ πολυήρατε, σεῖο λαθοίμην,
ἡμετέρη λελάθοιτο φίλη κατὰ δεξιτερὴ χείρ·
6 πηγνυμένη περὶ λαιμὸν ἐμὴ κάρφοιτό κε γλῶσσα,
εἰ μή σευ κατὰ θυμὸν ἀεὶ μεμνημένος εἴην,
ὡς Ἱερουσαλὴν καὶ ἐν εὐφροσύνῃ προβαλοίμην.
7 Καὶ σύ, Μάκαρ, τεκέων ἐπιλήθεο μή ποτ' Ἐδώμου,
ὄλβιον ἦμαρ ἔχειν Ἱερουσαλῆς ἐριτίμου,
281 τῶν ποτε βαζόντων· κενεή, κενεή τις ὄλοιτο,
μηδέ τί οἱ φείδεσθε, ἕως ἔτι πυθμένας ἴσχει.
8 Ὦ θύγατερ Βαβυλῶνος, ἀεὶ περικάμμορος εἶης·
ὄλβιος, ὃς προτέρης σε βίης ἀποτίσεται ἀνήρ,
9 ὃς πέτρης ὑπένερθε μολὼν σεο νήπια ῥήξει.

ΨΑΛΜΟΣ ΡΛΖ'

α. Πὰρ τρισκαιδεκάτῃ δεκάδι μέλος ὑμνοπολεύει
Δαυΐδος λιγυρῆς ἕβδομον ἁρμονίης.

β. Ἕβδομον ἀμφ' ἑκατοστόν τε τριακοστὸν ἐτύχθη
Ζαχαρίου πινυτῆς ἡδὺ μέλος σοφίης.

γ. Ξυνὸν Ζαχαρίου καὶ Ἀγγαίου τόδ' ἄεισμα
πρὸς τρισκαιδεκάτῃ δεκάδι λιγὺ ἕβδομον ἔννι.

1 Ἀλλήκτῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω·
ἄντα, Μάκαρ, μέλψω σε θεοδμήτων στρατιάων,
οὕνεκα παντοίων ἐπέων ἤκουσας ἐμεῖο.
2 Ἄχραντόν σεο νηὸν ἐπεσσυμένως λιτανεύσω,
σπουδῇ Παμβασιλῆος ἀκήρατον οὔνομα μέλψω
σήν τ' ἐλεημοσύνην καὶ ἀληθέα πάντοτε βουλήν,
οὔνομ' ἐπεὶ πάντων κρατέει σέο πᾶσιν ἀνάσσον.
3 Κέκλυθί μευ καλέοντος, ὅτε χρέος ἐστὶ λίτεσθαι·
ψυχῇ νωιτέρῃ καιρὸν ὀπάζοις.
4 Ἀθάνατον βασιλῆες ὅλης χθονὸς ἀείδοιεν,
282 οὕνεκα παντοίων σέθεν ἔκλυον οὔασι μύθων·
5 θεσπεσίοις μελέεσσιν ἀνυμνήσωσι Θεοῖο,
οὕνεκα δὴ χθόνα κῦδος ὁμοῦ νεφέεσσι καλύπτει.
6 Αἰὲν Ἄναξ ὕψιστος, ἀτὰρ χθαμαλώτατα λεύσσει·
ἴδμων δ' ὑψίστων πέλεται καὶ τῆλε δεδορκώς.

7 Ζωγρήσεις ὀλοῇ με μέσον δεδμημένον ἄτῃ·
χεῖρας δυσμενέεσσιν ἐμοῖς θώρηξα χολωθείς,
δεξιτερὴ δέ με σεῖο κακῶν ἀπελύσατο μόχθων.
8 Ἀντ' ἐμέθεν δηίοισιν ἀκερδέα μισθὸν ὀπάζοις·
νωλεμέως ἐλεητὺν ὑπὸ στέρνοισι φυλάσσοις
μηδὲ τεῆς, Βασιλεῦ, παλάμης ὑπερόψεαι ἔργα.

ΨΑΛΜΟΣ ΡΛΗ'

α. Πὰρ τρισκαιδεκάτῃ δεκάδι μέλος ὄγδοον ἠχεῖ
Δαυῒδος κιθάρῃ μείλιχα τερπόμενος.
β. Δαυίδου πινυτῆσιν ἄεισμα ἄμφο διασπορέει·
ἑκατοστὸς ἀμφὶ τριακοστὸς ἐτέτυκτο ὄγδοος.
γ. Ὄγδοον ἀμφ' ἑκατοστόν τε τριακοστὸν ἐτέτυκτο
Δαυίδου πινυτοῦ ᾆσμα διασπορέης.
δ. Ἀμφὶ διασπορέης λιγυρὸν μέλος ᾖσε Δαβῒδος·
ὄγδοον ἀμφ' ἑκατοστῷ ἐτύχθη καὶ τριακοστῷ.

1 Αὐτός, Ἄναξ, ἐδάης με καὶ ἐξιχνεύσαο λίην,
2 **283** οὐδ ἄρα σ' ἐζόμενός τε καὶ ἐγρόμενός ποτε λήθω·
νόσφιν ἐμὰς ξυνέηκας ὑπὸ στέρνοισι μενοινὰς
3 ἴχνος ἀνιχνεύων καὶ ἐμὴν ἰθεῖαν ἀταρπόν,
οὐδὲ τεοῖς ὅσσοις τις ἐμῶν προλέλαστο κελεύθων,
4 οὐδ' ἔπος ἐκ γλώσσης προθέειν ἀθεμίστιον ἔγνων.
5 Αὐτὸς ἔφυς πυμάτων τε παλαιγενέων τε δαήμων
καί με διαπλάσσας ὑπεθήκαο χεῖρα καρήνῳ.
6 Θαῦμά μ' ἔχει, ὅτε σεῖο περιφράσομαι φρεσὶ μῆτιν
οὐδὲ νόῳ δύναμαι κρατερώτατα πολλὸν ὁρᾶσθαι.
7 Πνεύματος οὐκ ἄρα σεῖο μέγα κράτος ἦεν ἀλύξαι
οὐδὲ τεῆς ἀπάνευθε κατακρύπτεσθαι ὀπωπῆς.
8 Οὐρανὸν αἴ κε μόλοιμι, τεὸς θρόνος οὗτος ἐτύχθη·
ἢν Ἀΐδην δ' ἔλθοιμι, καὶ ἐν νεκύεσσιν ἀνάσσεις·
9 ἢν δὲ καὶ ἰθυπόρους πτέρυγας ἀνέμοισι πετάσσας
αὐλισθῶ νεάτοισι πολυσμαράγοιο θαλάσσης,
10 ἔνθα κε σῆς παλάμης δευήσομαι ἡγεμονῆος
καί σεο δεξιτερῆς, ἵνα μοι βίος ἔμπεδος εἴη.

11 Εἶπα δέ· μὴ τάχα με στείψει φθισίμβροτος ὄρφνη·
284 νύκτα δὲ καίνυτο τέρψις, ἀτὰρ κνέφας ἤλασε φέγγος·
12 ὄρφνην γὰρ δεδάηκε τεὸν φάος ἀμφικαλύπτειν
καὶ νύκτα δνοφερὴν τελέειν φαεσίμβροτον ἦμαρ·
οὔ τις ἀναγνοίη, ποῖον κνέφας ἢ φάος εἴη.
13 Οὕνεκεν ἡμετέρους, Βασιλεῦ, ἐκτήσαο νεφρούς,
ἄλκαρ ἐμόν, Μάκαρ, ἐσσὶ φίλης ἐν γαστρὶ τεκούσης.
14 Ἐκπάγλως θηητὸν ἐμὸν Βασιλῆα βοήσω·
θυμὸς ἐμός σεθεν ἔργα, Μάκαρ, περιθαμβέ' ἀνέγνω.
15 Γινώσκεις, ἐμέθεν τά περ ἔπλασας ὀστέα λάθρῃ
καί σευ νερτερίοις βιότου σθένος ἐστὶ θεμέθλοις.
16 Εἶδες, Ἄναξ, μ' ἀτέλεστον ἔτι ἐνὶ γαστρὶ τεκούσης
δαιδάλων ἅμα πάντας ἐπ' ἀχράντῳ σέο βίβλῳ,
οὐδέ τις ἀμφαδίην τεκταινομένοισι παρείη.
17 Αὐτὰρ ἐμοὶ περίαλλα φίλοι σέθεν εἰσὶν ἀγητοί·
ἀρχομένων δὲ μάλιστα βίη καταφαίνετ' ἀμείνων.
18 Ψ'άμμον ἀριθμήσαιμι πολὺ πλέον ἤ περ ἐκείνους·
ἐγρόμενος μετὰ σεῖο διηνεκέως ἔτι μίμνω.
19 Αἴ κε κατακτείνειας ἀτασθαλίης θεράποντας·
285 φευγέμεν ἀνδροφόνοισιν ἐμὸν μένος αἴψα κελεύω.
20 Ἀλλ' ἐρέεις, κενεὰς ὅτι μευ πέρσουσι πόλητας·
21 εἰ μὴ ἀπεχθαίροντας ἀπεχθαίρεσκον Ἄνακτα,
σοῖς δ' ἐπὶ δυσμενέεσσιν ἐμὸς κατετήκετο θυμός;
22 Ἔχθεϊ πάντας ἔγωγε τελειοτάτῳ στυγέεσκον,
καί μοι δυσμενέες κραδίῃ καὶ ἀνάρσιοι ἦσαν.
23 Ἀλλὰ περιφραδέως τὸν ἐμὸν νόον ἐξερεείνοις,
ἴχνια δ' ἀλλήκτοισι διοπτεύσειας ἐλέγχοις·
24 δέρκεο δ', εἰ μὴ πάγχυ κακῶν ἀδάητος ἐτύχθην,
ὄφρα μευ ἡγήσαιο διηνεκέεσσι κελεύθοις.

ΨΑΛΜΟΣ ΡΛΘ′

α. Πὰρ τρισκαιδεκάτῃ δεκάδι κλυτὸν ὕμνον ἀείδων
Δαυΐδος λιγυρὸν εἴνατον ἧσε μέλος.
β. Ἑκατοστὸν τέτυχθον ἀμφὶ τριακοστὸν εἴνατον μέλος ἔπλετο.
γ. Εἴνατον ἀμφ' ἑκατοστόν τε τριακοστὸν ἐτύχθη
Δαυίδου πινυτῆς ἡδὺ μέλος κιθάρης.
δ. Καὶ τόδε Δαβίδου λιγυρὸν μέλος ἔπλετ' ἀοιδῆς
ἐκ τρισκαιδεκάτης εἴνατον αὖ δεκάδος.

2 Εἴθε, Μάκαρ, κακότητος ἀπ' ἀνδρομέης με σαώσοις,
286 ἄνδρα δ' ὑπεκφυγέειν ἀθεμίστιον ἄμμιν ἀλάλκοις,
3 οἳ σφετέραις ἀθέμιστα μετὰ φρεσὶ μερμήριξαν,
ἠμάτιοι δ' ὁλοούς μοι ἐθωρήσσοντο κυδοιμούς·
4 γλῶσσαν ἐὴν ὀφίεσσι κακοῖς θήγεσκον ὁμοίην
ἀσπίδος ἀνδροφόνου περὶ χείλεσιν ἰὸν ἑλόντες.
5 Εἴθε φυλασσοίμην στυγερῆς ἀπὸ χειρὸς ἀλιτρῶν·
ἀνδρῶν δ' ἐξ ἀδίκων με, Μακάρτατε, ῥεῖα σαώσοις,
ἴχνια συγχεύειν οἵ μευ φρεσὶν ὁρμαίνεσκον·
6 λάθριά μοι κατέπηξαν ὑπερφίαλοι λίνα φῶτες,
μηρίνθους δ' ἐτάνυσσαν ἐμαῖς περὶ δίκτυα πέζαις·
θέντο δὲ δοχμώσαντες ἐπ' ἀτραπιτοῖς δολερῆσιν.
7 Εἶπα Θεῷ βασιλῆι· Θεός, σύ μευ ἐλπὶς ἐτύχθης·
ἱκεσίης ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν.
8 Ἄφθιτός ἐσσι, Μάκαρ, βιότου δέ μοι ἔπλεο φέγγος,
ἄλκαρ ἐμῆς κεφαλῆς σκιόεν κατὰ δηιοτῆτα.
9 Μὴ κεδάσας πόθον ἄμμι πόροις μέλπηθρον ἀθέσμοις·
μή με, Μάκαρ, προλίποις σφετέρης ἅρπαγμα μενοινῆς,
μή ποτε νικήσαντες ἀγηνορίῃσι μανεῖεν.
10 Κύκλῳ ὑπὸ σφετέρης κεφαλῆς κακομήχανος ἄντυξ
καὶ χειλέων ὁλοῶν κάματός σφεας ἀμφικαλύψει.
11 **287** Ἄνθρακες ἀκαμάτοιο πυρὸς μετὰ τοῖσι πέσοιεν,
ὑψόθεν ἐσσυμένῳ καθέλοις σφέας εἰς χθόνα πυρσῷ.
Οὐδέ ποτ' ἀρκέσσουσι κακοῖς δεδμημένοι ἦτορ·
12 ἀνέρα λαβραγόρην καθέλοι κακομήχανος ὥρη,
ἀγρεύσει δ' ἀθέμιστος ἑῷ κακὰ κήδεα θυμῷ.

13 Εὐδικίην ἀδόνητον Ἄναξ πτωχοῖσι τελέσσοι
καὶ θέμιν ἀκτεάνων παρελεύσεται οὔ ποτ' ὀπωπαῖς.
14 Ἔμπα γε μὴν ὁσίη σε βροτῶν μέλψειε γενέθλη,
εὐθέες αὖ Βασιλῆος ὁμοῦ ναίοιεν ὀπωπαῖς.

ΨΑΛΜΟΣ ΡΜ′

Ὕμνον ἀγακλήεντα φίλῃ φόρμιγγι λιγαίνει
Δαυΐδος δεκάτης καὶ τετράτης δεκάδος.

1 Ἡμετέρων βοόωντος, Ἄναξ, ὑπάκουε λιτάων,
ἱκεσίαις τανύσειας ἐμαῖς ἀριήκοον οὖας,
εὖτε, Μάκαρ, καλέσαιμι τεὴν ἐπαρηγόνα χεῖρα.
2 Ἄντα σεῦ εὐχωλήν μευ ὅπως θύος ἰθύνειας,
ἑσπερίῃ δ' ἵκελος θυσίῃ παλάμας ἀναείρω.
3 Δὸς περὶ νωιτέροις φυλακὴν καὶ ἕρκος ὀδοῦσι,
288 χείλεσι δ' ἀσφαλέας πυλέων πετάσειας ὀχῆας.
4 Θυμὸν ἀποκλίνειας ἐμὸν μύθων ἀθεμίστων,
μηδέ μοι ἀμπλακίης πρόφασις βουλῇσι μελήσοι
ἀνδράσι δυσνομίης κακοεργέος εἰς ἓν ἰόντι·
τῶν δὲ μετὰ πρώτοις μηδ' εἰν ἀγορῇσι φανείην.
5 Δμηθείην δ' ὁσίων ἐλεημοσύνῃ καὶ ἐλέγχοις
μηδέ τ' ἰαινοίμην ὀλοῷ κάρη ἀνδρὸς ἐλαίῳ·
εἰσέτι νωιτέρη σφετέροις περὶ μήδεσιν εὐχή.
6 Τῶν μὲν ἀμαλδύνοιντο δικασπόλοι ἐγγύθι πέτρης·
θαρσαλέοι μύθων σθεναρῶν ἀίοιεν ἐμεῖο.
7 Ῥιζόθεν οἷα λόφος τις ἀποδμηθεὶς ἐλιάσθη,
ὀστέα τῶν Ἀίδαο παρασχεδὸν ὧδε κεάσθη.
8 Πρὸς σέ, Μάκαρ, ποθέουσαν ἐμὴν τανύεσκον ὀπωπήν,
μή μευ ἐπελπομένην κραδίην ἀπάνευθεν ἐλάσσῃς.
9 Ῥίμφα σάω δολερῶν με λίνων, ὧν στῆσαν ἁλεῖται,
ἔκ τε κακορραφίης ὁλοῶν κακότητος ἐρίθων.
10 Δίκτυον ἀθανάτου ξυνέλοι κακότητος ἐρίθους·
εὔκηλος καὶ μοῦνος ἐπισπεύδων παρελάσσω.

ΨΑΛΜΟΣ ΡΜΑ′

Δαυίδου πινυτῆς, ὁπότε σπέος ἀμφιπολεύων
εὐχωλὴν ἀνέπεμψε Θεῷ βασιλῆι βοήσας.
Ἔμπα γε μὴν ἑκατοστὸν ὁμοῦ καὶ τεσσαρακοστὸν
ἀμφὶ πολυκλήεντι πέλει μελεδήματι πρώτῳ.

289

Ἡμετέρην Βασιλῆι βοὴν ἀνέπεμψα χατίζων,
φθεγξάμενος λιτόμην οἰκτίρμονα Ποιμένα κόσμου.
Ἱκεσίην προχέοιμι πρὸ Παμβασιλῆος ὀπωπῆς
καί οἱ ἀπαγγείλαιμι ἐμὸν πολυπήμονα μόχθον.
Πνεύματος ἀδρανίῃ περιπεπτηῶτος ἐμεῖο
ἴχνια θεσπεσίῃσι διοπτεύεσκες ὀπωπαῖς·
ἀμφὶ τρίβοις δολόεντα λίνον κρύπτεσκον ἐμῆσι.
Δεξιτερῆς σκοπίαζον ἐμῆς ὑπὲρ ὅσσε τιταίνων,
οὐδέ τις ἄμμε φίλων ὠίσατο πάμπαν ὁρᾶσθαι·
φεύγειν ἰσχανόωντος ἐμὴ πάρος ὤλετο φύζα,
οὐδ' ἦν, ὅς τέ μοι ἦτορ ἀνιχνεύσειε φυγόντος.
Αὐτὰρ ἐγὼ βοόων ἐφάμην· σύ μοι ἐλπὶς ἐτύχθης,
ζωόντων ἀνὰ γαῖαν ἐμῆς, Μάκαρ, αἶσα βιώνης.
Ἱκεσίην σκοπίαζε· κατεδμήθην γὰρ ἀνίῃ·
ἐκ κακομηχανίης ὀλοῆς δηίων με σαώσοις,
οὕνεκα πολλὸν ἐμεῖο βίῃ προφερέστεροί εἰσιν.
290 Εἴθε μοι ἀπρήκτου φυλακῆς ἐξείλεο θυμόν,
ὄφρα κεν οὔνομα σεῖο περιφραδέως ἀναμέλψω·
ἐκ σέο μισθὸν ἐμὸν γενεαὶ μίμνουσι δικαίων.

ΨΑΛΜΟΣ ΡΜΒ′

Δαυίδου κλυτὸς ὕμνος Ἀβεσσαλῶμος ἀμώμου
ὅττε μιν υἱὸς ἑὸς σφετέρης ἐξήλασε πάτρης.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστὸς
δεύτερον αἰγλήεντα λαχὼν συμφράδμονα κῶμον.

Εὐχῆς ἡμετέρης ἐπικέκλυθι, φέρτατε Ποιμήν,
ἀτρεκέως καλέοντος ἐμαῖς ὑπόεικε λιτῇσι,
σεῖο δικαιοσύνῃ μευ, Ἄναξ, βοόωντος ἀκούσαις
μηδὲ δικαζομένῳ μοι ἐπαντιάσειας ἀγῶνος·
οὔ τις γὰρ μερόπων ὅσιος σέθεν ἄντα φανείη.

Ἐχθρὸς ἐμὸν στονόεντα βιήσατο θυμὸν ἐλαύνων,
γαίης νερτερίοισιν ἐμὴν ὑπέταξε βιώνην
ἀπρήκτοις νεκύεσσιν ὑπὸ κνέφας ἶσα καθίζων·
πνεῦμα δ' ἐμὸν πυκινῇσιν ἀμηχανίῃσι πεδήθη,
ἀσχαλόων ἀχέεσσι μετὰ φρεσὶ θυμὸν ὀρίνθην.
Αὐτὰρ ἐγὼ προτερηγενέος μεμνημένος ὥρης
ἔργα νόῳ κελάδησα θεόσδοτα Παμβασιλῆος,
χειρῶν δ' ἔργματα θεῖα περιφραδέως ἀνέμελπον
χεῖρας ἐμὰς Βασιλῆι πολυκλήεντι πετάσσας·
291 θυμὸς ἐμὸς ποθέει σ' ἅτε διψάδος αὔλακες αἴης.
Αἶψά μευ εἰσαΐοις, μελέων πρὶν πνεῦμα μεθείω·
μή μευ κυδιάνειραν ἀποστρέψειας ὀπωπήν,
μηδὲ κατερχομένοισιν ἶσος βόθρον δὲ φανείην.
Σῆς, Μάκαρ, ἐξ ἠοῦς ἐλεητύος εἴθε πυθοίμην,
οὕνεκεν ἐλπωρὴ παναγήραος ἄμμιν ἐτύχθης.
Δός νύ μοι αἴσιον οἶμον, ὅπῃ χρέος ἐστὶν ὁδεύειν,
οὕνεκεν ἀμφί σε θυμὸν ἀεὶ πεπετασμένον ἴσχω.
Ἀντιβίων παλάμης με, Μακάρτατε, ῥίμφα σαώσοις,
πύργον ἐπεί σ' ἄρρηκτον ἀεὶ πεφοβημένος εὗρον.
Αὐτὸς Ἄναξ ἐμός ἐσσι, νόον δέ με σεῖο διδάσκοις·
ἰθείην δ' ἀγαθόν με φέροι χθόνα πνεῦμα Θεοῖο.
Δός νύ μοι εὐδικίην βιότου τροφὸν εἵνεκα σεῖο,
θυμὸν ἐμὸν στονόεντος, Ἄναξ, μόχθοιο σαώσοις.
Ἐκ δέ μευ ἀντιβίους ἐλέῳ σέθεν εἵνεκ' ὀλέσσοις,
πάντας ἐμῆς δαμάσειας, Ἄναξ, ψυχῆς ὀλετῆρας,
οὕνεκα σὸς θεράπων καταθύμιος εὔχομαι εἶναι.

ΨΑΛΜΟΣ ΡΜΓ′

Δαυίδου κλυτὸς ὕμνος ἐπ' ἀντιβίῳ Γολιάτῳ
καὶ τρίτατος σοφίῃ τοῖς πρὶν ἅμ' ἑσπόμενος·
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Εὐφήμοις μελέεσσιν ἀεὶ Θεὸς αἰνετὸς ἔστω,
ὃς παλάμας θώρηξεν ἐμὰς ἐπὶ δηιοτῆτα,
292 τεῦξε δὲ νωιτέρων μενεδήια δάκτυλα χειρῶν.

2 Αἰέν, Ἄναξ, ἐλεητὺς ἐμὴ καὶ πύργος ἐτύχθης
ῥυόμενος κακότητος ὑπερμενέας τ᾽ ἀπαμύνων,
ἐλπὶς ἀγακλήεσσα καὶ ἄρκιος ἀσπιδιώτης,
λαὸν ἐμὸν παλάμῃσιν ὑφ᾽ ἡμετέρῃσι δαμάζων.
3 Τίς βροτός ἐστιν, Ἄναξ, ὅτι οἱ ἀναφανδὰ παρέστης,
ἢ φύτλη μεροπηίς, ὅ μιν φρεσὶν ὧδε γεραίρεις;
4 Ἄνθρωπος κενεοῖς ἰνδάλμασιν ἶσος ἐτύχθη,
ἤματα δ᾽ ἀσταθέι σφέτερα σκιῇ ἶσα παρέρπει.
5 Οὐρανὸν ἀγκλίνας πυκινὸν καταβήσεο, Ποιμήν·
θῖγ᾽ ὀρέων, καὶ καπνὸν ἄδην σκοτοειδέα τεύξεις.
6 Μαρμαρυγὰς στεροπῆς προϊεὶς σκεδάσειας ἅπαντας·
πέμπε, Μάκαρ, βελέεσσι τεοῖς, ἵνα θυμὸν ὀρίνῃς.
7 Χεῖρα τεὴν πέμποις ἐξ αἰθέρος, ὥς με σαώσοις
καί με πολυσμαράγων ὑδάτων ἀπολύσεαι ὁρμῆς.
Χειρὸς ἀπ᾽ ὀθνείων με, Μακάρτατε, ῥύεο παίδων,
8 ὧν στόμα μαψιδίως κενεαυχέας ἔκφατο μύθους
δεξιτερή τ᾽ ἀθέμιστος ἀεὶ μεταμώνια ῥέζει.
9 Αὐτὰρ ἐγώ τοι ἄεισμα νέον, Πανυπέρτατε, μέλψω,
νευρῆς ἁρμονίῃ δεκάδος τεὸν εὖχος ἀείσω,
10 ὃς φάος ἡμετέροις βιότου βασιλεῦσιν ὀπάζεις
καὶ ξίφεος θεράποντα τεὸν Δαυῖδον ἔλυσας.
11 **293** Χειρὸς ἀπ᾽ ὀθνείων με, Μακάρτατε, ῥύεο παίδων,
ὧν στόμα μαψίδιον κενεαυχέας ἔκφατο μύθους
δεξιτερή τ᾽ ἀθέμιστος ἀεὶ μεταμώνια ῥέζει,
12 υἱέες ὧν νεαροῖς πανομοίοι ἔρνεσιν ἥβης,
αὐτὰρ θυγατέρεσσι τόσος περὶ κάλλεϊ κόσμος,
ὄμμασί κεν φαίης χρυσάμπυκα νηὸν ὁρᾶσθαι.
13 Παντοίων ἀγαθῶν σφέτεροι βεβρίθασι σηκοί,
ἐξ ἑτέρου δ᾽ ἕτερον δὲ περιρρέει ἄσπετον ὕδωρ.
Τοῖσι μὲν εὔβοτα μῆλα καὶ εὔλοχα πολλὰ τέτυκται,
14 ζατρεφέες δὲ βόες καὶ ἀρείονες ἔξοχον ἄλλων.
Ἔμπεδα μὲν πάντα σφίσιν ἔρκεα τηλόθεν ἄτης,
οὐδ᾽ ἀμφ᾽ εὐρυπόροισιν ὁδοῖς σφέων ἐστὶ βοητύς.
15 Πάντες ἀνολβίζουσι τόσοις βεβριθότα λαόν·
ὄλβιος, ᾧ τε Θεὸς μέλεται φρεσίν, ἔπλετο λαός.

ΨΑΛΜΟΣ ΡΜΔ΄

Δαυίδου κλυτὸς αἶνος ἐρισθενέος βασιλῆος
τέτρατον ἀγκαλέων ἧσε μέλος σοφίης·
ἕμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

1 Ἄφθιτε, κυδαίνω σε, βίην δέ σευ ὑψόω᾽ ἀείρω,
294 οὔνομα δ᾽ ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα·
2 γηθόσυνος μέλψω σε διηνεκὲς ἦμαρ ἐπ᾽ ἦμαρ,
οὔνομα δ᾽ ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.
3 Αἰνετός ἐσσι, Μάκαρ, καί τοι μέγα κῦδος ἀέρθη,
καί οἱ ἀτέρμαντον πέλεται περιώσιον εὖχος.
4 Ἔργα σέθεν φύλοισι, Μακάρτατε, φῦλα βοήσει
καὶ σθένος ἀπροτίοπτον ἀριφραδέως ἀγορεύσει.
5 Σὸν μεγαλοπρεπὲς εὖχος ἀρίζηλον καταλέξει,
σεῖο δ᾽ ἀπαγγείλειε, Μακάρτατε, θέσκελα πάντα,
6 ἔργον δ᾽ οὐκ ἐπιεικτὸν ἀνὰ στόμα δείματι μέλψει.
Οὔ σευ ἀναύδητος μεγαλαυχέα ἔργ᾽ παρέλθοι·
7 σὸν σθένος ἀστυφέλικτον ἀριφραδέως ἀγορεύσει,
ἐν δὲ δικαιοσύνῃ κεχαροίατο Παμβασιλῆος.
8 Οἰκτίρμων Βασιλεὺς πανυπέρτατος ἠδ᾽ ἐλεήμων
τλήμονα θυμὸν ἔχων σφετέρην τ᾽ ἐλεητὺν ἀέξων·
9 μειλιχίην μετὰ πᾶσι Θεὸς δεδάηκε φυλάσσειν
ἔργα κατοικτείρων, ὅσα περ τεκτήνατο χειρί.
10 Ἀλλήκτῳ κραδίῃ σε, Μακάρτατε, ἔργα βοήσει
καί σευ ἀγακλήενθ᾽ ὁσίων αἶνον ἀείσει.
11 **295** Κῦδος ἀνακτορίης πανυπέρτατον ἐξερέουσι
καὶ σθένος ἀστυφέλικτον, Ἄναξ, τεὸν ὑμνήσουσι,
12 θηητὸν μερόπεσσιν ὅπως σθένος ἄφθιτον ἔξεις
καὶ μεγαλοπρεπὲς εὖχος ἀνακτορίης ἐρατεινῆς.
13 Αἰεὶ κοιρανίη πάσης μεδέουσα γενέθλης.
14 Ἀχράντοις ἐπέεσσι Θεὸς περὶ πίστιν ὑφαίνει,
καί οἱ εὐδικίη τελέθει κεκερασμένη ἔργοις·
ἀθάνατος δεδάηκεν ἀεὶ πίπτοντας ἐγείρειν,
ἰθύνειν ὀλοοῦ ὑπὸ ῥήγματος ἄνδρα πεσόντα.

Εἰς σέ, Μάκαρ, λεύσσουσι, τά περ τεκτήναο, πάντα,
καὶ σὺ δίδως ἅμα πᾶσι κατὰ χρέος ἄρμενον εἶδαρ·
πᾶν γένος ἐμπλήσειας, ἐπήν σεο χεῖρα πετάσσῃς.
Πάντοθεν εὐδικίῃ μεθέπει Βασιλῆος ἀταρπούς,
ἐκ δ' εὐηγεσίης ὁσίοις περιλάμπεται ἔργοις·
παντὶ λιταζομένῳ περιίσταται ἠδὲ φυλάσσει,
ὅς τέ μιν ἱκεσίῃ παναληθέι μειλίξαιτο·
αἰὲν ἑοῖς δμώεσσιν ἐπικρήνειεν ἐέλδωρ,
ἱκεσίης δ' ἀίων σφετέρης ἀπολύσεται ἄτης.
Αἰὲν Ἄναξ κακότητος ἑοὺς ἐσάωσεν ἐρίθους,
296 αὐτὰρ ἀτασθαλίης δαμάᾳ θεράποντας ὀλέθρῳ.
Αἶνον Παμβασιλῆος ἐμὸν στόμα πιστὸν ἀείσει,
θνητῶν τ' ἄσπετα φῦλα Θεοῦ κλυτὸν οὔνομα μέλψει
ἐκ γενεῆς γενεὴν δὲ μετ' ἀλλήκτοισι γενέθλαις.

ΨΑΛΜΟΣ ΡΜΕ'

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος
πεμπταῖον συνέριθον ἔχων θρόον ἀλληλούια·
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Μέλπε Θεόν, φίλε θυμέ, τεῆς κρατέοντα βιώνης·
ὑμνήσω Βασιλῆα πολύλλιτον, εἰσόκεν ἔρπω,
ἀθάνατον φόρμιγγι διαμπερὲς ὑμνοπολεύσω.
Μηδέ ποθ' ἡγητῆρσι μετὰ φρεσὶ θάρσυνος εἴης
μηδὲ βροτῶν τεκέεσσιν, ὅθεν φάος οὔ ποτ' ἐτύχθη,
οἳ ψυχῆς πταμένης σφετέρην πάλιν εἶσ' ἐπὶ γαῖαν·
τοῖσι δ' ὁμῶς φθινύθουσιν ὅλαι φθιμένοισι μενοιναί.
Ὄλβιος, ᾧ τε Θεὸς πανυπέρτατός ἐστιν ἀρωγὸς
ᾧ τε κατ' ἐλπωρὴ πέλεται Βασιλῆος ἐφετμῆς,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε,
πόντον ἐρισμάραγον καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
αἰὲν ἀληθείην μεμαὼς πραπίδεσσι φυλάσσειν,
297 ὅς ῥα βιαζομένοισι δικαιοσύνην ἀναφαίνει,
πᾶσι δὲ πεινα λέοισι διδοῖ ζωαρκέα δαῖτα.
Αὐτὸς ἀλυκτοπέδαις πεπεδημένον οἶδε σαῶσαι,
αὐτὸς ῥιγεδανοῦ ὑπὸ ῥήγματος ἄνδρας ἐγείρει,

αὐτὸς Ἄναξ τυφλοῖσι νόον πυκινόφρονα τεύχει,
αὐτὸς Παμβασιλεὺς ὅσιον γένος ἀμφαγαπάζει,
αὐτὸς Ἄναξ δεδάηκε νεήλυδα φῶτα φυλάσσειν
χήρην τ' ὀρφανικόν τε μετ' ἀγκαλίδεσσιν ἀεῖραι·
αὐτὰρ ὁδὸν στονόεσσαν ἀμαλδύνειεν ἀλιτρῶν.
νωλεμέως Ἄχραντος ἀγακλήεις βασιλεύσει
ἐκ γενεῆς γενεὴν δὲ Θεὸς Σιῶνος ἀνάσσων.

ΨΑΛΜΟΣ ΡΜϚ'

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος
ἑκταῖον συνέριθον ἔχων θρόον ἀλληλούια·
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Μέλψατέ μοι Βασιλῆα, ἐπεὶ μέλος ἐσθλὸν ἐτύχθη·
αἶνος νωιτέρῳ καταθύμιος ἔσσετ' Ἄνακτι.
Κλεινὸς Ἄναξ Ἱερουσαλὴν θεοτερπέα τεύχων
φῦλον ἐπαθροίσει κεκεδασμένον Ἰσραήλου,
298 ἰητὴρ οἵσίν τε κατεκλάσθη φίλον ἦτορ
καὶ σφετέροιο πόνοιο περισφίγγων μελεδῶνας.
Μοῦνος ἀμετρήτων ἄστρων δεδάηκεν ἀριθμὸν
ἐξονομακλήδην ὀνομάζων τείρεα πάντα.
Νωίτερος Θεός ἐστι μέγας, μεγάλη δέ οἱ ἀλκή,
οὐδέ [τ'] ἀνὴρ πινυτῆς Μάκαρος κλυτὰ μέτρα νόησεν.
Οἶδεν ἀειρέμεναι Βασιλεὺς γένος ἠπιοθύμων,
αὐτὰρ δυσσεβέας γαίης πυμάτοισι δαμάζειν.
Ἀρχόμενοι Βασιλῆα θοῇ κελαδήσατε μολπῇ,
μέλψατε παμβασιλῆα Θεὸν φόρμιγγι λιγείῃ,
οὐρανὸν ὃς πολύχαλκον ἐνὶ νεφέεσσι πυκάζει
γαίῃ ἑτοιμάζων σφετέρῃ φυσίζοον ὄμβρον,
ὃς τόσον ὑψικόμοις καὶ ἐν οὔρεσι χόρτον ἀέξει
ἀντέλλων ζυγίῃσι βροτῶν μελιηδέα ποίην,
ὃς καὶ τετραπόδων ἀγέλαις πόρεν ἄρμενον εἶδαρ
καὶ κοράκων ἤρκεσσε λιταζομένοισι νεοσσοῖς.
Οὔ ποτ' ἐπαινήσειεν Ἄναξ σθένος ἄσχετον ἵππου,
κνημάων δ' οὐ πάμπαν ἀγάσσεται ἀνδρὸς ἐρωήν·
299 μᾶλλον ἐπὶ δμώεσσιν ἑοῖς κεχαρήσεται ἐσσὴν
οἷς [τ'] ἐλεημοσύνη καταθύμιός ἐστιν Ἄνακτος.

ΨΑΛΜΟΣ ΡΜΖ′

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος
ἕβδομον ἀμφήριστον ἔχων θρόον ἀλληλούια·
ἕμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

1 Αἴνεε τιμήενθ', Ἱερουσαλήμ, Βασιλῆα·
Σιών, ὑμνοπόλευε τεοῦ Βασιλῆα βίοιο,
2 οὕνεκα σῶν πυλέων σθεναροὺς χάλκευσεν ὀχῆας·
ἐν σοὶ σοὺς πινυτοὺς καὶ ἀγακλέας ἥνεσε παῖδας,
3 ὅς σεθεν εἰρήνῃ πεφυλαγμένα τέρματα θῆκε,
πλῆσε δὲ πιαλέῃ σε βίῃ μενοεικέος ἀκτῆς·
4 ὃς χθονὶ πουλυβοτείρῃ ἐπίρροθον ὤπασε μῦθον,
αὐτὰρ ὁ ῥίμφα θέων μετελεύσεται ἔνθα καὶ ἔνθα,
5 εἴριον ὣς ψυχρῆς χιόνος σθένος ὑψόθι φαίνων,
πάσσων καπνοτόκειαν ὅπως σποδὸν αὐχμὸν ὀμίχλης,
6 εἰδομένην ψωμοῖσιν ἑὴν κρύσταλλον ἰάλλων·
ψύχει τίς κεν ἐὸν δύναται μένος ἰσοφαρίζειν;
7 Πάντα λόγῳ ζώοντι τακήσεται ὁρμηθέντι,
ὕδατα δὲ πνοιῇσιν ὑπὸ σφετέραις κελαρύζει.
8 Μῦθον Ἰακώβῳ πινυτῷ φίλον ἐξαγορεύων,
300 κλεινὰς δ' εὐδικίας ἐρέων κλυτῷ Ἰσραήλῳ,
9 οὐδέ ποτ' ἀλλοδαποῖσι μετ' ἔθνεσι τοῖον ἔρεξεν
οὐδὲ δικαιοσύνας σφετέρας τεκμήρατο λαοῖς.

ΨΑΛΜΟΣ ΡΜΗ′

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος
ὄγδοον ἀμφήριστον ἔχων θρόον ἀλληλούια·
ἕμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

1 Μέλψατέ μοι μέγα κῦδος ἀπ' οὐρανόθεν Βασιλῆος,
μέλψατέ μιν βοόωντες ἐφ' ὑψίστοισι θοώκοις·
2 μέλψατέ μιν, δῆμοι μεγαλοσθενέων στρατιάων,
μέλψατέ μιν, πᾶσα σθενέων ἀριδείκετος ἀλκή·
3 μέλψατε, ἠέλιός τε καὶ αἰγλήεσσα σελήνη,
μέλψατε, τείρεα πάντα, Θεόν, καὶ ἀθέσφατος αἴγλη·
4 μέλψατ', ἐπουρανίων δαπέδων ὑπὲρ οὐρανὸν ἄλλον
κύκλων τ' οὐρανίων καθυπέρτερον εὐαγὲς ὕδωρ.

5 Πάνθ' ἅμα μελπόντων κλυτὸν οὔνομα Παμβασιλῆος,
οὕνεκεν αὐτὸς ἔειπε, καὶ ἐβλάστησαν ἅπαντα,
αἷς δ' ὑποθημοσύνῃσιν ἀκαμπέσιν ἐρρίζωθεν.
6 Στὰν δέ, διηνεκέι τά περ ἥδρασεν αὐτὸς ἀνωγῇ·
301 οὔ ποτε θεσπεσίη Μάκαρος παρελεύσετ' ἐφετμή.
7 Μέλψατε Παμβασιλῆα κατὰ χθονὸς εὐρυοδείης,
ἑρπησταί τε δράκοντες ὁμοῦ δνοφερῇσιν ἀβύσσοις·
8 πῦρ μετὰ κρυστάλλοισι, χιὼν δ' ἅμ' ἔποιτο χαλάζῃ
καὶ πνοιὴ ζοφεροῖο καταιγίδος ἠεροφοῖτις,
αἰὲν ὑποδρήσσοντα Θεοῦ νημερτέι μύθῳ·
9 οὔρεα δενδροκόμων τ' ὀρέων λασιαύχενες ἄκραι,
κέδροι παντοδαπαὶ καὶ δένδρεα τηλεθόωντα·
10 τετραπόδων ἀγέλαι καὶ ὀρέστερα θηρία γαίης,
ἑρπετὰ καὶ πτερύγεσσι μεταΐσσοντα ποτητά·
11 λαοὶ παντοδαποὶ καὶ ἐρισθενέες βασιλῆες,
εὔθεσμοι μετὰ πᾶσι δικασπόλοι ἡγητῆρσιν·
12 ἥβηταὶ γεραροὶ καὶ παρθένοι ἑλκεσίπεπλοι,
ἴφθιμοι πολιοῖσι νεώτεροι εἰς ἓν ἰόντες·
13 εἰν ἑνὶ μελπόντων κλυτὸν οὔνομα Παμβασιλῆος,
οὕνεκεν ὑψώθη βασιλήιον οὔνομα μοῦνον·
αἶνος ἐὸς γαῖάν τε καὶ οὐρανὸν ἀμφικαλύπτει
14 καὶ λαοῦ σφετέροιο κέρας μεγαλαυχὲς ἀείρει.
Ὕμνος ἐυκλειὴς μελέτω γενεῇσι δικαίων,
δήμῳ θεσπεσίῳ πυκινόφρονος Ἰσραήλου.

ΨΑΛΜΟΣ ΡΜΘ′

302 *Ἠδὺ μέλος ἑκατοστὸν ἔφυ καὶ τεσσαρακοστὸν*
εἴνατον οὐράνιον φορέον θρόον ἀλληλούια.

1 Μέλψατέ μοι Βασιλῆι νέην καὶ ἐπήρατον οἶμην·
αἰὲν ἔχει κλισίαις ὁσίων μεμελημένον ὕμνον.
2 Ἰσραῆλος Ἄνακτι φίλῳ τέρποιτο πεποιθώς,
υἱέες αὖ Σιῶνος ἐῷ Βασιλῆι χαρεῖεν·
3 οὔνομα μελπόντων Βασιλήιον ἀμφὶ χοροῖσι
καί μιν ἀειδόντων τύπανον κιθάρην τ' ἀνελόντες,
4 οὕνεκά οἱ σφέτερος καταθύμιος ἔπλετο λαός,
φέγγεϊ δ' ὑψώσειε φίλον γένος ἠπιοθύμων.

5 Ἔνθ' ὁσίων ἐρατειναὶ ἐπαυχήσουσι γενέθλαι,
ἐν δ' ἱεροῖς λεχέεσσι φίλῳ κεχαροίατο θυμῷ,
6 λαυκανίῃ Βασιλῆος ὑπερτερίας φορέοντες,
ἄορ δ' ἰθυπόροις παλάμαις ἄμφηκες ἔχοντες,
5 7 δήμων παντοδαπῶν κακοεργέας ἄνδρας ὀλέσσαι
καὶ ζυγὸν ἀθάνατον λαοὺς μεθιέντας ἐλέγξαι,
8 τῶν δὲ φίλους βασιλῆας ἀλυκτοπέδῃσι πεδῆσαι,
ἐν δὲ σιδηρείῃσι πέδαις παλάμας ἐριτίμων,
9 γραπτήν τ' εὐνομίην σπουδῇ μετὰ τοῖσι τελέσσαι·
10 ὣδ' ὁσίοις κλέος ἐσθλὸν ἑοῖς μετὰ πᾶσιν ἐτύχθη.

ΨΑΛΜΟΣ ΡΝ'

303 *Πένθ' ἅμα καὶ δεκάτης δεκάδος μέλος ἀλληλούια.*

1 Μέλψατέ μοι Βασιλῆα, χοροὶ δ' ἅμ' ἕποιντο δικαίων,
μέλψατέ μιν σταθερῇ κράτεος περιθάρσυνον ἀλκῇ·
15 2 μέλψατέ μιν σφετέροισιν ἀειρόμενον σθενέεσσι,
μέλψατέ μιν μεγαλιζόμενον πυκινοῖσιν ἐπ' ἔργοις·
3 μέλψατέ μιν σάλπιγγος ἐρισθενέος πατάγοισι,
μέλψατέ μιν φόρμιγγι καὶ ἁρμονίῃ ἐρατεινῇ·
4 μέλψατέ μιν τυπάνοισι καὶ εὐφήμοισι χοροῖσι,
20 μέλψατέ μιν κιθάρῃ τε καὶ ἐν νευρῇσι λιγείαις·
5 μέλψατε θείνοντες λιγυηχέα κύμβαλα χερσί,
μέλψατέ μιν παλάμαις ἀλαλαγμοῦ κύμβαλ' ἑλόντες·
πνοιῇ παντοδαπῇ κελαδήσατε Παμβασιλῆα.

ΨΑΛΜΟΣ ΡΝΑ'

25 *Πέμπτης πρὸς δεκάτῃ δεκάδος πέλει ἔκτοθεν ὕμνος*
ὃν Γολιάτῳ μουνομαχήσας ἦσε Δαυῒδος.

1 Ἀμφὶ κασιγνήτοισιν ἐμοῖς μάλα τυτθὸς ἐτύχθην
πατρῷον κατὰ δῶμα νέος μετὰ πᾶσιν ἀκούων,
εἰροπόκων οἰῶν ἀγέλας ἀγροῖσι νομεύων.
30 2 **304** Χεῖρες ἐμαὶ φόρμιγγα λιγύθροον ἐντύναντο,
δάκτυλα δ' ἁρμονίην θεοτερπέα τεκτήναντο.

3 Τίς κεν ἀπαγγείλειεν ἐρισθενέτῃ Βασιλῆι;
Αὐτὸς Ἄναξ δεδάηκεν ἐμῶν ἐπέων ὑπακοῦσαι.
4 Αὐτὸς ἐπουρανίου στρατιῆς ταχὺν ἄγγελον ἧκεν,
ἐκ δέ με πατρῴης ἀγέλης ἐξείλετο μήλων
καί μευ πιαλέοιο δέμας ἔχρισεν ἐλαίῳ. 5
5 Ἡμὲν ἀδελφειοὺς μεγάλους ἔχον ἠδὲ καὶ ἐσθλούς,
ἀλλ' οὔ σφιν Βασιλεὺς κλέος ἤθελεν ἐσθλὸν ὀπάσσαι.
6 Ἀλλοδαποῦ καλέοντος ἐναντίον ἀνέρος ἔστην,
αὐτὰρ ὅ μ' εἰδώλοισιν ἑοῖς νείκεσσε πεποιθώς·
7 τοῖο δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ 10
αὐχένος ὑψηλοῖο κάρη ἀπέκοψα παραστάς,
λώβην δ' ἐξαλάωσα περίφρονος Ἰσραήλου.

ΕΠΙΣΤΟΛΑΙ

ΒΑΣΙΛΕΙΩ ΑΠΟΛΙΝΑΡΙΟΣ*

Φιλοθέως πιστεύεις καὶ φιλολόγως ζητεῖς, καὶ παρ' ἡμῶν τὸ πρόθυμον ὀφείλεται διὰ τὴν ἀγάπην, εἰ καὶ τὸ ἱκανὸν τῷ λόγῳ μὴ ἔποιτο διά τε τὸ ἡμέτερον ἐνδεὲς καὶ τὸ τοῦ πράγματος ὑπερφυές. Οὐσία μία οὐκ ἀριθμῷ μόνον λέγεται, ὥσπερ λέγεις, καὶ τὸ ἐν μιᾷ περιγραφῇ, ἀλλὰ καὶ ἰδίως ἀνθρώπων δύο καὶ ἄλλου ὁτουοῦν τῶν κατὰ γένος ἐνιζομένων, ὥστε ταύτῃ γε καὶ δύο καὶ πλείονα ταὐτὸν εἶναι κατὰ τὴν οὐσίαν, καθὸ καὶ πάντες ἄνθρωποι Ἀδάμ ἐσμεν εἷς ὄντες καὶ Δαβὶδ τὸ τοῦ Δαβὶδ υἱὸς ὡς ταὐτὸν ὢν [**1104**] ἐκείνῳ, καθὰ καὶ τὸν Υἱὸν λέγεις καλῶς τοῦτο εἶναι κατὰ τὴν οὐσίαν ὅπερ ὁ Πατήρ. Οὐδὲ γὰρ ἑτέρως ἂν ἦν Θεὸς ὁ Υἱός, ἑνὸς ὁμολογουμένου καὶ μόνου Θεοῦ τοῦ Πατρός, ὥς που καὶ εἷς Ἀδὰμ ὁ ἀνθρώπων γενάρχης καὶ εἷς Δαβίδ, ὁ τοῦ βασιλείου γένους ἀρχηγέτης. Ταύτῃ γέ τοι καὶ ἓν εἶναι γένος ὑπερκείμενον ἢ μίαν ὕλην ὑποκειμένην ἐπὶ Πατρὸς καὶ Υἱοῦ περιαιρεθήσεται τῶν ὑπονοιῶν, ὅταν τὴν γεναρχικὴν παραλάβωμεν ἰδιότητα τῆς ἀνωτάτω ἀρχῆς καὶ τὰ ἐκ τῶν γεναρχῶν γένη πρὸς τὸ ἐκ τῆς μιᾶς ἀρχῆς μονογενὲς **223** γέννημα. Μετρίως γὰρ τὰ τοιαῦτα εἰς ὁμοίωσιν ἔρχεται. Καθὸ μηδὲ τοῦ Ἀδὰμ ὡς θεοπλάστου[1] καὶ ἡμῶν ὡς ἀνθρωπογεννήτων ἓν ὑπέρκειται γένος, ἀλλ' αὐτὸς ἀνθρώπων ἀρχή· μήτε ὕλη κοινὴ αὐτοῦ τε καὶ ἡμῶν, ἀλλ' αὐτὸς ἡ πάντων ἀνθρώπων ὑπόθεσις. Μήτε μὴν τοῦ Δαβὶδ καὶ τοῦ γένους τοῦ ἐκ Δαβὶδ προεπινοεῖται καθὸ Δαβίδ, ἐπείπερ ἡ τοῦ Δαβὶδ ἰδιότης ἀπὸ τοῦ Δαβὶδ ἄρχεται καὶ ἡ ὑπόθεσις τῶν ἐξ αὐτοῦ πάντων αὐτός, ἀλλ' ἐπειδὴ ταῦτα ἀπολείπεται καθό εἰσιν ἕτεραι κοινότητες ἀνθρώπων ἁπάντων πρὸς ἀλλήλους, οἷαι ἂν ἀδελφῶν· ἐπὶ δὲ Πατρὸς

* Κατὰ τὴν ἔκδοσιν τοῦ Y. Courtonne, Saint Basile. Lettres III, Paris, 1966, σσ. 222-225.

1. Πρβλ. Γεν. 2,7.

καὶ Υἱοῦ τοιοῦτον οὐκ ἔστιν, ἀλλὰ τὸ ὅλον Πατὴρ ἀρχὴ καὶ Υἱὸς ἐκ τῆς ἀρχῆς. Οὐκοῦν οὐδὲ ἀπομερισμὸς τοῦ προτέρου εἰς τὸ δεύτερον ὥσπερ ἐπὶ σωμάτων, ἀλλ' ἀπογέννησις. Οὐδὲ γὰρ ἡ Πατρὸς ἰδιότης καθάπερ εἰς Υἱὸν ἀπομεμέρισται, ἀλλ' ἡ τοῦ Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς ἐκπέφηνε· ταὐτὸν ἐν ἑτερότητι καὶ ἕτερον ἐν ταυτότητι, καθὸ λέγεται Πατέρα εἶναι ἐν Υἱῷ καὶ Υἱὸν ἐν Πατρί[2]. Οὔτε γὰρ ἡ ἑτερότης ἁπλῶς φυλάξει τὴν ἀλήθειαν τῆς υἱότητος οὔτε ἡ ταυτότης αὖ τὸ ἀμέριστον τῆς ὑποστάσεως, ἀλλ' ἑκάτερον σύμπλοκον καὶ ἑνοειδές· ταὐτὸν ἑτέρως καὶ ἕτερον ὡσαύτως, ἵνα τις τὰ ῥήματα, μὴ ἐφικνούμενα τῆς δηλώσεως, ἐκβιάσηται, βεβαιοῦντος ἡμῖν τοῦ Κυρίου τὴν ἔννοιαν καὶ ἐν τῷ μείζων[3] μὲν ἰσότητι παριστάναι τὸν Πατέρα, τὸν δὲ Υἱὸν ἐν ὑποβάσει τὸ ἴσον ἔχοντα· ὅπερ ἐδίδαξεν ἐν ὁμοειδεῖ μέν, ὑφειμένῳ δὲ φωτὶ νοεῖν τὸν Υἱὸν μὴ τὴν οὐσίαν ἐξαλλάττοντας, ἀλλὰ τὸ αὐτὸ ὑπερβεβληκὸς καὶ ἐν ὑφέσει θεωροῦντας. Οἱ μὲν γὰρ τὴν οὐσίαν ἐν οὐδεμιᾷ ταυτότητι παραδεξάμενοι τὴν ὁμοίωσιν ἔξωθεν φέροντες τῷ Υἱῷ προστιθέασιν, ὃ δὴ καὶ ἕως ἀνθρώπων διαβαίνει τῶν ὁμοιουμένων τῷ Θεῷ. Οἱ δὲ τὴν ὁμοίωσιν **224** τοῖς ποιήμασι πρέπουσαν εἰδότες ἐν ταυτότητι μὲν τὸν Υἱὸν συνάπτουσι Πατρί, ὑφειμένῃ δὲ τῇ ταυτότητι, ἵνα μὴ αὐτὸς ὁ Πατὴρ ἢ μέρος Πατρός, ἃ δυνατῶς παρίσταται τῷ «ἄλλος Υἱός», οὕτω Θεός, οὐχ ὡς ἐκεῖνος, ἀλλ' ὡς ἐξ ἐκείνου, οὐ τὸ πρωτότυπον, ἀλλ' εἰκών[4]. Οὗτος ὁμοούσιος ἐξῃρημένως παρὰ πάντα καὶ ἰδιαζόντως, οὐχ ὡς τὰ ὁμογενῆ, οὐχ ὡς τὰ ἀπομεριζόμενα, ἀλλ' ὡς ἐκ τοῦ ἑνὸς γένους καὶ εἴδους τῆς θεότητος ἓν καὶ μόνον ἀπογέννημα ἀδιαιρέτῳ καὶ ἀσωμάτῳ προόδῳ, καθ' ἣν μένον τὸ γεννῶν ἐν τῇ γεννητικῇ ἰδιότητι προῆλθεν εἰς τὴν γεννητικὴν ἰδιότητα.

ΒΑΣΙΛΕΙΩ ΑΠΟΛΙΝΑΡΙΟΣ

225 Τῷ δεσπότῃ τῷ ποθεινοτάτῳ ἀδελφῷ Βασιλείῳ Ἀπολινάριος ἐν Κυρίῳ χαίρειν. Ποῦ μὲν ἦμην αὐτός, δέσποτα, ποῦ

2. Πρβλ. Ἰω. 14,10. 3. Πρβλ. Ἰω. 14,28. 4. Πρβλ. Β' Κορ. 4,4. Κολ. 1,15.

δὲ ἡ ποθεινοτάτη φωνὴ καὶ γράμμα τὸ σύνηθες; Τί δὲ οὐ παρὼν ἀμύνεις ἢ καὶ ἀπὼν παρακελεύεις, πολέμου τοσούτου κατὰ τῆς εὐσεβείας ἐρρωγότος καὶ ἡμῶν οἷον ἐν μέσῃ παρατάξει βοώντων πρὸς τοὺς ἑταίρους διὰ τὴν ἐκ τῶν πολεμίων βίαν; Σὲ δὲ οὐδ' ὅπως ἂν ζητήσωμεν ἔχομεν, ἐπεὶ μηδὲ οὗ τυγχάνεις διατρίβων εὑρίσκομεν. Ἀλλ' ἐζήτησα μὲν ἐν τῇ Καππαδοκῶν, ἐπεὶ καὶ οὕτως ἤγγελλον οἱ ἐν Πόντῳ σοι περιτυχόντες ἐπηγγέλθαι σε θᾶττον ἐπανήξειν, οὐχ εὗρον δὲ ἔνθα ἤλπιζον. Νῦν δὲ ἔτι σε κατὰ τὴν αὐτὴν διάγοντα χώραν ἀκούσας εὐθὺς τῷ μηνυτῇ καὶ τὸ γράμμα ἐνεχείρισα. Ὅπερ δεξάμενος μὴ καὶ τοῦ ἀντιγράφειν ἀπόσχῃ ὡς καὶ τούτου συναποδημοῦντος. Ἴσθι δὲ ὡς ἐν τῷ μεταξὺ γέγονεν ἐπισκόπων ἐπιδημία τῶν ἀπ' Αἰγύπτου καὶ γράμματα διεδόθη σύμφωνα παλαιοῖς γράμμασιν τοῖς τε θείοις αὐτοῖς καὶ τοῖς καθ' ὁμοφωνίαν τῶν θείων ἐν Νικαίᾳ γραφεῖσιν. [**1108**] Ἀναγκαία δὲ ἦν ἡ μετ' ἐξηγήσεως τῶν αὐτῶν ἐπανάληψις, διὰ τὴν οὐχ ὑγιῆ τῶν κειμένων παρεξήγησιν ἣν εἰσῆγον οἱ πάλαι μὲν ἄντικρυς ἀντιλέγοντες, νῦν δὲ τὴν ἀντιλογίαν ἐξηγήσεως σχήματι μεθοδεύσαντες· ἔνθα ἦν ἡ τοῦ ὁμοουσίου κακοῦργος ἀναίρεσις ὡς οὐκ ὀφείλοντος νοεῖσθαι κατ' οὐδεμίαν ἄρνησιν ἑλληνικήν· ἀντεισαγωγὴ δὲ τοῦ ὁμοουσίου τὸ ὅμοιον κατ' οὐσίαν, ὅπερ ἐπετηδεύθη χυδαίως ὀνομασθὲν καὶ κακοήθως νοηθέν, ἐπειδὴ ἡ ὁμοιότης τῶν ἐν οὐσίᾳ ἐστίν, οὐ τῶν οὐσιωδῶν, ἵνα δὴ οὕτως ὡμοιωμένη **226** οὐσία νοῆται, οἷος ἂν εἴη καὶ ἀνδριὰς πρὸς Βασιλέα. Πρὸς ἅπερ ἀντεγράφη τὸ ὑπὸ τῶν εὐσεβεῖν εἰδότων καὶ βουλομένων, ὅτι οὐχ ὅμοιον Θεῷ, ἀλλὰ Θεὸν δηλοῖ τὸ ὁμοούσιον, ὡς ἂν γέννημα γνήσιον καὶ τῆς αὐτῆς οὐσίας τῷ γεγεννηκότι. Συνεισήγετο δὲ καὶ τὸ περὶ Πνεύματος ὡς ὑπὸ τῶν Πατέρων ἐν τῇ αὐτῇ πίστει τῷ Θεῷ καὶ τῷ Υἱῷ κειμένου, ὅτι ἐστὶν ἐν τῇ αὐτῇ θεότητι. Τὴν οὖν τῆς εὐσεβείας ταύτης πρεσβείαν τίνα εἰκὸς ἦν οὕτω μετεῖναι ὡς τὸν σπουδαιότατον ἅμα τῷ δεσπότῃ μου Γρηγορίῳ, ὃς οὐδ' αὐτὸς οὐδαμόθεν γράφει οὐδὲ σημαίνει καθάπαξ οὐδέν; Ἔρρωσο, δέσποτα ποθεινότατε.

ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΟΥΣΙΑΣ*

208 Ἐδεξάμην τὸ γνώρισμα τῆ πίστεως ἐν σοὶ θεωρήσας, ἀδελφὲ φιλομαθέστατε, ὅπερ ἐστὶ μὴ μεθίστασθαι τῶν θείων δογμάτων ἕνεκεν τῶν ἀνθρωπίνων ζητημάτων· πολλὰ γὰρ ἄν τις περὶ τῶν οὕτω μεγάλων καὶ ἀπορήσειε καὶ διαστασιάσειεν, ἀλλ' οὐκ ἐξ ὧν ἡμεῖς ἀπορήσαιμεν. Ἀμφίβολος τῆς θείας διδασκαλίας ἡ ἀλήθεια, ὥστε εἴπερ οὕτως ἐζήτουν καὶ πάντες ἄνθρωποι, κέρδος ἂν ἦν ἐκ τῆς γυμνασίας καὶ οὐ ζημία περὶ τὴν εὐσέβειαν· οἱ δέ, ἐξ ὧν ἀγνοοῦσι, καταγινώσκοντες ἰδιωτείαν ἢ ψεῦδος τῶν θείων λογίων, ἑαυτούς τε τῆς εὐσεβείας ἀπήγαγον καὶ τοὺς ἄλλους , ὡς καὶ σὺ φῄς, ἐλυμήναντο.

Ἐζήτεις δὲ περὶ τοῦ ὁμοουσίου τίνα τὴν διάνοιαν ἔχοι, ἐπείπερ ὑπ' ἐκείνων ἐκβάλλεται πάντη τὸ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί, σχηματιζομένων μὲν ὡς οὐ γεγραμμένην τὴν λέξιν ἀποφεύγειν, μαχομένων **209** δὲ ὡς ἀδυνάτῳ τῷ πράγματι, καὶ ταῦτα ἐπιφερόντων πρὸς ἀνατροπήν· περὶ ὧν ἀκούσας ἐζήτεις πῶς ἂν ὁμοούσια εἴη τὰ μήτε ὑπὸ κοινὸν γένος, μήτε ἔκ τινος ὕλης ὑποκειμένης μιᾶς καὶ ἐφ' ὧν οὐκ ἔστι μερισμὸς τοῦ προτέρου εἰς τὸ δεύτερον; Καὶ τὴν μὲν δύναμιν οὐκ ἐξέκλινας τοῦ ὁμοουσίου· οὐ γὰρ ἐτάραττε διὰ τὸ μηδὲ ὡσαύτως ἔχειν τοῖς γεννητοῖς καὶ σωματικοῖς ὁμοουσίως τὸν Πατέρα καὶ τὸν Υἱόν. Ἔγραφες γοῦν ὅπερ ἂν ἡ τοῦ Πατρὸς οὐσία ληφθῇ, τοῦτο χρὴ λαμβάνεσθαι καὶ τὴν τοῦ Υἱοῦ, γεννητὸν μόνον διάφορον παρὰ τὸ ἀγέννητον τιθείς. Τὴν δὲ λέξιν ὤκνεις παραδέχεσθαι, ὡς δέον ἀπαραλλάκτως ὅμοιον εἶναι πρὸς τὸν Πατέρα, φῶς τὸν Πατέρα καὶ τὸν Υἱὸν τιθείς, μηδεμίαν ἐν τῷ μᾶλλον καὶ ἧττον διαφορὰν ἔχον. Οὐ μὲν ὁμοούσια διότι ἑκάτερον ἐν ἰδίᾳ περιγραφῇ τῆς οὐσίας ἐστίν, ὁ Πατὴρ ἀρχὴ καὶ ὁ Υἱὸς ἀρχή· πῶς οὖν τῆς αὐτοῦ ἀρχῆς ὁμοούσιος ὁ Υἱός; οὐκοῦν οὔτε ἀπομερισμὸς προτέρου εἰς τὸ δεύτερον ὥσπερ ἐπὶ σωμάτων,

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. de Riedmatten, La correspondance entre Basile de Césarée et Apollinaire de Laodicée I, JThS, N.S. 7 (1956), σσ. 208-210.

ἀλλὰ ἀπογέννησις· οὐδὲ γὰρ ἡ Πατρὸς ἰδιότης καθὸ Πατὴρ εἰς Υἱὸν ἀπομεμέρισται, ἀλλ' ἡ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς ἐκπέφηνε, ταὐτὸν ἐν ἑτερότητι καὶ ἕτερον ἐν ταυτότητι, ἑκατέρῳ σύμπλοκον καὶ ἑνωτικόν· εἰ δὲ ταὐτὸν ἑτέρως καὶ ἕτερον ὡσαύτως, ἀμερίστως γεννήσας ὅλος προῆλθεν εἰ Υἱοῦ ἰδίωμα μετὰ τοῦ μένειν ἐν Πατρὸς ἰδιώματι· ὥς που τὴν φρόνησιν εἴποις ἂν τὴν πολιτικὴν εἰς οἰκονομικὴν προϊέναι, μένουσαν ἐν εἴδει πολιτικῷ, τὸ δὲ ἐκ τῶν πολιτικῶν δίκαιόν τε καὶ καλὸν εἰς τὰ οἰκονομικὰ προάγουσαν. Οὕτως ἄν τις, οἶμαι, κατὰ τὸ δυνατὸν εἰς ἔννοιαν περὶ τῆς Ἁγίας Τριάδος ἀφίκοιτο, τρία νοῶν ἀληθινῶς ἐν μιᾷ τῇ θεότητι, διὰ προόδου τε ἀμερίστου καὶ γνωρισμάτων, οὔτε ἀλλοτριούντων τὴν οὐσίαν, οὔτε ἀναιρούντων τὸ ταὐτόν.

Ὥστε πανταχῇ τὴν ταυτότητα συνεζευγμένως, μᾶλλον δὲ ἡνωμένως τῇ ἑτερότητι νοεῖν ἀναγκαῖον, πρώτην ταυτότητα καὶ δευτέραν καὶ τρίτην λέγοντας, καὶ ὅπερ ἐστὶ πρώτως ὁ Πατὴρ τοῦτο εἰδέναι δευτέρως ὁ Υἱὸς καὶ τρίτως τὸ Πνεῦμα· αὖθις, ὅπερ ἐστὶ τρίτως τὸ Πνεῦμα, τοῦτο δευτέρως τὸν Υἱὸν καθὸ δὴ καί, «Κύριος τὸ πνεῦμά ἐστιν»[5], πρώτως δὲ τὸν Πατέρα καθὸ δὴ «πνεῦμα ὁ Θεός»[6], καὶ ὡς βιαιότερον σημᾶναι τὸ ἄρρητον, τὸν μὲν Πατέρα πατρικῶς Υἱὸν εἶναι καὶ ὡσαύτως ἐπὶ τοῦ Πνεῦματος, καθὸ δὴ εἷς Θεὸς ἡ Τριάς.

Ὥστε πανταχῇ συνεζευγμένως, μᾶλλον δὲ ἡνωμένως τῇ ἑτερότητι νοεῖν ἀναγκαῖον τὴν πρώτην ταυτότητα, καὶ δευτέραν καὶ τρίτην λέγοντας τὴν **210** αὐτήν· ὅπερ γάρ ἐστι πρώτως ὁ Πατήρ, τοῦτό ἐστι δευτέρως ὁ Υἱὸς καὶ τρίτως τὸ Πνεῦμα. Αὖθις δέ, ὅπερ ἐστὶ πρώτως τὸ Πνεῦμα, τοῦτο δευτέρως τὸν Υἱόν, καθὸ δή, καὶ «ὁ Κύριός ἐστι τὸ Πνεῦμα»[7] καὶ τρίτως τὸν Πατέρα, καθὸ δὴ «Πνεῦμα ὁ Θεός»[8]. Καὶ ὡς βιαιότερον σημᾶναι τὸ ἄρρητον, τὸν Πατέρα πατρικῶς Υἱὸν εἶναι, τὸν δὲ Υἱὸν υἱκῶς Πατέρα καὶ ὡσαύτως ἐπὶ τοῦ Πνεύματος, καθὸ δὴ εἷς Θεὸς ἡ Τριάς.

---

5. Β' Κορ. 3,17. 6. Ἰω. 4,24. 7. Β' Κορ. 3,17. 8. Ἰω. 4,24.

Ἐπεὶ μὴ πείθονται ταὐτὸν μὲν εἶναι τῷ γεννητῷ τὸ ἀγέννητον ἀγεννήτως καὶ ἀνωτέρως, ταὐτὸν δὲ τῷ ἀγεννήτῳ τὸ γεννητὸν γεννητῶς, τῷ τὸν Πατέρα ἰδίως ἔχειν ἐν ἑαυτῷ καὶ αὐτὸν εἶναι ἐν Πατρί[9], ὃν δὴ τοῖν δυοῖν ἑνότητα παρίστησιν, ὡς προείρηται· τῷ δύο μὲν εἶναι κατὰ τὴν γεννητὴν καὶ ἀγέννητον ἰδιότητα, διάφορον τοῦτο ἑνίζεσθαι τῇ συνούσῃ αὐτῷ ἀσυνθέτως ἀδιαφορίᾳ, τὴν μίαν ἰδέαν οὐ παραχαραττούσῃ, ἀλλὰ θάτερον ἐν θατέρῳ δεικνύσῃ· οὐχ ὡς ἕτερον ἐν τῷ κοινῷ τὸ ἴδιον, ἀλλ' ὡς ταὐτὸν σὺν τῷ κοινῷ δεχομένους ἑνοειδῶς, εἰ δὲ ἐν τῷ ἰδίῳ κατὰ τὸν αὐτὸν τρόπον (οὐ γὰρ ἐμπεριέχεται τῷ κοινῷ τὸ ἴδιον ἀλλ' ἑκάτερον ὡς ἕν), ἐκ τῆς ἀρχῆς ἐκπέφηνεν ὁ Θεὸς Λόγος.

---

9. Πρβλ. Ἰω. 14,10.

ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ

ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ

ΕΙΣΑΓΩΓΙΚΑ

Ὁ Ἀπολινάριος δὲν διεκρίθη μόνον διὰ τὴν πλουσίαν φιλολογικὴν αὐτοῦ δραστηριότητα. Ὑπῆρξεν, ὅπως καὶ ὁ Ἄρειος, μέγας προπαγανδιστὴς τῶν ἰδεῶν του. Κατώρθωσε κυρίως εἰς τὸν συριακὸν χῶρον νὰ συγκεντρώσῃ πολλοὺς ὀπαδούς, οἱ ὁποῖοι ἀρχικῶς μὲν ἔδρων ὅπως καὶ ὁ ἴδιος ἐντὸς τῆς Ἐκκλησίας, ἀργότερον ὅμως ὠργανώθησαν εἰς ἰδαιτέραν ἐκκλησιαστικὴν ὁμάδα. Κατὰ τὴν μαρτυρίαν τοῦ Σωζομενοῦ (Ἐκκλ. Ἱστ. 6,25) οὗτοι «ἐπισκόποις ἰδίοις καὶ θεσμοῖς ἐχρῶντο ἀλλοτρίοις τῆς καθολικῆς Ἐκκλησίας, παρὰ τὰς νενομισμένας ἱερὰς ᾠδὰς ἔμμετρά τινα μελύδρια ψάλλοντες, παρ' αὐτοῦ Ἀπολιναρίου εὑρημένα... Ἄνδρες τε παρὰ τοὺς πότους καὶ ἐν ἔργοις καὶ γυναῖκες παρὰ τοὺς ἱστοὺς τὰ αὐτοῦ μέλη ἔψαλλον».

Οἱ Ἀπολιναρισταὶ διαιροῦνται συνήθως εἰς τρεῖς ὁμάδας, αἱ ὁποῖαι διεκρίνοντο διὰ τὴν κατὰ τὸ μᾶλλον ἢ ἧττον ἀπομάκρυνσιν αὐτῶν ἐκ τοῦ ὀρθοδόξου δόγματος. Ἡμεῖς θὰ χωρήσωμεν εἰς διμερῆ διαίρεσιν δεδομένου μάλιστα ὅτι ἡ ἀποσπασματικότης τῶν διασωθέντων ἔργων δὲν ἐπιτρέπει ἀκριβῆ προσδιορισμὸν τῆς διδασκαλίας τῶν ἐπὶ μέρους συγγραφέων.

Α' Μετριοπαθεῖς Ἀπολιναρισταί

Εἰς τὴν μερτιοπαθῆ ὁμάδα κατατάσσεται ὁ Βιτάλιος, ὁ ὁποῖος ἀρχικῶς ἦτο πρεσβύτερος ὑπὸ τὸν Μελέτιον Ἀντιοχείας, τὸ 376 ὅμως κατεστάθη ὑπὸ τοῦ Ἀπολιναρίου, κατὰ τὴν μαρτυρίαν τοῦ Θεοδωρήτου, ἐπίσκοπος Ἀντιοχείας παραλλήλως πρὸς τοὺς δύο ὀρθοδόξους ἐπισκόπους, τὸν μετριοπαθῆ Μελέτιον καὶ τὸν αὐστηρὸν Παυλῖνον. Τοῦ Βιταλίου ἔχει διασωθῆ ἓν ἀπόσπασμα ἐκ τοῦ «λόγου περὶ πίστεως», τὸ ὁποῖον ἀπετελεῖ τμῆμα τῆς πρὸς τὸν Δάμασον Ρώμης ὑποβληθείσης ὁμολογίας πίστεως (Ἰδὲ H. Lietzmann, Apollinaris von Loadicea und seine Schule, Tübingen 1904, σ. 273, καὶ F. Diekamp, ἐν Theol. Quartalschr. 1904, σ. 497 ἑξ.). Πλὴν τοῦ Θεοδωρήτου,

περὶ τοῦ Βιταλίου ὁμιλεῖ καὶ ὁ Ἐπιφάνιος Κύπρου (Πανάριον, αἵρ. 77,20) καὶ ὁ Σωζομενὸς (Ἐκκλησιαστικὴ Ἱστορία, 6,25). Ὁ Βιτάλιος ὑπεστήριζε τὴν βασικὴν διδασκαλίαν τοῦ Ἀπολιναρίου, κατὰ τὴν ὁποίαν ὁ θεῖος Λόγος ἔλαβε μόνον «σάρκα».

Εἰς τὴν ἰδίαν ὁμάδα τῶν μετριοπαθῶν ἀνήκει καὶ ὁ Τιμόθεος, ἐπίσκοπος Βηρυττοῦ, ὁ ὁποῖος ἤθελε νὰ εὑρίσκεται εἰς ἀγαθὰς σχέσεις μὲ τοὺς Καππαδόκας Πατέρας καὶ δὲν ἐδίστασε νὰ ὑπογράψῃ τὰς ἀποφάσεις τῆς Β΄ Οἰκουμενικῆς Συνόδου (381). Τοῦ Τιμοθέου σώζονται δύο ἐπιστολαὶ «πρὸς Ὁμόνιον ἐπίσκοπον» καὶ πρὸς «Προσδόκιον». Εἰδικώτερον εἰς τὴν πρώτην ὁμιλεῖ περὶ τῆς «ἄκρας ἑνώσεως» σαρκὸς καὶ Λόγου, ἄνευ ὅμως «ἐκστάσεως» τῆς πρώτης, «τῆς ἰδίας φύσεως» (Ἰδὲ H. Lietzmann... ἔνθ' ἀν., σ. 278). Ἐκ «κατηχήσεως» τοῦ Τιμοθέου διεσώσθησαν δύο μικρὰ ἀποσπάσματα (H. Lietzmann, ἔνθ' ἀν., σσ. 278-279). Ἐξ ὁλοκλήρου ἀπωλέσθη ἡ ὑπὸ τοῦ Λεοντίου Βυζαντίου μνημονευομένη Ἐκκλησιαστικὴ Ἱστορία (Κατὰ Ἀφθαρτοδοκητῶν καὶ Νεστοριανῶν..., λόγ. Γ΄ 40. J-P. Migne, PG. 86,1377C), εἰς τὴν ὁποίαν εἶχε παρατεθεῖ μὲ μικρὰς παραλλαγὰς ἡ πρὸς τὸν αὐτοκράτορα Ἰοβιανὸν ὑπὸ τοῦ Μ. Ἀθανασίου ἀποσταλεῖσα ὁμολογία πίστεως (Ἰδὲ H. Lietzmann, ἔνθ' ἀν., σσ. 279-283).

Εἰς τὴν ἰδίαν μετριοπαθῆ ὁμάδα κατατάσσομεν καὶ τοὺς Ὁμόνιον (σώζεται μικρὰ ἐπιστολὴ παρὰ τῷ Τιμοθέῳ... Ἰδὲ H. Lietzmann, ἔνθ' ἀν., σ.278) καὶ Ἰώβιον, τοῦ ὁποίου σώζεται ὁμολογία πίστεως (H. Lietzmann, ἔνθ' ἀν., σ. 286), εἰς τὴν ὁποίαν ὁμιλεῖ περὶ μιᾶς συνθέτου ὑποστάσεως καὶ ἑνὸς ἀδιαιρέτου προσώπου. Συγχρόνως τονίζει οὗτος ὅτι ἡ σὰρξ «οὐκ ἔστιν ἀνθρώπου... ἀλλ' αὐτοῦ τοῦ Θεοῦ Λόγου, τοῦ δημιουργοῦ, τοῦ ὁμοουσίου τῷ Θεῷ, ἀλλ' οὐχ ὁμοούσιος τῇ ἀσωμάτῳ οὐσίᾳ τοῦ ἀρρήτου Πατρός». (H. Lietzmann, ἔνθ' ἀν., σσ. 286-287).

Τέλος, εἰς τὴν μετριοπαθῆ ὁμάδα κατατάσσομεν καὶ τὸν Οὐαλεντῖνον, ὁ ὁποῖος ἔγραψε «Κεφάλαια ἀπολογίας πρὸς τοὺς λέγοντας φάσκειν ἡμᾶς ὁμοούσιον τὸ σῶμα τῷ Θεῷ» τόσον κατὰ τοῦ Τιμοθέου ὅσον καὶ κατὰ τοῦ Πολέμωνος, τοὺς ὁποίους καὶ κατηγορεῖ διὰ τὸν ὡς ἄνω διατυπωθέντα ἰσχυρισμὸν περὶ ὁμοουσιότητος τοῦ σώματος τοῦ Κυρίου πρὸς τὴν θεότητα.

Β΄ Ἀκραῖοι Ἀπολιναρισταὶ

Σημαντικώτερος ἐκ τῶν ἀκραίων Ἀπολιναριστῶν ὑπῆρξεν ὁ Πολέμων, ὁ ὁποῖος ὑπὸ τοῦ Θεοδωρήτου ὀνομάζεται Πολέμιος (Αἱρετικῆς κακομυθίας ἐπιτομή, 4,9). Οὗτος ἰσχυρίζετο, ὅτι τὸ ἀνθρώπινον σῶμα ἡνώθη μὲ τὴν θεότητα εἰς μίαν ἐνιαίαν οὐσίαν, ὥστε νὰ ἀποκλείεται ἡ ὕπαρξις δύο φύσεων. Διὰ τοῦτο τόσον αὐτὸς ὅσον καὶ οἱ ὀπαδοί του ἐκαλοῦντο Συνουσιασταί. Ὁ Μάξιμος ὁ Ὁμολογητὴς ἀναφέρει ὅτι οὗτος συνέταξε «Ἀντιρρητικόν», εἰς τὸν ὁποῖον ἐστρέφετο κατὰ τῶν ἁγίων Πατέρων (Πνευματικὸς τόμος... J.-P. Migne, P.G. 91,169 D). Εἰς τὸ παρατιθέμενον μικρὸν ἀπόσπασμα στρέφεται κατὰ τοῦ Γρηγορίου τοῦ Καππαδόκου, προφανῶς τοῦ Ναζιανζηνοῦ, ὅστις διέκρινεν εἰς τὸν Λόγον τὸ θεῖον καὶ τὸ θεωθέν.

Τοῦ Πολέμωνος διεσώθη ἕτερον ἀπόσπασμα στρεφόμενον κατὰ τοῦ προαναγραφέντος μετριοπαθοῦς Τιμοθέου, ὡς καὶ ἀποσπάσματα ἐξ ἐπιστολῶν πρὸς τὸν ὡς ἄνω Τιμόθεον ὡς καὶ πρὸς τὸν συμμαθητὴν αὐτοῦ Ἰουλιανόν (Ἰδὲ H. Lietzmann, ἔνθ' ἀν., σσ. 274-276).

Εἰς τοὺς ἀκραίους Ἀπολιναριστὰς δυνάμεθα νὰ κατατάξωμεν καὶ τὸν Εὐνόμιον Βεροίας τῆς Θράκης. Τούτου σώζονται δύο ἀποσπάσματα ἐξ ἐπιστολῆς του πρὸς Ζώσιμον (Ἰδὲ H. Lietzmann, ἔνθ' ἀν., σσ. 276-277). Εἰς τὴν ἰδίαν ὁμάδα ἐντάσσεται καὶ ὁ ὡς ἄνω συμμαθητὴς τοῦ Πολέμωνος Ἰουλιανός, τοῦ ὁποίου καὶ σώζεται ἀπόσπασμα ἐξ ἐπιστολῆς πρὸς αὐτὸν (H. Lietzmann, ἔνθ' ἀν., σ. 277).

Γ΄ Ἕτερα ἀπολιναριστικὰ ἔργα

Ἐξ ἀπολιναριστικῶν κύκλων διεσώθησαν ἀνωνύμως καὶ ἕτερα συγγράματα, δημοσιευθέντα ὑπὸ τοῦ H. Lietzmann, ὡς τά: «Ἐγκύκλιον» καὶ «Ἔκθεσις τῆς πίστεως».

Κατὰ τῶν Ἀπολιναριστῶν ἐστράφησαν τόσον οἱ Καππαδόκαι ὅσον καὶ οἱ Ἀντιοχειανοὶ συγγραφεῖς. Ὡς σημαντικώτερον ἀντιαπολιναριστικὸν ἔργον θεωροῦμεν τὸν Ἀντιρρητικὸν κατὰ τοῦ Ἀπολιναρίου λόγον τοῦ Γρηγορίου Νύσσης (Β.Ε.Π. 68,212-281), ὁ ὁποῖος στρέφεται κατὰ δοξασιῶν ὄχι μόνον τοῦ μεγάλου αἱρεσιάρχου, ἀλλὰ καὶ μεταγενεστέρων Ἀπολιναρι-

στῶν, ἰσχυριζομένων ὅτι τὸ σῶμα τοῦ Κυρίου εἶναι ὁμοούσιον πρὸς τὴν θεότητα. Ἀντιαπολιναριστικαὶ εἶναι καὶ αἱ δύο πρὸς Κληδόνιον ἐπιστολαὶ τοῦ Γρηγορίου τοῦ Ναζιανζηνοῦ, ἐκ τῶν ἀξιολογωτέρων ἔργων τῆς ἐποχῆς τῶν ἀναφερομένων εἰς τὸ χριστολογικὸν δόγμα (Β.Ε.Π. 60,261- 271). Ἐκεῖ ἀπαντᾷ καὶ ἡ φράσις: «τὸ γὰρ ἀπρόσληπτον ἀθεράπευτον· ὃ δὲ ἥνωται τῷ Θεῷ τοῦτο καὶ σώζεται» (ἔνθ' ἀν., σ. 264).

Κατὰ τῶν Ἀπολιναριστῶν ἐστράφη καὶ ὁ μέγας πολέμιος τῶν αἱρέσεων Ἐπιφάνιος, ἐπίσκοπος Σαλαμῖνος τῆς Κύπρου. Οὗτος εἰς μὲν τὸν Ἀγκυρωτόν, ὁμιλῶν περὶ τοῦ τρόπου τῆς σαρκώσεως τοῦ Λόγου, στρέφεται συνοπτικῶς ἀλλὰ σαφῶς κατὰ τοῦ Ἀπολιναρίου (κεφ. 78-82), εἰς δὲ τὸ Πανάριον ἐν ἐκτάσει ἀναφέρεται εἰς τὴν διδασκαλίαν τοῦ Ἀπολιναρίου καὶ τῶν μαθητῶν του (αἵρ. 77 «Κατὰ Διμοιριτῶν τῶν ὑπό τινων (Ἀπολιναριστῶν) κληθέντων, μὴ τελείαν τὴν Χριστοῦ ἐνανθρώπησιν ὁμολογούντων»), παραθέτει δὲ καὶ τὴν πρὸς Ἐπίκτητον ἐπιστολὴν τοῦ Μ. Ἀθανασίου. (ἔκδ. K. Holl. Epiphanis, Ancoratus und Panarion, 30, GCS 37, Berlin 1933, σσ. 416-451).

Ἡ κατὰ τῶν Ἀπολιναριστῶν πολεμικὴ καὶ ὁ κατ' αὐτῶν ὑπὸ τοῦ Μ. Θεοδοσίου τὸ 388 ἐδκοθεὶς τόμος συνετέλεσαν, ὥστε μέγα μέρος τῆς φιλολογικῆς των δραστηριότητος νὰ ἀπολεσθῇ. Εἰς τὴν προσπάθεια τῆς διασώσεως τῶν συγγραμμάτων των εἴτε ἐνόθευσαν παλαιότερα ἔργα, ὡς αἱ ἐπιστολαὶ τοῦ Ἰγνατίου Ἀντιοχείας, εἴτε ἀπέδωσαν εἰς σεβαστὰ ὀνόματα, ὡς τοῦ Μ. Ἀθανασίου, τοῦ Ἰουλίου Ρώμης καὶ τοῦ Γρηγορίου τοῦ Θαυματουργοῦ ἔργα τοῦ Ἀπολιναρίου.

Παρὰ τὴν μερικὴν ἐπίδρασιν, τὴν ὁποίαν ἤσκησαν εἰς τὴν ἀλεξανδρινὴν Χριστολογίαν (ὁ Κύριλλος Ἀλεξανδρείας ἐχρησιμοποίησε τὴν φράσιν «μία φύσις τοῦ Λόγου σεσαρκωμένη» ὡς προερχομένην ἐκ τοῦ Μ. Ἀθανασίου, ἐνῷ αὕτη εἶναι τοῦ Ἀπολιναρίου), αἱ ἀπολιναριστικαὶ κοινότητες ἤδη ἀπὸ τῶν ἀρχῶν τοῦ Ε' αἰῶνος ἤρχισαν νὰ παρακμάζουν, καὶ ἄλλαι μὲν ἐξ αὐτῶν, ὡς ἡ τῆς Ἀντιοχείας, ἡνώθησαν μὲ τοὺς Ὀρθοδόξους, ἄλλαι δὲ ἐστράφησαν πρὸς τοὺς μονοφυσίτας.

ΗΛΙΑΣ Δ. ΜΟΥΤΣΟΥΛΑΣ
Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν

ΜΕΤΡΙΟΠΑΘΕΙΣ ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ*

ΒΙΤΑΛΙΟΥ

ΠΕΡΙ ΠΙΣΤΕΩΣ

273 Παρὰ Κυρίλλῳ Ἀλεξανδρείας, Περὶ ὀρθῆς πίστεως πρὸς Βασιλίσσας 10 t. V 2,51 Aub. 76, 1216 Migne Βιταλίου ἐπισκόπου ἐκ τοῦ περὶ πίστεως λόγου· (Zach. Rhet. h. e. IV 12: von Julius von Rom:)

172 Ἔτι δὲ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ Σωτῆρος πιστεύομεν, ὅτι ἀναλλοιώτου καὶ ἀτρέπτου μένοντος τοῦ Θεοῦ Λόγου, τὴν σάρκωσιν γεγενῆσθαι πρὸς ἀνακαίνισιν ἀνθρωπότητος. Υἱὸς γὰρ ὢν ἀληθῶς Θεοῦ κατὰ τὴν ἀίδιον ἐκ Θεοῦ γέννησιν γέγονε καὶ Υἱὸς ἀνθρώπου κατὰ τὴν ἐκ Παρθένου γέννησιν καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς τέλειος Θεὸς κατὰ τὴν θεότητα καὶ ὁμοούσιος τῷ Πατρὶ καὶ τέλειος ἄνθρωπος ὁ αὐτὸς κατὰ τὴν ἐκ Παρθένου γέννησιν καὶ ὁμοούσιος ἀνθρώποις κατὰ τὴν σάρκα. Εἴ τις δὲ ἐξ οὐρανοῦ λέγει σῶμα ἔχειν τὸν Χριστὸν ἢ ὁμοούσιον τῷ Θεῷ κατὰ τὴν σάρκα, ἔστω ἀνάθεμα. Εἴ τις μὴ ὁμολογεῖ τὴν τοῦ Κυρίου σάρκα ἐκ τῆς ἁγίας Παρθένου καὶ ἀνθρώποις ὁμοούσιον, ἔστω ἀνάθεμα. Εἴ τις τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα, τὸν ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς παρθένου γεννηθέντα κατὰ σάρκα ἄψυχον λέγει ἢ ἀναίσθητον ἢ ἄλογον ἢ ἀνόητον, ἔστω ἀνάθεμα. Εἴ τις τολμᾷ λέγειν τὸν Χριστὸν θεότητι πεπονθέναι καὶ μὴ σαρκί[1], ὡς γέγραπται, ἔστω ἀνάθεμα. Εἴ τις διαιρεῖ καὶ χωρίζει τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα καὶ λέγει ἕτερον μὲν εἶναι Υἱὸν τὸν Θεὸν Λόγον καὶ ἕτερον τὸν ἀναληφθέντα ἄνθρωπον καὶ μὴ ὁμολογεῖ ἕνα καὶ τὸν αὐτόν, ἔστω ἀνάθεμα.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris ..., σσ. 273, 277-278, 283-286, 278-279, 279-283, 286-287, 287-291.

1. Πρβλ. Α' Πέτρ. 4,1.

ΤΙΜΟΘΕΟΥ

ΠΡΟΣ ΟΜΟΝΙΟΝ

277 *Λεοντίου Βυζαντίου 138 Τιμοθέου Ἀπολλιναριστοῦ ἐπισκόπου Βηρυτοῦ πρὸς Ὁμόνιον ἐπίσκοπον καὶ αὐτὸν Ἀπολλιναριστήν, ἐν οἷς ἔχει μαρτυρίας Ἀπολλιναρίου.*

Ὁ ἀδελφὸς Ἀγάπιος ἐλθὼν πρὸς ἡμᾶς καὶ ἐπακούσας τοῦ τόμου τοῦ συντεθέντος παρ' ἡμῶν περὶ τῆς θείας σαρκώσεως τοῦ Λόγου ἐκ διαφόρων λόγων τῶν τοῦ τρὶς μακαρίου διδασκάλου ἡμῶν ἐπισκόπου Ἀπολλιναρίου, παρεκάλεσεν μέρος λαβόντας ἐξ αὐτοῦ ἰδίως ἐκθέσθαι αὐτῷ μεθ' ὑπογραφῆς ἡμετέρας πρὸς πληροφορίαν ὑμῶν· καὶ ἐποιήσαμεν τοῦτο, λαβόντες ἐκ τῆς πρὸς Σαραπίωνα γραφείσης ἐπιστολῆς τάδε καλῶς... διάφορον (fr. 161). Ταῦτα δὲ δεξάμενος ὁ προειρημένος ἀδελφὸς καὶ ἐλθὼν πρὸς ὑμᾶς ἐπέδειξεν ὑμῖν, **278** ἅπερ θεασάμενος σύ, ὁ κύριός μου Ὁμόνιος, γράψας ἐπέδωκας αὐτῷ πιττάκιον περιέχον οὕτως·

«Ἐγὼ Ὁμόνιος ἐπίσκοπος ὁμολογῶ ὅτι ὁ Λόγος τοῦ »Θεοῦ σάρκα ἐκ Μαρίας ἔλαβεν ἡμῖν ὁμοούσιον· εἰ δέ τις »λέγει τὴν σάρκα τὴν ἑνωθεῖσαν τῷ Κυρίῳ καθ' οἷον δή»ποτε λόγον ὁμοούσιον τῷ Θεῷ, ἀναθεματίζομεν».

Ἐπεὶ οὖν τὴν μὲν φύσιν τῆς σαρκὸς καλῶς ὡμολόγησας ἡμῖν ὁμοούσιον αὐτὴν ὑπάρχειν εἰπών, τὴν δὲ πρὸς τὸν σαρκωθέντα Λόγον ἄκραν ἕνωσιν αὐτῆς ἀνεθεμάτισας κατὰ μηδένα λόγον συνουσιῶσθαι αὐτὴν τῇ θεότητι γράψας, ἀλλ' ἕνωσιν μόνον ὀνομάσας, τοιαύτην δ' ἕνωσιν, οἵα καὶ ἀνθρώπου γένοιτ' ἂν ἁγίου πρὸς τὸν Θεόν, οὐκ εἰς μίαν ζωήν τε καὶ ὑπόστασιν συναπτομένου, ἀλλ' ἐν χωρισμῷ τῆς θείας φύσεως θεωρουμένου, καίτοι τοῦ μακαρίου ἐπισκόπου διδασκάλου ἡμῶν Ἀπολλιναρίου εἰπόντος ἐν διαφόροις λόγοις

«ἐπικοινωνεῖν τὴν σάρκα τοῦ Κυρίου τοῖς τοῦ Λόγου ὀνό»μασί τε καὶ ἰδιώμασιν, μένουσαν καὶ ἐν τῇ ἑνώσει σάρκα »μὴ μεταβαλλομένην μηδὲ ἐξισταμένην τῆς ἰδίας φύσεως

»καὶ τὸν Λόγον ἐπικοινωνεῖν τοῖς τῆς σαρκὸς ὀνόμασί τε »καὶ ἰδιώμασι μένοντα καὶ ἐν τῇ σαρκώσει Λόγον καὶ Θεόν

»μὴ τραπέντα μηδὲ μεταπεσόντα εἰς τὴν σώματος φύσιν» καταξίωσον δηλῶσαι ἡμῖν, πότερον ἀγνοῶν τὰ εἰρημένα περὶ τῆς ἁγίας καὶ σωτηρίου σαρκώσεως τοῦ Λόγου παρὰ τοῦ χριστοφόρου πατρὸς ἡμῶν ἀνεθεμάτισας ταῦτα ἢ ἐπιστάμενος μέν, ὡς μὴ καλῶς δὲ εἰρημένα καὶ αὐτὰ ἐξέβαλες καὶ ἡμᾶς κατὰ τόπον διέβαλες ὡς αἵρεσιν παραδεξαμένους καὶ τὸν κήρυκα τῆς εὐσεβείας σὺν αὐτῇ ἀνεθεμάτισας τῇ εὐσεβείᾳ;

ΠΡΟΣ ΠΡΟΣΔΟΚΙΟΝ ΕΠΙΣΤΟΛΗ

283 Τῷ δεσπότῃ μου τῷ ποθεινοτάτῳ Προσδοκίῳ Τιμόθεος ἐν Κυρίῳ χαίρειν. Τὸ φρόνημα ἡμῶν κατὰ τὴν ἀποστολικὴν παράδοσιν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος μία θεότης ἀληθινή, μία προσκύνησις καὶ δοξολογία Υἱοῦ πρὸς Πατέρα ἐν τῇ προσκυνήσει τοῦ Ἁγίου Πνεύματος. Ὁ δὲ θεότητα ἑτέραν ἐπεισάγων ἀνάθεμα καὶ ὁ προστιθεὶς ἑτέραν δοξολογίαν παρὰ τὰς φωνὰς τῶν Σεραφεὶμ τῶν «ἅγιος ἅγιος ἅγιος Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ»[2] ἀνυμνούντων **284** εἰς τὴν θεϊκὴν Τριάδα, ὡς ὁ Ἰωάννης καὶ Παῦλος μαρτυροῦσιν, ὁ μὲν Ἰωάννης Υἱοῦ δόξαν τεθεωρηκέναι εἰπὼν τὸν προφήτην ὑμνηθεῖσαν[3], ὁ δὲ Παῦλος Πνεύματος Ἁγίου τὴν αὐτὴν δόξαν δηλῶν ἐν τῷ λέγειν Ἁγίου Πνεύματος εἶναι τὰς φωνὰς τὰς λαληθείσας ὑπὸ τοῦ θεωρηθέντος καὶ δοξασθέντος[4]. Ὅτι Πνεύματος δόξα Υἱοῦ δόξα, καὶ Υἱοῦ δόξα καὶ Πατρὸς δόξα· διὸ μία οὐσία τῆς Τριάδος ὑπὸ τῶν συνόδων διὰ τῆς οἰκουμένης ἀναβοᾶται. 2 Πᾶς οὖν ὅστις χωρίζει τῆς τοῦ Θεοῦ μόνου οὐσίας τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ὡς ἐκ βουλῆς ὄντα καθάπερ καὶ ἡμεῖς, οὐκ ἐκ τῆς οὐσίας τῆς αὐτῆς ὡς ἐν ὁμοιώματι κατὰ τὴν αὐτήν, ἔστω ἀνάθεμα. Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου [Μαρίας] ὁ τοῦ Θεοῦ Υἱὸς καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας (τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ Ἀποστόλων), τέλειος

2. Ἡσ. 6,3. 3. Πρβλ. Ἰω. 12,41. 4. Πρβλ. Πράξ. 28,25.

Θεὸς ἐν σαρκὶ καὶ τέλειος ἄνθρωπος ἐν πνεύματι, οὐ δύο υἱοί, εἷς μὲν γνήσιος Υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ Θεοῦ, ἀλλ' εἷς Μονογενὴς ἐν οὐρανῷ, μονογενὴς ἐπὶ γῆς, Θεὸς τῇ ἀληθείᾳ, ἄνθρωπος τῇ σαρκικῇ μορφώσει, καθ' ὁμοίωσιν ἑαυτοῦ σῴζων κόσμον κατὰ μετάληψιν τοῦ ἰδίου Πνεύματος, ὃ δωρεῖται δι' ἐμφυσήσεως[5], ὡς ἄνθρωπος ἐν σχήματι ἀνθρωπίνῳ βασιλεύων ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων[6], ὑπὸ πάντων ὡς εἷς καὶ μόνος Κύριος δοξαζόμενος εἰς δόξαν τοῦ **285** Πατρός. Ἀμήν. 3 Εἰ δέ τις ἄνθρωπον ὑπὸ Θεοῦ προσληφθέντα λέγει τὸν ἐκ Μαρίας Ἰησοῦν καὶ δύο πρόσωπα ⟨τέλεια⟩ ἑνωθέντα, γινωσκέτω τῆς θείας ἐλπίδος ἀλλότριος ὤν. Ὁ γὰρ Θεὸς Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο[7], Ἰησοῦς ἐστι, δι' οὗ τὰ πάντα ὡς ὁ Ἰωάννης καὶ Παῦλος ἐδίδαξαν, οὐ τὸν Λόγον εἰπόντες ἀνειληφέναι Ἰησοῦν τὸν ἐκ Μαρίας τεχθέντα, ἀλλ' αὐτὸν ἐλθεῖν εἰς τὸν κόσμον[8] γεννώμενον ἐκ γυναικός[9], οὐδὲ κατῳκηκέναι τὸν ἐξ οὐρανοῦ ἐν ἀνθρώπῳ τῷ ἐκ γῆς χοϊκῷ, ἀλλ' αὐτὸν τὸν δεύτερον Ἀδὰμ ἐπουράνιον εἶναι[10]· 4 ὅτι ἐπουράνιός ἐστιν ὁ Λόγος ὁ τὴν σάρκα ἔχων τὴν ἐκ Μαρίας, καὶ ἡμᾶς δὲ διὰ τοῦ ἐπουρανίου ἐπουρανίους καθ' ὁμοίωσιν ποιῶν, ὄντας χοϊκούς· ἐκλήθημεν γὰρ εἰς κοινωνίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὃς ἐκοινώνησεν ἡμῖν καὶ τοῦ θανάτου καὶ τοῦ ὀφειλομένου ἀνθρώπῳ σταυροῦ, Κύριος ὢν τῆς δόξης, οὐ κρατούμενος ὑπὸ θανάτου ὡς πᾶς ἄνθρωπος, ἀλλὰ καταργῶν τὸν θάνατον καὶ φῶς καὶ ζωὴν καὶ ἀφθαρσίαν καὶ τὴν ἰδίαν ἡμῖν νίκην διδούς[11]. 5 Ὥστε καὶ ἀνάθεμα ἔστω πᾶς ὁ τὸν ἐκ Μαρίας ἄνθρωπον οὐχ ὁμολογῶν εἶναι ἔνσαρκον Θεόν, ὁμοούσιον τῷ Πατρὶ ἐξ ἀρχῆς ὄντα Θεόν, ἄτρεπτον ἐν τῇ σαρκώσει καὶ ἀπαθῆ ἐν τοῖς πάθεσιν. Ὁμοίως ἀνάθεμα ἔστω καὶ ὁ τὴν σάρκα τοῦ Σωτῆρος μὴ λέγων ἐκ Μαρίας, ἀλλ' ἐξ οὐρανοῦ, ἢ ἄκτιστον τῇ φύσει τὴν κτίσιν καὶ ἐξ οὐκ ὄντων. 6 Τῇ δὲ πρὸς τὸν ἄκτιστον Θεὸν ἑνώσει ὁ λέγων θεϊκὸν τὸ σῶμα καὶ προσκυνῶν κατὰ τὸ συναμφότερον ὡς ἕνα ἄκτιστον Θεόν, μακάριος

5. Πρβλ. Ἰω. 20,22. 6. Πρβλ. Φιλιπ. 2,10. 7. Πρβλ. Ἰω. 1,3. Α' Κορ. 8,6. 8. Πρβλ. Ἰω. 1,9. 9. Πρβλ. Γαλ. 4,4. 10. Πρβλ. Α' Κορ. 15,45-47. 11. Πρβλ. Ἑβρ. 2,14.

ἔσται. Μὴ **286** σκανδαλισθῇς ἐπὶ τῇ σαρκὶ καὶ τοῖς πάθεσιν αὐτοῦ, ἀλλ' αὐτὸν ἀσωμάτως προσκύνει τὸν μετὰ τοῦ ἰδίου σώματος προσκυνούμενον ὡς ἕνα καὶ μόνον Υἱὸν τοῦ Θεοῦ ἐξ αἰῶνος καὶ εἰς αἰῶνας. Ὁμολογεῖν δὲ μεμαθήκαμεν καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἐν τῇ διδασκαλίᾳ τοῦ ἁγίου Βαπτίσματος. [Ἀμήν.]

Παρὰ Ἰουλίῳ Ρώμης, Ἐκ τῆς ἐπιστολῆς πρὸς Προσδόκιον, ἧς ἡ ἀρχή· «Ἡ σκέψις μας εἶναι ἀνάλογος τῆς ἀποστολικῆς παραδόσεως...»

184. (3). Ἐκεῖνος ὁ ὁποῖος δὲν ὁμολογεῖ, (καθένας πρέπει νὰ ὁμολογῇ), ὅτι ὁ Λόγος προσέλαβε σάρκα[12], ἡ ὁποία ἐπλάσθη ἐκ τῆς Μαρίας, καὶ (ὅτι) δι' αὐτὸν τὸν Λόγον ἔχει λεχθῆ εἰς τοὺς Προφήτας· «οὕτως λέγει Κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ τοῦ συναγαγεῖν τὸν Ἰακώβ»[13], κατὰ τὸν ἴδιον τρόπον ὀφείλει νὰ ὁμολογῇ, ὅτι Ἐκεῖνος ἔκαμε πραγματικότα τὴν συμφιλίωσιν τοῦ Λόγου μὲ ἡμᾶς, ἄνευ τῆς ὁποίας δὲν ὑπαρχει καμία σωτηρία.

ΚΑΤΗΧΗΣΕΙΣ

278 *Παρὰ Λεοντίου Βυζαντίου, 133 Οὐαλεντιανῆς Τιμόθεος... δογματίζει κατὰ τῆς ἀληθείας τὴν ἀσέβειαν τοῦ διδασκάλου αὐτοῦ Πολεμίου, ἀφρόνως κατηχῶν τὸν ἑταῖρον αὐτοῦ Καταφρόνιον, ὡς αὐτὸς γράφει τοῖς ὁμόφροσιν αὐτοῦ Παρηγορίῳ, Οὐρανίῳ, Διοδώρῳ, Ἰοβίῳ λέγων οὕτως·*

279 181 (1) ὅτι τῇ ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον θεολογουμένη καὶ τῷ Θεῷ ὁμοούσιος ὁμολογουμένη ἡ τοῦ Κυρίου σὰρξ τῇ φύσει μένει ἀνθρωπίνη καὶ ἡμῖν ὁμοούσιος.
Καὶ πάλιν ἐκ προσώπου τοῦ κατηχηθέντος ὑπ' αὐτοῦ Καταφρονίου λέγει οὕτως·
ὅτι τῇ ἑνώσει ταὐτὸν τῷ Λόγῳ τοῦ Θεοῦ ὁμολογεῖσθαι ὀφείλει καὶ ὡς Λόγος θεολογεῖσθαι καὶ ὡς Λόγος προσκυνεῖσθαι καὶ ὡς Λόγος ὁμοούσιος τῷ Θεῷ πιστεύεσθαι.

12. Πρβλ. Ἰω. 1,14. 13. Ἡσ. 49,5.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΙΣΤΟΡΙΑ

Λεοντίου Βυζαντίου adu. incorrupt. et Nestor. (Mai Spic. X 82 f.).

... καὶ Ἀπολλινάριος ὁ κατὰ διάμετρον αὐτῷ (sc. Ὠριγέ-
5 νει) τῆς ἀληθείας ἀποσφαλεὶς μυρίας πρὸς αὐτὸν ἐπιστολὰς γεγενῆσθαι κομπάζει Ἀθανασίου τε τοῦ μεγάλου καὶ Σαραπίωνος καί γε τῶν ἄλλων ὅσοι τότε γεγόνασι λαμπροὶ φωστῆρες καὶ τῆς ἀληθείας πρόμαχοι· εἰ δέ τις τὴν ὅλην μετὰ χεῖρας λάβοι, ἣν ὁ γνώριμος Ἀπολλιναρίου Τιμόθεος ἐκκλησιαστικὴν
10 συντάττει ἱστορίαν, οὐδ' ἄλλον τινὰ τοῦ τοσούτου πόνου σκοπὸν εὑρήσει πλὴν τὴν Ἀπολλιναρίου σύστασιν, ἣν ἐκ μυρίων συγκεκρότηκε τῶν ἀπ' αὐτοῦ τε καὶ εἰς αὐτὸν γραφεισῶν τε καὶ ἀντιγραφεισῶν ἐπιστολῶν.

Ἰουστινιανοῦ, κατὰ Μονοφυσιτῶν, σ. 304 (cod. U σσ. 230-232) καὶ Τιμόθεος ὁ μαθητὴς Ἀπολλιναρίου ταύτην
15 *(Ἀθαν. ἐπιστ. πρὸς Ἰοβιανόν) ὁλόγραφον ἐν τῇ οἰκείᾳ τίθησιν ἱστορίᾳ ἔχουσαν οὕτως·*

182 (2) Τῷ εὐσεβεστάτῳ καὶ φιλανθρωποτάτῳ Νικητῇ Αὐγούστῳ Ἰοβιανῷ Ἀθανάσιος καὶ οἱ λοιποὶ ἐπίσκοποι ἐλθόν-
20 τες ἐκ προσώπου πάντων τῶν ἀπὸ τῆς Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύων ἐπισκόπων·

Πρέπουσα θεοφιλεῖ βασιλεῖ φιλομαθὴς προαίρεσις καὶ πόθος τῶν οὐρανίων· οὕτως γὰρ ἀληθῶς καὶ τὴν καρδίαν ἕξεις ἐν χειρὶ Θεοῦ καὶ τὴν βασιλείαν μετ' εἰρήνης πολλαῖς ἐτῶν περιό-
25 δοις διατελέσεις. Θελησάσης τοίνυν τῆς σῆς εὐσεβείας μαθεῖν παρ' ἡμῶν τὴν τῆς καθολικῆς Ἐκκλησίας πίστιν, εὐχαριστήσαντες ἐπὶ τούτῳ τῷ Κυρίῳ ἐβουλευσάμεθα πάντων μᾶλλον τὴν παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν ἐν Νικαίᾳ **280** πίστιν ὑπομνῆσαι τὴν σὴν θεοσέβειαν. Ταύτην γὰρ ἀθετήσαντές τινες ἡμῖν
30 μὲν ποικίλως ἐπεβούλευσαν, ὅτι μὴ ἐπειθόμεθα τῇ Ἀρειανικῇ αἱρέσει, αἴτιοι δὲ γεγόνασι τῆς τοιαύτης αἱρέσεως καὶ σχισμάτων τῇ καθολικῇ Ἐκκλησίᾳ. Ἡ μὲν γὰρ ἀληθὴς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστις φανερὰ πᾶσι καθέστηκεν ἐκ τῶν

θείων Γραφῶν γινωσκομένη τε καὶ ἀναγινωσκομένη. Ἐν ταύτῃ γὰρ καὶ οἱ ἅγιοι τελειωθέντες ἐμαρτύρησαν καὶ νῦν ἀναλύσαντές εἰσιν σὺν Χριστῷ. Ἔμεινεν δ' ἂν ἡ πίστις διὰ παντὸς ἀβλαβής, εἰ μὴ πονηρία τινῶν αἱρετικῶν παραποιῆσαι ταύτην ἐτόλμησεν. Ἄρειος γάρ τις καὶ οἱ σὺν αὐτῷ διαφθεῖραι ταύτην καὶ ἀσέ- 5
βειαν κατ' αὐτῆς εἰσαγαγεῖν ἐπεχείρησαν, φάσκοντες ἐξ οὐκ ὄντων καὶ κτίσμα καὶ ποίημα καὶ τρεπτὸν εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, πολλούς τε ἐν τούτοις ἠπάτησαν, ὥστε καὶ τοὺς δοκοῦντας εἶναί τι συναπαχθῆναι αὐτῷ τῇ βλασφημίᾳ. Καὶ φθάσαντες μὲν οἱ πατέρες ἡμῶν συνελθόντες ὡς προείπομεν ἐν τῇ κατὰ 10
Νίκαιαν Συνόδῳ τὴν μὲν Ἀρειανῶν αἵρεσιν ἀνεθεμάτισαν, τὴν δὲ τῆς καθολικῆς Ἐκκλησίας πίστιν ὡμολόγησαν ἐγγράφως, ὥστε ταύτης πανταχοῦ κηρυττομένης ἀποσβεσθῆναι τὴν ἀναφθεῖσαν αἵρεσιν. Ἦν μὲν οὖν αὕτη κατὰ πᾶσαν ἐκκλησίαν γινωσκομένη καὶ κηρυττομένη. Ἀλλ' ἐπειδὴ τὴν Ἀρειανὴν αἵρεσιν 15
ἀνανεῶσαι βουλόμενοι τινὲς μὲν αὐτὴν τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν τετολμήκασιν ἀθετῆσαι, τινὲς δὲ σχηματίζονται μὲν ὁμολογεῖν αὐτήν, ταῖς δ' ἀληθείαις ἀρνοῦνται, παρερμηνεύοντες τὸ ὁμοούσιον, καὶ αὐτοὶ **281** βλασφημοῦντες εἰς τὸ Πνεῦμα τὸ Ἅγιον[14] ἐν τῷ φάσκειν αὐτοὺς κτίσμα 20
αὐτὸ εἶναι καὶ ποίημα διὰ τοῦ Υἱοῦ γεγονός, ἀναγκαίως θεωρήσαντες τὴν ἐκ τῆς τοιαύτης βλασφημίας βλάβην κατὰ τῶν λαῶν, ἐπιδοῦναι τῇ σῇ εὐσεβείᾳ τὴν ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν ἐσπουδάσαμεν, ἵνα γνῷ σου ἡ θεοσέβεια, μεθ' ὅσης ἀκριβείας γέγραπται καὶ ὅσον πλανῶνται οἱ παρὰ ταύτην διδάσκον- 25
τες. Γίνωσκε γάρ, θεοφιλέστατε Αὔγουστε, ὅτι αὕτη μὲν ἐξ αἰῶνός ἐστι κηρυττομένη, ταύτην δὲ ὡμολόγησαν οἱ ἐν Νικαίᾳ συνελθόντες πατέρες καὶ ταύτῃ σύμψηφοι τυγχάνουσιν πᾶσαι αἱ πανταχοῦ κατὰ τόπον ἐκκλησίαι, αἵ τε κατὰ Σπανίαν καὶ Βρεττανίαν, Γαλλίας καὶ τῆς Ἰταλίας πάσης καὶ Δαλματίας, Δακίας 30
τε καὶ Μυσίας, Μακεδονίας τε καὶ πάσης Ἑλλάδος καὶ αἱ κατ' Ἀφρικὴν πᾶσαι καὶ Σαρδινίαν καὶ Κύπρον καὶ Κρήτην, Παμφυλίαν τε καὶ Λυκίαν καὶ Ἰσαυρίαν καὶ Πισιδίαν καὶ αἱ κατὰ πᾶσαν Αἴγυπτον καὶ τὰς Λιβύας καὶ Πόντον καὶ Καππαδοκίαν

14. Πρβλ. Πράξ. 5,3.

καὶ τὰ πλησίον μέρη καὶ αἱ κατὰ Ἀνατολὴν Ἐκκλησίαι, παρὲξ ὀλίγων τῶν τὰ Ἀρείου φρονούντων. Πάντων γὰρ τῶν προειρημένων τῇ πείρᾳ ἔγνωμεν τὴν γνώμην καὶ γράμματα ἔχομεν. Καὶ οἶδας, ὦ θεοφιλέστατε Αὔγουστε, ὅτι κἂν ὀλίγοι τινὲς ἀντιλέγωσι ταύτῃ τῇ πίστει, οὐ δύνανται πρόκριμα ποιεῖν πάσῃ τῇ οἰκουμένῃ. Πολλῷ γὰρ χρόνῳ βλαβέντες ἐκ τῆς Ἀρειανῆς αἱρέσεως φιλονεικότερον νῦν ἀνθ**282**ίστανται τῇ θεοσεβείᾳ. Καὶ ὑπὲρ τοῦ γινώσκειν τὴν σὴν θεοσέβειαν, καίτοι γινώσκουσαν, ὅμως ἐσπουδάσαμεν τὴν ἐν Νικαίᾳ πίστιν ὁμολογηθεῖσαν ὑπὸ τριακοσίων ἐπισκόπων ὑποτάξαι. Ταύτῃ τῇ πίστει, θεοσεβέστατε Αὔγουστε, ᾗ πάντας ἐπιμένειν ἀναγκαῖον ὡς θείᾳ τε καὶ ἀποστολικῇ καὶ μηδὲν μετακινεῖν αὐτῆς πιθανολογίαις καὶ λογομαχίαις, ὅπερ πεποιήκασιν ἐξ ἀρχῆς οἱ Ἀρειομανῖται, ἐξ οὐκ ὄντων τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντες καὶ ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ κτιστὸς καὶ ποιητὸς καὶ τρεπτός ἐστιν. Διὰ τοῦτο γάρ, καθὰ προείπομεν, καὶ ἡ ἐν Νικαίᾳ σύνοδος ἀνεθεμάτισεν τὴν τοιαύτην αἵρεσιν, τὴν δὲ τῆς Ἐκκλησίας πίστιν ὡμολόγησεν· οὐ γὰρ ἁπλῶς ὅμοιον εἰρήκασι τὸν Υἱὸν τῷ Πατρί, ἵνα μὴ ἁπλῶς ὅμοιος Θεῷ, ἀλλ' ἐκ Θεοῦ Θεὸς ἀληθινὸς πιστεύηται, ἀλλ' ὁμοούσιον ἔγραψαν, ὅπερ ἐστὶ γνησίου καὶ ἀληθινοῦ Υἱοῦ ἐξ ἀληθινοῦ καὶ φύσει Πατρός. Ἀλλ' οὐδὲ ἀπηλλοτρίωσαν τὸ Πνεῦμα τὸ Ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀλλὰ μᾶλλον συνεδόξασαν αὐτὸ τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐν τῇ μιᾷ τῆς Ἁγίας Τριάδος πίστει, διὰ τὸ καὶ μίαν εἶναι τὴν ἐν τῇ Ἁγίᾳ Τριάδι θεότητα. Καὶ ἔστιν ἡ ἐν Νικαίᾳ ἐκτεθεῖσα πίστις ἥδε·

«Πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρός, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο **283** *τά τε ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ εἰς τὸ Ἅγιον Πνεῦμα. Τοὺς δὲ λέγοντας ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, καὶ ὅτι πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία».*

Doctrina Patrum 16b (Serr 179,14) ὅτι ἡ ψευδοαθανάσιος ἐπιστολὴ πρὸς Ἰοβιανὸν προέρχεται ἐκ τοῦ Ἀπολλιναρίου μαρτυρεῖ Τιμόθεος ὁ τὸν πίνακα τῶν λόγων Ἀπολλιναρίου συντάξας, ἐν οἷς καὶ τὸν προφερόμενον ὡς Ἀθανασίου ἐνέταξεν.

ΙΟΒΙΟΥ

286 *Λεοντίου Βυζαντίου, 132 Οὐαλεντῖνος ἐκ τῆς ὁμολογίας σ. 263 καὶ ἐγὼ Ἰόβιος ἐπίσκοπος.*

Ὁμολογῶ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐξ αἰῶνος μὲν ἄσαρκον Θεὸν Λόγον, ἐπ' ἐσχάτων δὲ αἰώνων σάρκα ἐξ ἁγίας Παρθένου ἑνώσαντα ἑαυτῷ, εἶναι Θεὸν καὶ ἄνθρωπον, ἕνα καὶ τὸν αὐτόν, ὑπόστασιν μίαν σύνθετον καὶ πρόσωπον ἓν ἀδιαίρετον, μεσιτεῦον Θεῷ καὶ ἀνθρώποις καὶ συνάπτον τὰ διῃρημένα ποιήματα τῷ πεποιηκότι, ὁμοούσιον Θεῷ κατὰ τὴν ἐκ τῆς Πατρικῆς οὐσίας ὑπάρχουσαν αὐτῷ θεότητα, καὶ ὁμοούσιον ἀνθρώποις κατὰ τὴν ἐκ τῆς ἀνθρωπίνης φύσεως ἡνωμένην αὐτῷ σάρκα, προσκυνούμενον δὲ καὶ δοξαζόμενον μετὰ τῆς ἰδίας σαρκός, ὅτι δι' αὐτῆς ἡμῖν γέγονε λύτρωσις ἐκ θανάτου καὶ κοινωνία πρὸς τὸν ἀθάνατον. Ἄκρως γὰρ ἡνωμένη ἡ σὰρξ τῷ Λόγῳ καὶ μηδέποτε αὐτοῦ χωριζομένη οὐκ ἔστιν ἀνθρώπου, οὐ δούλου, οὐ κτιστοῦ προσώπου, ἀλλ' αὐτοῦ τοῦ Θεοῦ Λόγου, **287** τοῦ δημιουργοῦ, τοῦ ὁμοουσίου τῷ Θεῷ, καὶ οὐχ ὁμοούσιος τῇ ἀσωμάτῳ οὐσίᾳ τοῦ ἀῤῥήτου Πατρός.

Τοὺς δὲ τὴν ἄκρως ἡνωμένην σάρκα τῷ Λόγῳ καὶ μηδέποτε αὐτοῦ χωριζομένην λέγοντας ἢ διδάσκοντας ὁμοούσιον τῷ Θεῷ, τουτέστιν τῇ ἀσωμάτῳ οὐσίᾳ, τούτους ὡς διχοστασίας καὶ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ἐξ ἀρχῆς ἐμάθομεν, ποιοῦντας ταῖς ἐκκλησίαις ἐκκλίνομεν κατὰ τὴν ἀποστολικὴν παραγ-

γελίαν[15] καὶ ἀλλοτρίους ἡγούμεθα διὰ τὸ ἐναντιοῦσθαι τῇ ἀρχαίᾳ παραδόσει καὶ τῇ ἐκκλησιαστικῇ εἰρήνῃ.

ΟΥΑΛΕΝΤΙΝΟΥ ΑΠΟΛΙΝΑΡΙΣΤΟΥ ΚΕΦΑΛΑΙΑ ΑΠΟΛΟΓΙΑΣ ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΦΑΣΚΕΙΝ ΗΜΑΣ ΟΜΟΟΥΣΙΟΝ ΤΟ ΣΩΜΑ ΤΩ ΘΕΩ

Ἔπονται ἄνευ εἰσαγωγῆς τὰ ἐν H. Lietzmann, Apollinaris..., ἔνθ' ἀν., σ. 104,2, ὑπ' ἀριθμ. 1-12 ἀποσπάσματα, εἶτα συνεχίζει ἐν σ. 133 Οὐαλεντῖνος Χριστιανὸς πρὸς τὰ κακῶς καὶ ἀσεβῶς δογματισθέντα ὑπὸ Τιμοθέου καὶ τῶν μετ' αὐτοῦ, καὶ τοῦ διδασκάλου αὐτῶν τοῦ ἀσεβεστάτου Πολεμίου, ἀντέγραψα καὶ ταῦτα·

Ἐπειδὴ Τιμόθεος ὁ Πολεμίου γενόμενος πρῶτος μαθητής, ἐκ πολλῆς ἀνοίας ἐπεγείρας ἑαυτὸν κατὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, δογματίζει κατὰ τῆς ἀληθείας τὴν ἀσέβειαν τοῦ διδασκάλου αὐτοῦ Πολεμίου, ἀφρόνως κατηχῶν τὸν ἑταῖρον αὐτοῦ Καταφρόνιον, ὡς αὐτὸς γράφει τοῖς ὁμόφροσιν αὐτοῦ Παρηγορίῳ, Οὐρανίῳ Διοδώρῳ, Ἰοβίῳ, λέγων οὕτως·

«ὅτι τῇ ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον θεολογουμένη »καὶ τῷ Θεῷ ὁμοούσιος ὁμολογουμένη ἡ τοῦ Κυρίου σὰρξ »τῇ φύσει μένει ἀνθρωπίνη καὶ ἡμῖν ὁμοούσιος»·

καὶ πάλιν ἐκ προσώπου τοῦ κατηχηθέντος ὑπ' αὐτοῦ Καταφρονίου, λέγει οὕτως·

«ὅτι τῇ ἑνώσει ταὐτὸν τῷ Λόγῳ τοῦ Θεοῦ ὁμολογεῖσθαι »ὀφείλει, καὶ ὡς Λόγος θεολογεῖσθαι καὶ ὡς Λόγος προσ- »κυνεῖσθαι καὶ ὡς Λόγος ὁμοούσιος τῷ Θεῷ πιστεύεσθαι».

2 Καὶ ἔτι τούτου ἀσεβέστερον, ὦ Τιμόθεε· ὅτι τὴν σάρκα, ἣν ἐφόρεσεν ἡμῶν ὁ **288** Κύριος Ἰησοῦς Χριστὸς ἐκ τῆς ἁγίας Παρθένου, ἀφανῆ ποιεῖτε εἴπερ ὡς ὑμεῖς λέγετε, ὅτι ὡς Λόγος Θεοῦ ὁμοούσιος ἡ σάρξ, δι' ἧς σωτηρίας ἡμεῖς ἐτύχομεν· καὶ πιστεύομεν, ὅτι τῷ Λόγῳ τοῦ Θεοῦ συμπροσκυνεῖται καὶ συνθεολογεῖται καὶ συνδοξάζεται ἡ τοῦ Κυρίου σάρξ, ἣν ἐκ Παρθένου προσείληφεν, δι' ἧς καὶ μεσιτεία ἡμῖν ἀεὶ φυλάττεται ἡγε-

15. Πρβλ. Ρωμ. 16,17.

μονευομένης εἰς τὸ διηνεκὲς ὑπὸ τοῦ ζωοποιοῦ καὶ Θεοῦ Λόγου· καὶ οὕτως ἓν πρόσωπον ἀποδέδεικται ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἐκ σαρκὸς καὶ Λόγου· τῇ γὰρ ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον θεολογεῖται ἡ σάρξ, οὐ τῇ φύσει· ὥστε ἐν τῇ ἑνώσει καὶ τὸ διαμένειν ἔχει, καθάπερ αὐτός φησιν ὁ Κύριος, τὸ πνεῦμα εἶναι τὸ ζωοποιοῦν τὴν σάρκα[16]· οὐ γὰρ δὴ καὶ ὁμοούσιον γενέσθαι τὸ σῶμα τῷ ἀσωμάτῳ Θεῷ δυνατὸν διὰ τὴν ἕνωσιν· ὅπερ ἀφρόνως καὶ ἀσεβῶς οἱ περὶ Τιμόθεον καὶ Πολέμιον καὶ οἱ σὺν αὐτοῖς πολυτροπώτατα φιλοτεχνοῦντες λέγουσιν, εὐφημίαν ἐπιτιθέναι τῷ σώματι βουλόμενοι τὴν ἀδύνατον ἀσωματίαν· ἀλλὰ δοξασθῆναι τῇ δόξῃ τοῦ ἀσωμάτου Θεοῦ δυνατὸν καὶ πρέπον τῇ φορούσῃ αὐτὸ θεότητι· καὶ οὕτως προσκυνεῖται ὑπὸ πάσης τῆς κτίσεως, ὡς δημιουργὸς καὶ ἀληθινὸς Υἱὸς τοῦ Θεοῦ σαρκοφόρος, καὶ οὐκ ἄνθρωπος θεοφόρος.

3 Τί οὖν ἡ τοσαύτη ἀπαιδευσία, μᾶλλον δὲ καὶ ἀπιστία ὑμῶν, ὦ Τιμόθεε, σοῦ καὶ τῶν μετὰ σοῦ καὶ τοῦ διδασκάλου ὑμῶν Πολεμίου; αὐτοόμοούσιον, αὐτοέτεροούσιον, σῶμα τῇ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες, αὐτοαμετάβλητον, αὐτομεταβλητὸν λέγοντες· εἴπερ ὡς ὑμεῖς λέγετε, ὅτι ὡς Λόγος Θεοῦ ὁμοούσιος ἡ σάρξ· καὶ αὐτοὶ ἑαυτοῖς ἐναντιούμενοι, καὶ αὐτοὶ ἑαυτοὺς ἀναθεματίζετε· καὶ ὥσπερ ὁ κραιπαλῶν καὶ μεθύων οὐκ οἶδεν, τί πράττει ἢ τί λέγει, οὕτως καὶ ὑμεῖς οὐκ οἴδατε ἃ λέγετε οὔτε περὶ τίνων διαβεβαιοῦσθε[17], τούτου τοῦ ἀσεβοῦς δόγματος τοῦ ὑφ' ὑμῶν πλειστάκις δογματισθέντος ἐλέγχοντος ὑμᾶς. 4 Μάθετε οὖν, ὦ ἄπιστοι, ὅτι ἕνωσις οὐχ ὁμοουσίων· εἰ δὲ ὁμοουσίων, οὐχ ἕνωσις· ὅτι μηδὲν αὐτὸ **289** ἑαυτῷ ἑνοῦται ἢ συνάπτεται, ἀλλ' ἕτερον ἑτέρῳ τὸ ἑνούμενον ἢ τὸ συναπτόμενον, ὅ ἐστι Λόγος Θεοῦ σαρκὶ συνάψας ἑαυτόν· καὶ τοῦτό ἐστι τὸ λεγόμενον τὸ τοῦ θείου Εὐαγγελιστοῦ «ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[18], τὸ ἑνωθῆναι σαρκὶ ἐμψύχῳ τὸν Λόγον· εἶτα οὐδὲ τοῦτο οἴδατε, ὦ ἄπιστοι, ὅτι φύσις καὶ οὐσία ταὐτόν ἐστι μάλιστα ἐπὶ Θεοῦ, τοῦ Θεοῦ καὶ ἀρρήτου καὶ ἀσωμάτου καὶ ἀιδίου θεότητος τῆς σεβασμίου Τριάδος· τὸ δὲ σῶμα ὃ ἐφόρεσεν ὁ Κύριος, οὐκ ἀίδιον οὐδὲ ἀσώματον γέγονεν ἐκ τῆς

16. Πρβλ. Ἰω. 6,63. 17. Πρβλ. Α' Τιμ. 1,7. 18. Ἰω. 1,14.

ἑνώσεως· διὰ τοῦτο οὐχ ὁμοούσιον τῇ ἀρρήτῳ καὶ ἀσωμάτῳ οὐσίᾳ· ὁ δὲ Κύριος ἀίδιος, καὶ πρὸ σαρκὸς ὁμοούσιος τῷ Πατρὶ καὶ μετὰ σαρκὸς ὁ αὐτὸς ὁμοούσιος τῷ Πατρί· οὐκ ἦν ἡ σὰρξ ὁμοούσιος, στολὴ γὰρ καὶ περιβόλαιον, καὶ προκάλυμμα μυστηρίου κρυπτομένου προσείληφεν καὶ ὑπὲρ ἀνθρώπων προσήνεγκεν καὶ διὰ ταύτης ἀνθρώποις ἐπεφάνη· οὐδὲ γὰρ ἄλλως ἐδυνάμεθα Θεοῦ θεωροὶ γενέσθαι εἰ μὴ διὰ σώματος· πάλιν δὲ καὶ ἡμῖν ὁμοούσιος ὁ Κύριος κατὰ σάρκα· οὐ γὰρ κατὰ τὴν θεότητα· οὐδὲ γὰρ ἡ θεότης ἐκ γυναικός, μὴ γένοιτο· οὐδὲ ἡ σὰρξ ἄνωθεν οὐδὲ ἀίδιος.

5 Ἵνα ταῦτα λέγετε ἀπίστως καὶ ἀσεβῶς κατὰ τῆς ἀληθείας μετὰ τοσαύτης τεχνολογίας δογματίζοντες τὴν ἰδίαν ἀσέβειαν καὶ ἐλεγχόμενοι ὑπὸ τῆς ἀληθείας, ὡς κακοῦργοι καὶ ἄπιστοι καὶ ψευδολόγοι, καταξιώσατε εἰδέναι, ὅτι ἡ ἕνωσις τὴν φύσιν ἐδόξασεν οὐδὲ γὰρ ὁμοούσιον ἐποίησεν τὸ σῶμα τῷ Θεῷ, ὡς ὑμεῖς φανταζόμενοι τολμᾶτε λέγειν ἐκπεσόντες τῆς ἀληθείας καὶ ἐνυβρίζοντες τὴν ἐκ φιλανθρωπίας Θεοῦ συγκατάβασιν τοῦ Λόγου πρὸς σώματος συνάφειαν εἰς ἡμετέραν σωτηρίαν γενομένην, ὁμοούσιον τῇ ἀπαθεῖ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες· ὅτι ἔστιν πάσης ἀσεβείας ἐπέκεινα, κἂν μυριάκις ἑατοὺς θελήσητε σοφίζεσθαι παρερμηνεύοντες καὶ ῥᾳδιουργοῦντες τὰς θείας Γραφὰς καὶ τὰς βίβλους τοῦ τρὶς μακαρίου πατρὸς ἡμῶν καὶ διδασκάλου Ἀπολλιναρίου, ὡς τὰ ἔγγραφα ὑμῶν ἐλέγχουσιν ὑμᾶς, ἅπερ ἐποιήσατε πρὸς ἀπάτην καὶ σκάνδαλον τῶν ἀφελεστέρων ψυχῶν κατὰ τῆς ἑαυτῶν **290** κορυφῆς, ἐπειδὴ τῇ ἀληθείᾳ ἀντεπαθεῖτε· 6 καὶ οἴδατε ὅτι σκληρὸν ὑμῖν πρὸς κέντρα λακτίζειν[19], καὶ περιδρομῇ πολλῇ ἐχρήσασθε· ὥσπερ καὶ οἱ Ἰουδαῖοι παρανομήσαντες ⟨εἰς τὴν τοῦ Κυρίου σάρκα ἀπώλοντο,⟩ οὕτως καὶ ὑμεῖς σκανδαλιζόμενοι διὰ τὴν σάρκα τοῦ Σωτῆρος· κἂν πολλοὶ ἔσησθε, εἰς οὐδὲν λογισθήσεσθε διὰ τὴν ἀσέβειαν ὑμῶν· εἰ δὲ περιέλητε τὸ περίεργον τῆς ψυχῆς καὶ τὸ ἄπιστον, νοήσετε ἂν Θεὸν ἐν σώματι πεφηνότα, σώματος μετάληψιν διδόντα πρὸς μετάληψιν θεότητος· τὸ γὰρ σῶμα τὸ προσειλημμένον ἐκ τῆς ἁγίας Παρθένου, οὐκ αὐτὸ καθ' ἑαυτὸ τὴν σωτηρίαν δίδωσιν, ἀλλ' ἐκ τῆς τοῦ Πνεύματος συνουσίας, οὐχ ἵνα τὸ σῶμα ἐξευτελίζηται, ἀλλ' ἵνα τὸ Πνεῦμα ὑπερδοξάζηται.

19. Πρβλ. Πράξ. 26,14.

7 Μὴ οὖν θελήσητε πρὸς ἀπάτην ἀφελεστέρων ψυχῶν τὰς παραθέσεις τοῦ τρὶς μακαρίου πατρὸς ἡμῶν καὶ διδασκάλου Ἀπολλιναρίου γράφειν εἰς τὴν ὑμῶν δύσφημον παράθεσιν· ἐκεῖναι γὰρ καλῶς καὶ εὐσεβῶς παρετέθησαν ὑπὸ τοῦ ἁγίου καὶ θεοφόρου ἀνδρός· σχέσεως γὰρ καὶ τιμῆς εἰσιν δηλωτικαὶ καὶ οὐ φύσεως σημαντικαί· ἄτινα δηλοῖ τὸ ὁμοούσιον, ἅπερ ὑμεῖς ἀπίστως καὶ ἀσεβῶς παρεθήκατε· φύσις γὰρ καὶ οὐσία ταὐτόν ἐστιν, ὡς προεῖπον, καὶ πάντες δὲ οἱ τῆς ἀληθινῆς πίστεως ὁμολογηταὶ τοῦτο γινώσκουσιν· ὑμεῖς δὲ ἔριδι καὶ ζήλῳ καὶ φθόνῳ διαβολικῷ ἐξ ἀρχῆς κινηθέντες πρὸς τοὺς ἁγίους ἐπισκόπους καὶ ἀγωνισάμενοι κάκιστον ἀγῶνα κατὰ τῆς ἀληθείας καὶ σχίζοντες τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ εἰς τοιαύτην ἀσέβειαν ἐτράπητε, ὥστε τὸ παθητὸν σῶμα ὁμοούσιον τῇ ἀπαθεῖ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες, ὅπερ ἀδύνατον καὶ ἀσεβές, τοῖς ἀνθρώποις ὁμοούσιον σῶμα καὶ Θεῷ λέγειν ὁμοούσιον. 8 Καὶ πῶς «ὄψονται εἰς ὃν ἐξεκέντησαν»[20]; εἰ γὰρ ὁμοούσιον τὸ ὁρατὸν σῶμα τῇ ἀοράτῳ θεότητι, ὡς ὑμεῖς λέγετε, ἑκάτερα δήπου ἀόρατα κατὰ τὸ γεγραμμένον ὅτι «Θεὸν οὐδεὶς ἑώρακεν πώποτε»[21] οὔτε ἰδεῖν δύναται· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατὰ τὴν ἐκ Πατρὸς ἀιδίως ὑπάρχουσαν αὐτῷ θεότητα ἀόρατος, κατὰ δὲ τὴν σάρκα ἣν **291** ἐφόρεσεν ἐκ τῆς Παρθένου, ὁρατός· ἀμφότερα οὖν συντιθέσθω ἐπὶ τοῦ ἑνὸς προσώπου καὶ τὸ ἀληθὲς οὐ διαλύσεται· ὥστε οὐδὲ δύο πρόσωπα ὁ Χριστὸς οὐδὲ ἡ σὰρξ ὁμοουσία τῷ Θεῷ, ἡγεμονευομένη ὑπὸ τοῦ Θεοῦ Λόγου· ὅσοι οὖν τῆς ἀπαραποιήτου ταύτης καὶ ἀληθινῆς καὶ ἀποστολικῆς πίστεως εἰσιν ὁμολογηταί, μὴ παραδεξώμεθα τὰς βεβήλους τῶν περὶ Τιμόθεον καὶ Πολέμιον καὶ τῶν σὺν αὐτοῖς κενοφωνίας[22] κατὰ τὸ τοῦ Ἀποστόλου παράγγελμα· κἀκεῖνο δὲ διὰ μνήμης ἔχομεν τὸ ὑπ' αὐτοῦ πάλιν εἰρημένον, ὅτι «αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος»[23].

20. Ἰω. 19,37. Πρβλ. Ἀποκ. 1,7. 21. Ἰω. 1,18. 22. Πρβλ. Α' Τιμ. 6,20. 23. Τίτ. 3,10-11.

9 Οἱ δὲ περὶ Τιμόθεον καὶ Πολέμιον οὐ μόνον αἱρετικοὶ ἀπεφάνθησαν, ἀλλὰ καὶ συκοφάνται· ὁ γὰρ τρὶς μακάριος διδάσκαλος ἡμῶν Ἀπολλινάριος βλασφήμους καὶ μανιώδεις ἐγγράφως ἀπεκάλεσεν τοὺς λέγοντας ὁμοούσιον τὸ σῶμα τοῦ Κυρίου τῇ θεότητι· καὶ ὁ μακάριος δὲ Ἀθανάσιος, ὁ ἁγιώτατος ἐπίσκοπος ἡμῶν, ἔλεγεν ὡς ἐξ ἅδου ἀναφανέντας τοὺς τολμήσαντας εἰπεῖν ὁμοούσιον τὸ ἐκ Μαρίας σῶμα τῇ θεότητι· πολὺ δὲ ἠγνόησαν Τιμόθεος καὶ ὁ διδάσκαλος αὐτοῦ Πολέμιος καὶ οἱ σὺν αὐτοῖς, ὅτι ἑνὸς ὄντος τοῦ προσώπου τοῦ Θεοῦ Λόγου καὶ τῆς σαρκὸς τῆς γενομένης ὑπὸ τοῦ Θεοῦ Λόγου, πρὸς Θεὸν ἡ προσκύνησις σαρκωθέντα, οὐ πρὸς σάρκα ἡ προσκύνησις· οὐδὲ γὰρ ὁ Λόγος διὰ τὴν σάρκα προσκυνεῖται, ἀλλ' ἡ σὰρξ τῷ Λόγῳ συμπροσκυνεῖται, ὡς στολὴ καὶ περιβόλαιον, ὡς προεῖπον· ὅσοι οὖν τῷ κανόνι τούτῳ καὶ τῇ ἀληθινῇ καὶ ἀποστολικῇ ταύτῃ καὶ ἀπαραποιήτῳ πίστει μὴ στοιχῶσιν[24], ἔστωσαν ἀνάθεμα· «βλέπετε οὖν τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν· ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ οἱ πνεύματι Θεοῦ λατρεύοντες ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες»[25].

24. Πρβλ. Γαλ. 6,16. 25. Φιλιπ. 3,2-3.

ΑΚΡΑΙΟΙ ΑΠΟΛΙΝΑΡΙΣΤΑΙ*

ΠΟΛΕΜΩΝΟΣ

273 *Θεοδωρήτου, Αἱρετικῆς Κακομυθίας Ἐπιτομὴ IV 9 (t. IV σ. 363 Sch.).*

Πολέμιος δέ τις ἐκ τῶν τούτου (δηλ. Ἀπολλιναρίου) συγγραμμάτων τὰς ἀφορμὰς ἐσχηκὼς καὶ συνουσίωσιν λέγει γεγενῆσθαι καὶ κρᾶσιν τῆς θεότητος καὶ τοῦ σώματος. Ἐντεῦθεν ἡ τῶν Πολεμιανῶν ἐβλάστησεν αἵρεσις.

ΑΝΤΙΡΡΗΤΙΚΟΣ

274 *Μαξίμου τοῦ Ὁμολογητοῦ, Πνευματικὸς τόμος II Comb. (Migne 91, 169).*

Ὁ δὲ ἐκείνου (Ἀπολλιναρίου) τῆς ἀσεβείας μαθητὴς καὶ διάδοχος καὶ φερωνύμως τῷ τῆς ἀληθείας λόγῳ πολέμιος Πολέμων ὁ αἱρετικὸς ἐν τῷ πρὸς τοὺς ἁγίους πατέρας ἀντιρρητικῷ τάδε δυστρόφως φησίν

173 (1) Ὅλος γὰρ Θεὸς ἦν ὁ Χριστὸς καὶ τελειότητι σαρκὸς ἑνωθεὶς καὶ γενόμενος ἄνθρωπος, οὐ τὸν τρεπτὸν νοῦν ἑαυτῷ καταμίξας, θελήματι φυσικῷ ἐπὶ τἀναντία κινούμενον, ἑαυτῷ δὲ μᾶλλον γενόμενος νοῦς ἀτρέπτῳ θελήματι θεϊκῷ πάντα πεποίηκεν. Ἀλλ' οὐ τὸ μὲν θεῖον, τὸ δὲ θεωθὲν κατὰ τὸν Καππαδόκην Γρηγόριον, ἐπεὶ καὶ τρεπτόν. Τὸ γὰρ θεωθῆναι δυνηθὲν καὶ γεωθῆναι πάντως ἠδύνατο κατὰ τὸν πρῶτον Ἀδάμ.

Conc. Lateran. v. j. 649 act. V. Labbé VI 313e Mansi X. 1116b Πολέμωνος μαθητοῦ Ἀπολλιναρίου ἐκ τῶν πρὸς τοὺς ἁγίους πατέρας ἀντιρρητικῶν· ὅλος γὰρ... Ἀδάμ.

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris von Laodicea..., σσ. 273-277. (J.-P. Migne, PG. 91, σσ. 169, 172).

ΚΑΤΑ ΤΙΜΟΘΕΟΥ

174 (2) Οὐδὲν δὲ χεῖρον ἐννοῆσαι κἀκεῖνο· Θεὸν γὰρ λέγοντες καὶ ἄνθρωπον τὸν αὐτὸν οὐκ αἰσχύνονται μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην καθάπερ μίαν σύνθετον ὁμολογοῦντες· εἰ γὰρ Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτός, δύο φύσεις ἄρα ὁ αὐτός, καθάπερ ἡ τῶν Καππαδοκῶν εἰσηγεῖται καινοτομία Διοδώρου τε καὶ Ἀθανασίου ἡ οἴησις καὶ τῶν ἐν Ἰταλίᾳ ὁ τύφος, καὶ σχηματίζονται μὲν οἱ δῆθεν ἡμέτεροι φρονεῖν τὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀπολλιναρίου, κηρύττουσι δὲ καθάπερ οἱ Γρηγόριοι τὴν τῶν φύσεων δυάδα οὐδενὸς ὡς ἔοικεν ἐρασθέντες ἢ μόνης τῆς ἐν τῷ βίῳ τούτῳ φθαρτῆς δόξης τῇ πρὸς ἱερωσύνην ἐλπίδι δελεασθέντες. Τί οὖν αὐτοῖς καὶ ἡμῖν; τί δὲ συμβαίνειν πειρῶνται τῇ ἀξιαγάστῳ φωνῇ; τί δὲ Ἀπολλιναρίῳ τῷ θείῳ μαθητιᾶν σχηματίζονται; ταύτην γὰρ ἐπ' ἀν**275**αιρέσει τῆς τῶν φύσεων δυάδος τὴν φωνὴν μόνος ἡμῖν αὐτὸς ἀπεκύησεν γεγραφὼς ὧδε πῃ σαφῶς· «καὶ εἶναι... προσκυνήσει» (=ad lovianum I s. 250 f.)

Doctrina Patrum 16a (Serr 178) τοῦ δυσσεβοῦς Πολέμωνος, μαθητοῦ Ἀπολλιναρίου, κατὰ Τιμοθέου, συμμαθητοῦ αὐτοῦ· 17 οὐδὲν...2 ἀπεκύησεν.

Ἰουστινιανοῦ fol. 223 ἐν γὰρ τῷ κατὰ Τιμοθέου τοῦ συμμαθητοῦ αὐτοῦ λόγῳ λέγει (δηλ. Πολέμων ὁ μαθητὴς Ἀπολλιναρίου) τάδε· 17 οὐδὲν...2 ἀπεκύησεν.

Λεόντιος Ἱεροσολύμων 143b Πολέμων ὁ συνουσιαστής, οὗ Κύριλλός τε ὁ πατὴρ καὶ Σεβῆρος ὁ πατραλοίας μνημονεύουσι φήσαντος οὕτως· 17 Θεὸν γὰρ...25 δυάδα. Καὶ μετὰ βραχέα· 28 τί δὲ...3 προσκυνήσει. Τίς οὖν οὐ θαυμάσει, εἰ ὁ μετὰ Διοδώρου τοῦ ἀσεβοῦς διαβαλλόμενος αὐτῷ Ἀθανάσιος τὰ ὅμοια ῥήματα πάντα ἔφη. Doctrina Patrum 17a ταῦτα τοῦ Ἀπολλιναρίου τὰ ἀξιάγαστα (28) καθὰ Πολέμων ὁ μαθητὴς αὐτοῦ φησιν. Φωτίου *Βιβλιοθ.* 230 σ. 273b 8 Bekk. καὶ Πολέμων δὲ (τὸν Ἀπολλινάριον δὲ διδάσκαλον οὗτος ἀνευφήμει)... ὅρα τί φησιν· 17 οὐδὲν...25 δυάδα..

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ

Μαξίμου Ὁμολογητοῦ, Πνευματικὸς τόμος II 90 Comb. (Migne 91,172) καὶ ἐν ἕκτῃ τῶν πρὸς τὸν Τιμόθεον αὐτῷ γεγραμμένων ἐπιστολῶν, τὸν αὐτῷ συνεργάτην καὶ τῆς ἀσεβείας συλλήμπτορα πονηρόν·

175 (3) Ὁ δύο θελήματα λέγων Χριστοῦ κατὰ τοὺς πάλαι καὶ νῦν φυσσωμένους ἢ τὸν ἕνα δύο τινὰς εἰσάγει Χριστοὺς ἀλλήλων οὐ φύσει μόνον, ἀλλὰ δὴ καὶ ἀπεχθείᾳ διῃρημένους, ἢ τὸν αὐτὸν ἑαυτῷ διδάσκει μαχόμενον. Ἔνθα γὰρ δυάς, πάντως διαίρεσις.

Σύνοδος Λατερανοῦ v. j. 649 act. V. Labbé 316a. Mansi X 1116c τοῦ αὐτοῦ (Τιμοθέου) ἐκ τῆς πρὸς Τιμόθεον ς' ἐπιστολῆς· ὁ δύο...διαίρεσις.

ΠΡΟΣ ΙΟΥΛΙΑΝΟΝ ΕΠΙΣΤΟΛΗ

Doctrina Patrum sent. 70b (Serruys 186) Πολέμωνος, μαθητοῦ Ἀπολλιναρίου, ἐκ τῆς πρὸς Ἰουλιανὸν συμμαθητὴν αὐτοῦ δογματικῆς ἐπιστολῆς, ἧς ἡ ἀρχή·

μανίας ὁ τῶν διφυσιτῶν πεπλήρωται λόγος καὶ τρόπος

276 176 (4) οἱ τὸν Ἀθανάσιον ἐπὶ γνώσει θαυμάσαντες, Βασιλείου τε καὶ Γρηγορίου εὐγλωττίᾳ κατηδονεσθέντες τῷ τῆς διαιρέσεως κατεπόθησαν χάσματι, σὺν ἐκείνοις τὸν ἕνα Χριστὸν ἤγουν τὴν συντεθεῖσαν σαρκὶ μίαν τοῦ Λόγου φύσιν δύο φύσεις ἔχειν νοερὰς αὐτοκινήτους καὶ δύο θελήσεις καὶ τοσαύτας ἐνεργείας ἀποφηνάμενοι. Μὴ σκοπήσαντες ὅτι ἡ μία φύσις οὐδέποτε μοίους ἐνεργητικὰς ἐκφερομένη κινήσεις. Ἀλλ' εἴπερ εἷς ἐστιν ὁ τοῦ Θεοῦ Λογος, μία πάντως αὐτοῦ ὡς ἑνὸς καὶ ἡ φύσις καὶ ἡ θέλησις καὶ ἡ τῶν θαυμάτων τε καὶ παθημάτων ἐνεργητικὴ καθέστηκε κίνησις.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς·

177 (5) Ἔλαθεν γὰρ αὐτοὺς ὅτιπερ ἑνουμένη δυὰς οὐ μένει

δυάς. Εἰ δὲ μένει δυάς, ἐκ δυάδος αὐτοῖς ὁ Χριστὸς ἔσται δυάς, ὅπερ ἀνόητον. Εἰ δὲ καὶ θεληματων δυάδι μερίζεται καὶ ἐνεργειῶν, ἔτι ἀνοητότερον· τῆς γὰρ τῶν φύσεων δυάδος οὔσης νοερᾶς ἐξ ἀνάγκης καὶ θεληματων αὐτῇ συνεισαχθήσεται δυάς· οὐ γὰρ ἔστι νοῦς ἀθελής.

ΕΥΝΟΜΙΟΥ

ΠΡΟΣ ΖΩΣΙΜΟΝ

Doctrina Patrum haer. sent. 71a (Serruys 186) Εὐνομίου Βεροίης Θράκης ἐκ τῆς πρὸς Ζώσιμον μοδεράτορα ἐπιστολῆς·

178 (1) οὐ γέγονε διφυὴς ἢ διθελὴς σαρκωθεὶς ὁ Λόγος κατὰ τὴν τῶν Αἰγυπτίων καὶ Καππαδοκῶν καὶ Ῥωμαίων ταυτονομίαν, ἀλλὰ σύνθετος. Οὐ γὰρ ποσότητι φύσεων ἐπηυξήθη σαρκωθείς, ⟨ἀλλ'⟩ ἐξ ἁπλοῦ γέγονε σύνθετος, τῆς οἰκείας φυσικῆς κατ' οὐδένα τρόπον μονάδος ἐκστάς. Εἰ δὲ ταύτης οὐχ ὑπέμεινεν ἔκστασιν, μίαν αὐτοῦ δὴ σαφῶς ὡς ἑνὸς τήν τε φύσιν καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν μεγάλῃ κηρύττομεν τῇ φωνῇ.

Doctrina Patrum haer. sent. 72a Εὐνομίου ἐκ τῆς πρὸς Ζώσιμον·

179 (2) Ἐνὶ δὲ λόγῳ τὸ ζητούμενον εἰπεῖν † ἐξ αὐτοκινήτων· **277** οὐ γὰρ σύνθεσις. Ἰδικὴν γὰρ ἑκατέρων ὡς νοερὰν τὴν ἐκ φύσεως ἐπάγει θέλησιν, κατ' ἐξουσίαν περὶ τὸ δοκοῦν ἐνεργουμένην. Πῶς οὖν σύνθεσις ἐναντίοις ἐκ φύσεως, διασπωμένη θελήμασι πρὸς ἀνομοίους ἐνεργείας;

ΙΟΥΛΙΑΝΟΥ

ΠΡΟΣ ΠΟΛΕΜΩΝΑ ΕΠΙΣΤΟΛΗ

Doctrina Patrum haer. sent. 70b (Serruys 185) Ἰουλιανοῦ, μαθητοῦ Ἀπολλιναρίου, ἐκ τῆς πρὸς Πολέμωνα τὸν συμμαθητὴν ἀντιγράφου ἐπιστολῆς·

180 Ἐκ κινητικοῦ καὶ ἀκινήτου, ἐνεργητικοῦ τε καὶ παθητικοῦ τὸν Χριστὸν εἶναι μίαν οὐσίαν καὶ φύσιν σύνθετον ἑνί τε καὶ μόνῳ κινουμένην θελήματι, καὶ μιᾷ ἐνεργείᾳ τά τε θαύματα πεποιηκέναι καὶ τὰ πάθη, μόνος καὶ πρῶτος ὁ πατὴρ ἡμῶν Ἀπολλινάριος ἐφθέγξατο τὸ κεκρυμμένον πᾶσι καταφωτίσας μυστήριον, ὡς ἓν καὶ μόνον οὐσίας μονάδι τιμήσας καὶ φύσεως, καὶ τοὺς κομψίᾳ λόγων αὐτὸ διαιροῦντας ἀλλοτρίους τῆς ἐν αὐτῷ κεκρυμμένης σοφίας ἀποδείξας.

ΑΠΟΛΙΝΑΡΙΣΤΩΝ ΕΤΕΡΑ*

ΕΓΚΥΚΛΙΟΝ

292 Τοῖς ἁπανταχοῦ ἐπισκόποις τῆς καθολικῆς Ἐκκλησίας, ἀγαπητοῖς ἀδελφοῖς [Ἰούλιος] ἐν Κυρίῳ χαίρειν. Πέπεισμαι μέν, ἀγαπητοὶ ἀδελφοί, τὴν πίστιν ἡμῶν τὴν περὶ τὸν Κύριον καὶ Θεὸν καὶ βασιλέα ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας ἀπὸ τοῦ Ὡσηὲ τοῦ προφήτου περὶ τοῦ Θεοῦ Λόγου καὶ τοῦ Πατρὸς ὡς περὶ Κυρίου «οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἰακώβ, ὅτι Θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος· ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν· ὀπίσω Κυρίου πορεύσομαι»[1]. Ταῦτα καὶ διὰ τούτων ὅσα ὁ Θεὸς Λόγος ἐνανθρωπήσας πρὸς τοὺς ἄνθρωπον αὐτὸν ἁπλῶς ἅγιον, ἀλλ' οὐ Θεὸν εἶναι ὁμολογοῦντας Θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος[2]. 2 Πιστεύω τῇ ἐν μιᾷ θεότητι καὶ οὐσίᾳ δοξαζομένῃ τε καὶ προσκυνουμένῃ Τριάδι, τουτέστι Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ τῇ ἐξ οὐρανῶν καθόδῳ καὶ ἐξ ἁγίας Παρθένου Μαρίας σαρκώσει καὶ ἐπιφανείᾳ τοῦ Θεοῦ Λόγου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν ἀνθρώποις φανερώσει αὐτοῦ, ὄντος Θεοῦ καὶ ἀνθρώπου, οὐκ ἄλλου μὲν Θεοῦ, ἄλλου δὲ ἀνθρώπου, ἀλλὰ μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον τοῦ Θεοῦ Λόγου καὶ τῆς ἐκ Μαρίας σαρκός, ἐκ Θεοῦ καὶ ἐκ γυναικός, τοῦ αὐτοῦ παθητοῦ τε καὶ ἀπαθοῦς, σαρκὶ μὲν πάσχοντος καὶ τὸ ἡμέτερον πάθος ἀναδεχομένου, θεότητι δὲ πάθος διαλύσαντος καὶ θανάτῳ σωτηρίῳ τὸν ἡμέτερον θάνατον καταλύσαντος, φωτί**293**σαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν πιστοῖς δωρουμένου, μελλόντων ἀγαθῶν ἀπόλαυσιν καὶ βασιλείας οὐρανίου θεϊκῆς σὺν καὶ δόξῃ κληρονομίαν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris von Laodicea..., σσ. 292-294.

1. Ὡσ. 11,9-10. 2. Πρβλ. Ἰω. 10, 33-36.

ΕΚΘΕΣΙΣ ΤΗΣ ΠΙΣΤΕΩΣ

Ὁμολογοῦμεν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, τὸν ἐκ τοῦ Πατρὸς κατὰ Πνεῦμα πρὸ αἰώνων γεννηθέντα, ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐκ Παρθένου κατὰ σάρκα τεχθέντα, ἓν πρόσωπον σύνθετον ἐκ θεότητος οὐρανίου καὶ ἀνθρωπείας σαρκός, καὶ καθὸ ἄνθρωπος ἕν, ὅλον Θεὸν καὶ ὅλον ἄνθρωπον· ὅλον Θεὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα Θεόν, καὶ ὅλον ἄνθρωπον καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα ἄνθρωπον· οὕτως ὅλον προσκυνητὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα προσκυνητόν· ὅλον προσκυνοῦντα καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα προσκυνοῦντα· ὅλον ἄκτιστον καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα ἄκτιστον· ὅλον πλαστὸν καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα πλαστόν· ὅλον ὁμοούσιον τῷ Θεῷ καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ **294** κατὰ τὸ σῶμα ὁμοούσιον τῷ Θεῷ, ὥσπερ οὐδὲ κατὰ τὴν θεότητά ἐστιν ἀνθρώποις ὁμοούσιος καίτοιγε μετὰ τῆς θεότητος ὢν κατὰ σάρκα ἡμῖν ὁμοούσιος· καὶ γὰρ ὅταν λέγωμεν αὐτὸν κατὰ πνεῦμα Θεῷ ὁμοούσιον, οὐ λέγομεν αὐτὸν κατὰ πνεῦμα ἀνθρώποις ὁμοούσιον· καὶ πάλιν ὅταν κηρύσσωμεν αὐτὸν κατὰ σάρκα ἀνθρώποις ὁμοούσιον, οὐ κηρύσσομεν αὐτὸν κατὰ σάρκα Θεῷ ὁμοούσιον· ὥσπερ γὰρ κατὰ πνεῦμα ἡμῖν οὐκ ἔστιν ὁμοούσιος, ἐπειδὴ Θεῷ ἐστι κατὰ τοῦτο ὁμοούσιος, οὕτως οὐδὲ κατὰ σάρκα ἐστὶ Θεῷ ὁμοούσιος, ἐπειδὴ ἡμῖν ἐστι κατὰ τοῦτο ὁμοούσιος. Ὥσπερ δὲ ταῦτα διήρθρωται καὶ σεσαφήνισται οὐκ εἰς διαίρεσιν τοῦ ἑνὸς προσώπου τοῦ ἀδιαιρέτου, ἀλλ' εἰς δήλωσιν τοῦ ἀσυγχύτου τῶν ἰδιωμάτων τῆς σαρκὸς καὶ τοῦ λόγου, οὕτω καὶ τὰ τῆς ἀδιαιρέτου συνθέσεως πρεσβεύομεν.

ΑΠΟΛΙΝΑΡΙΣΤΙΚΑ ΕΤΕΡΑ*

(ΜΕΤΑΦΡΑΣΙΣ)

ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ

307 Ζωὴν ἔχει ἑτοιμάσει εἰς ἡμᾶς τὸ Εὐαγγέλιον, ἀδελφοί μου, ἀπὸ τὴν ὁποίαν ἔχομε μάθει, ὅτι ὁ Θεὸς ἦλθεν εἰς τὸν κόσμον καὶ μετεμόρφωσε τὰ ἀνθρώπινα πράγματα εἰς θείαν δόξαν καὶ εἰς οὐρανίας ἀνωτερότητας (ὑπεροχὰς) καὶ εἰς μακαρίαν ζωὴν καὶ εἰς τάξιν τῆς νέας δημιουργίας. Αὐτός, δηλ., ὁ ὁποῖος εἶναι ἐν Χριστῷ, εἶναι μία νέα δημιουργία[1], καὶ ὅλοι ὅσοι πιστεύουν εἰς τὸν Χριστόν, ἔχουν γίνει ὅμοιοι μὲ τὸν Χριστόν, ἐπειδὴ **308** ἐκεῖνοι, οἱ ὁποῖοι ἔχουν ἴδει τὴν δόξαν του, ἔχουν γίνει ὅμοιοι πρὸς τὴν δόξαν του[2]. Αὐτὸς μεταμορφώνει τὸ σῶμα τῆς ταπεινώσεώς μας[3] εἰς τὴν ὁμοιότητα τοῦ σώματος τῆς λαμπρότητός του μέσῳ τῆς ἀποτελεσματικότητος τῆς δυνάμεώς του, ἐπειδὴ ὅλα ἔχουν ὑπαταχθεῖ εἰς Αὐτόν[4].

2. Διὰ τοῦτο, ἂς μὴν ὀργίζεται κανεὶς διὰ τὸ ἀνθρώπινον σχῆμα[5], καὶ δι' αὐτὸν τὸν λόγον ἀνέλαβεν ὁ Χριστὸς ὡς ἄνθρωπος τοὺς σωματικοὺς πόνους, διὰ νὰ μὴ χάσῃ αὐτὸς τὴν ζωήν· διότι ἕνας ἄνθρωπος δὲν μπορεῖ νὰ σώσῃ τὸν κόσμον, καὶ ὁ πόνος ἑνὸς ἀνθρώπου δὲν ἁγιάζει αὐτούς, οἱ ὁποῖοι ἔχουν βαπτισθεῖ εἰς τὸ ὄνομά του. Ὅλοι ἡμεῖς εἴμεθα βαπτισμένοι εἰς τὸν θάνατον[6] τοῦ Χριστοῦ, ἐνόσῳ πιστεύομεν, ὅτι ὁ θάνατος τοῦ Χριστοῦ ἔχει γίνει ἡ ἀρχὴ τῆς ζωῆς καὶ ἐπὶ πλέον, ὅτι μετεμόρφωσε τὸν ἰδικόν μας θάνατον εἰς ζωήν[7]. Διότι ὁ Χριστὸς κατήργησε τὸν θάνατον καὶ ἄφησε νὰ λάμψῃ ἡ ἄφθαρτος ζωή[8],

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Lietzmann, Apollinaris..., σσ. 307-322. Μετάφρασις ἐκ τῆς Γερμανικῆς ὑπὸ τοῦ Ἀποστόλου Νικολαΐδη.

1. Πρβλ. Β' Κορ. 5,17. 2. Πρβλ. Β' Κορ. 3,18. 3. Πρβλ. Φιλιπ. 3,21. 4. Πρβλ. Α' Κορ. 15,27,28. 5. Πρβλ. Φιλιπ. 2,7. 6. Πρβλ. Ρωμ. 6,3. 7. Πρβλ. Ρωμ. 6,4. 8. Πρβλ. Ρωμ. 6,9. Β' Τιμ. 1,10.

ὅπως εἶναι γραμμένο. Ἀλλὰ κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν μπορεῖ νὰ καταργήσῃ τὸν θάνατον, οὔτε νὰ ἀφήσῃ τὴν ζωὴν νὰ λάμψῃ, ὅπως λέγει ἐπίσης καὶ ὁ Δαβίδ: Ποῖος εἶναι ὁ ἄνθρωπος ὁ ὁποῖος ἔζησε καὶ δὲν εἶδε τὸν θάνατον καὶ ἔσωσε τὴν ψυχήν του ἐκ τῶν χειρῶν τοῦ ᾅδου[9]; Ὅποιος ὅμως δὲν εἶναι εἰς θέσιν νὰ σώσῃ τὸν ἑαυτόν του, πῶς θὰ μποροῦσε νὰ εἶναι εἰς θέσιν νὰ σώσῃ ἄλλους; καὶ ὅποιος δὲν μπορεῖ νὰ λυτρώσῃ ἕναν καὶ μόνον ἄνθρωπον, πῶς θὰ ἠδύνατο νὰ λυτρώσῃ τὸν κόσμον; Διότι, ἐπειδὴ ἡ ἁμαρτία κατοικοῦσεν εἰς τὸν ἄνθρωπον, ἔλαβε χώραν ἐπίσης καὶ ἡ συνέπεια τοῦ θανάτου, «ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ»[10]. Ἀφοῦ δηλ. ἁμάρτησεν ὁ Ἀδὰμ καὶ μᾶς ἐγέννησεν μὲ τὴν ἰδικήν του ἁμαρτίαν κατὰ τὴν ἰδικήν του ὁμοιότητα, ἀπ' αὐτὸ τὸ σημεῖο ἔμεινε ἐπάνω εἰς ἡμᾶς ὁ νόμος τοῦ Θεοῦ, εἰς τὸν ὁποῖον λέγει: «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ»[11]. Ἀλλὰ καὶ ὁ Μωυσῆς δὲν ἦταν εἰς θέσιν νὰ καταργήσῃ τὸν θάνατον, ἀντίθετα μάλιστα· καὶ ὁ ἴδιος ἐνικήθη ὑπὸ τοῦ θανάτου, καὶ ὅλοι ὅσοι ὑπετάγησαν εἰς τὴν κυριαρχίαν καὶ εἰς τὸν νόμον τοῦ θανάτου, οὐδένα ἠλευθέρωσαν. Ὁ Χριστὸς ὅμως καὶ ἡ ἀγαθότης του **309** ἔδωσε τὴν ἀρχὴν τῆς ζωῆς, ἐπειδὴ τὸ πνεῦμα τῆς γεννήσεως τῆς ζωῆς ἔδωσε τὴν πίστιν εἰς τὸν Χριστόν, ὁ ὁποῖος μετὰ τὴν ἀνάστασίν του ἔδωσε τὸ Ἅγιον Πνεῦμα μέσῳ τοῦ ἰδικοῦ του ἐμφυσήματος[12]· τὸ Ἅγιον Πνεῦμα ὅμως εἶναι μία δωρεὰ τοῦ Θεοῦ καὶ ὄχι τοῦ ἀνθρώπου.

3. Θέλομε, λοιπόν, νὰ πιστεύωμεν, ὅπως πρέπει, εἰς τὸν Χριστὸν ὡς εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ὁ ὁποῖος ἐφανερώθη ἐν σώματι[13], εἰς Αὐτὸν ὁ ὁποῖος εἶναι ὁ Κύριος τῶν Προφητῶν καὶ ὁ Κύριος τῶν Ἀγγέλων, καὶ διὰ τοῦτο καὶ τὸν ὑπηρετεῖ ὅ,τι ὑπάρχει εἰς τὸν οὐρανὸν καὶ ἐπὶ τῆς γῆς καὶ ὑπὸ τὴν γῆν[14]. Διότι δὲν ὑπηρετοῦν ἕναν ἄνθρωπον οἱ Ἀρχὲς καὶ οἱ Κυριότητες καὶ οἱ οὐράνιες Δυνάμεις, ἀλλὰ τὸν Θεόν, καὶ κάθε γόνυ ἂς κλίνῃ εἰς Ἐκεῖνον, ὁ ὁποῖος εὑρίσκεται εἰς τὸν οὐρανὸν καὶ ἐπὶ

9. Πρβλ. Ψαλ. 88,49. 10. Ρωμ. 5,14. 11. Γεν. 3,19. 12. Πρβλ. Ἰω. 20,22. 13. Πρβλ. Ἰω. 1,14. Α' Τιμ. 3,16. 14. Πρβλ. Ἐφ. 1,21.

τῆς γῆς καὶ ὑπὸ τὴν γῆν καὶ κάθε γλῶσσα ἂς ὁμολογήσῃ ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ Κύριος εἰς δόξαν Θεοῦ Πατρός[15]. Ὁ Χριστὸς ὅμως εἶναι Θεός, ὁ ὁποῖος ἀπεκαλύφθη ἐν σαρκί, καὶ Αὐτὸς ὡμίλησεν ὡς Θεὸς καὶ ἔπραξεν ὅλα ὡς Θεὸς καὶ εἶναι ὁ ἀληθινὸς Υἱὸς τοῦ Θεοῦ, Αὐτὸς ὁ ὁποῖος ἔδωσε τὸν νόμον καὶ εἶπεν: «ἐγὼ λέγω ὑμῖν»[16], καὶ Αὐτὸς ὁ ὁποῖος ἐξουσιάζει τὴν θάλασσα, τὸν ἄνεμον[17] καὶ τὰ ἀκάθαρτα πνεύματα[18]. Οἱ ἄνθρωποι, ὅμως, αὐτοὶ οἱ ὁποῖοι ἐδέχθησαν τὸν Θεὸν ἢ τὴν θείαν δύναμιν, δὲν ἐκδίδουν ἀφ' ἑαυτῶν νόμον οὔτε καὶ διατάζουν. Διὰ τοῦτο εἶπεν ὁ Παῦλος: «οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος»[19], ἐπειδὴ δὲν ἔφερε τὴν διαταγὴν ἀπὸ τὸν ἑαυτόν του, ἀλλὰ ἀπὸ τὸν Χριστόν. Καὶ ὅπου αὐτὸς ἔδωσε μίαν συμβουλήν, δὲν τὴν ἔδωσε ἀφ' ἑαυτοῦ του, ἀλλὰ μέσῳ τοῦ Πνεύματος, τὸ ὁποῖον τοῦ ἐδόθη ἀπὸ τὸν Χριστόν, ἀφοῦ εἶπε: «δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν»[20], καὶ πάλιν εἶπε: «δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[21];

4. Ὅποιος συνεπῶς ἰσχυρίζεται, ὅτι ὁ Χριστὸς ἦτο ἕνας κοινὸς ἄνθρωπος, εἰς τὸν ὁποῖον κατοικοῦσεν ὁ Θεός, αὐτὸς εἶναι ἕνας ἄθεος, ἐπειδὴ ἐξισώνει τὸν Κύριόν μας μὲ ἕναν, ἀπὸ τοὺς ἀνθρώπους καὶ ἐπειδὴ ἀλλάζει τὸ ἀληθὲς τῆς θεότητός του, ὡς νὰ τὴν ἔλαβεν ἀπὸ τὸν Θεὸν καὶ ὄχι ὅτι εἶναι ἀληθινὸς Θεός. Αὐτὸς ὁ ὁποῖος ἐφανερώθη μὲ τὴν ἰδικήν μας **310** μορφὴν καὶ ἡ ἰδική μας ζωοπάροχος λατρεία ἀπεκάλυψεν, ὅτι ἡμεῖς προσευχόμεθα εἰς τὸν Χριστόν, ἐπειδὴ εἶναι ὁ ἴδιος Θεὸς καὶ ὄχι ἐπειδὴ θὰ ὑπῆρχε εἰς αὐτὸν ὁ Θεός. Καὶ αὐτὸς δὲν γνωρίζει ἐπίσης, τί εἶναι Κύριος καὶ τί δοῦλος, τί Σωτήρας καὶ τί σωσμένος, τί εἶναι Πνεῦμα καὶ τί Ζωοδότης, ὅπως εἶναι ὁ Χριστός[22], καθὼς εἶπε καὶ ὁ Ἀπόστολος· τί εἶναι ζωντανὴ ψυχή, ὅπως ἦταν ὁ Ἀδάμ[23], τί δι' ἐκεῖνον, ὁ ὁποῖος εἶναι ἀπὸ σκόνη, τί διὰ τὸν ἄνθρωπον ὁ ὁποῖος εἶναι ἀπὸ χῶμα, τί εἶναι οὐράνιος καὶ τί ἐξ οὐρανοῦ. Αὐτὸς ὁ ὁποῖος εὑρέθη νὰ ἔχῃ ἀνθρωπίνην μορφὴν ἐξ αἰτίας τῆς σαρκός, ἡ ὁποία κατάγεται ἀπὸ τὴν Παρ-

15. Πρβλ. Φιλιπ. 2,10. 16. Ματθ. 5,22. 17. Πρβλ. Ματθ. 8,26. 18. Πρβλ. Ματθ. 8,32. 19. Α' Κορ. 7,10. 20. Α' Κορ. 7,40. 21. Β' Κορ. 13,3. 22. Πρβλ. Ρωμ. 8,11. 23. Πρβλ. Α' Κορ. 15,45.

θένον, εἰς τὴν δύναμιν ὅμως ἦτο Θεὸς ἐξ αἰτίας τοῦ Πνεύματος τὸ ὁποῖο κατάγεται ἀπὸ τὸν οὐρανόν· εἰς Αὐτὸν ἀνήκει ἡ τιμὴ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΕΡΙ ΠΙΣΤΕΩΣ

Ἂς εἶναι ἀνάθεμα ἐκεῖνος ὁ ὁποῖος λέγει, ὅτι ὁ Υἱὸς τῆς αἰωνιότητος, Αὐτὸς ὁ ὁποῖος ἐσταυρώθη, κατατάσσεται μεταξὺ ἐκείνων τῶν δικαίων καὶ ἐκείνων τῶν συνήθων υἱῶν, οἱ ὁποῖοι ὀνομάζονται υἱοὶ Θεοῦ μέσῳ τῆς χάριτος. Ὅλοι αὐτοὶ δηλ. οἱ ὁποῖοι καλοῦνται κατὰ χάριν υἱοὶ Θεοῦ, καλοῦνται συνολικὰ μὲ ἕνα ὄνομα τὸ ὁποῖο περιλαμβάνει ὅλους μαζί. Καλοῦνται «υἱοὶ Θεοῦ», ἀλλὰ κανεὶς ἀπ' αὐτοὺς δὲν ὀνομάζεται «υἱὸς Θεοῦ»[24]· αὐτοὶ καλοῦνται ἐπίσης καὶ «πρωτότοκοι Θεοῦ» ἀλλὰ κανεὶς «πρωτόκοκος»[25]. Καλοῦνται ἐπίσης «θεοί, ἀλλὰ κανεὶς «Θεός». Αὐτὸς ὅμως, ὁ ὁποῖος ἐγεννήθη ἐκ Παρθένου καὶ ἐσταυρώθη, κηρύττεται ὡς «Υἱὸς» καὶ ὡς «πρωτότοκος» καὶ ὡς « ἐπὶ πάντων Θεός»[26]. Υἱὸς δηλ. εἶναι ἐκ Θεοῦ καὶ ὄχι κατὰ χάριν, καὶ κανένας ἄλλος δὲν ἔχει τὸ ὄνομα «Υἱός, πρωτότοκος, Θεός»· καὶ αὐτοὶ οἱ υἱοὶ τῆς χάριτος δὲν ἔχουν τὴν ἐξουσίαν ὁ καθένας μεμονωμένως **311** νὰ διεκδικήσῃ διὰ τὸν ἑαυτό του τὸ ἑνικὸ ὄνομα «Υἱὸς» καὶ «πρωτότοκος» καὶ «Θεός». Ἀλλὰ αὐτός, ὁ ὁποῖος ἐσταυρώθη, καλεῖται «Υἱὸς» καὶ «πρωτότοκος» καὶ «Θεός», καὶ Αὐτὸς εἶναι ἐξέχων καθ' ἑαυτὸν καὶ ὑπερυψωμένος ὑπὲρ ἐκείνους τοὺς «υἱοὺς» καὶ «πρωτοτόκους» καὶ «θεούς», καὶ Αὐτὸς μόνος εἶναι «Υἱὸς» καὶ «πρωτότοκος» καὶ «Θεός», καὶ Αὐτὸς διακρίνεται ἀπὸ τὰ δημιουργήματά του καὶ ἀναγνωρίζεται ἀπὸ αὐτὰ ὡς ὁ ἀληθινὸς ὁμοούσιος. Διότι δὲν θὰ ἐκαλεῖτο «Υἱὸς» καὶ «πρωτότοκος», ἂν δὲν ἦταν ἀληθῶς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ αὐτὸ τὸ ὄνομα δὲν ἐδόθη εἰς οὐδένα καὶ κανεὶς ποτὲ δὲν ἐχαρακτηρίσθη κατ' αὐτὸν τὸν τρόπον: «οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»[27]. Κλήθηκε δηλ. «ὁ πρωτότοκός μου»[28] Ἰσραήλ, αὐτὸς ὅμως εἶναι «ὁ ὁποῖος θὰ ἔλθῃ νὰ

24. Πρβλ. Ματθ. 8,29. 27,43. Μάρκ. 3,11. Λουκ. 4,41. 25. Ρωμ. 8,29. Κολ. 1,15,18. 26. Ρωμ. 9,5. 27. Ματθ. 3,17. 28. Ἐξ. 4,22,23.

μὲ ὑπηρετήσῃ εἰς τὴν ἔρημον», εὐλογίας ἔφερεν ἀναμέσον τῶν συνάξεων λατρείας τοῦ Θεοῦ τὴν σύναξιν τοῦ Ἰσραήλ.

2. Αὐτός, λοιπόν, ὁ Υἱός, ὁ Λόγος, ὁ Θεός, δὲν ἀνήκει εἰς τοὺς κατὰ χάριν υἱούς, ἐπειδὴ Αὐτὸς εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ δὲν εὑρίσκεται κανένας ἄλλος Υἱὸς ἐκτὸς Αὐτοῦ, τοῦ ἀληθινοῦ, καὶ ἐκεῖνος, ὁ ὁποῖος ὁμολογεῖ ὅτι Αὐτὸς εἶναι ὁ Υἱός. Διότι δι' Αὐτὸν τὸν Υἱὸν δὲν ὑπάρχει καμμία θέσις μεταξὺ ἐκείνων, οἱ ὁποῖοι ὀνομάζονται εἰς τὸν πληθυντικὸν «υἱοὶ» καὶ «πρωτότοκοι» καὶ «θεοί», ἀλλὰ ἡ θέσις του κατ' οὐσίαν εἶναι εἰς τὸν Πατέρα εἰς τὸν ἀριθμὸν τῆς Τριάδος. Ὡς ἀρχὴ τοῦ ἀριθμοῦ συμπεριλαμβάνεται ὁ Πατήρ, διότι Αὐτὸς εἶναι ἕνας· ὡς ἀρχὴ τοῦ ἀριθμοῦ συμπεριλαμβάνεται ὁ Υἱός, καὶ Αὐτὸς ἐπίσης εἶναι ἕνας· ὡς ἀρχὴ τοῦ ἀριθμοῦ συμπεριλαμβάνεται τὸ Ἅγιον Πνεῦμα, καὶ Αὐτὸ ἐπίσης εἶναι ἕνα· εἰς τὴν μονάδα ἡ Τριὰς καὶ εἰς τὴν Τριάδα ἡ μονάς. Ὁ Πατὴρ εἰς τὴν πατρότητά του εἶναι ὁ πρῶτος καὶ δὲν ὑπάρχει οὐδεὶς ἄλλος Πατήρ, καὶ ὁ Υἱὸς εἰς τὴν υἱότητά του εἶναι ὁ πρῶτος καὶ δὲν ὑπάρχει οὐδεὶς ἄλλος Υἱός, καὶ τὸ Πνεῦμα εἶναι τὸ πρῶτον καὶ δὲν ὑπάρχει οὐδὲν ἄλλον Πνεῦμα. Μία ἀρχικότητα, τρεῖς ὑποστάσεις καὶ μία ἑνότητα καὶ ὅ,τι ἁρμόζει (ἀνήκει) εἰς τὸν Πατέρα, αὐτὸ ἁρμόζει καὶ εἰς τὸν Υἱὸν καὶ εἰς τὸ Πνεῦμα. Ἕνας Πατήρ, ἕνας Υἱός, ἕνα Πνεῦμα· τὸ πρωτεῖον ἀνήκει εἰς τὸν **312** Πατέρα ἐν τῇ πατρότητί του, τὸ πρωτεῖον ἀνήκει εἰς τὸν Υἱὸν «καθ' ᾧ γεννᾶται», τὸ πρωτεῖον ἀνήκει εἰς τὸ Πνεῦμα ἐν τῇ μοναδικότητί του. Μοναδικὸς εἶναι ὁ Πατὴρ καὶ δὲν ὑπάρχει οὐδεὶς ἄλλος Πατήρ, μοναδικὸς εἶναι ὁ Υἱὸς καὶ δὲν ὑπάρχει οὐδεὶς ἄλλος Υἱός, μοναδικὸ εἶναι τὸ Πνεῦμα καὶ δὲν ὑπάρχει οὐδὲν ἄλλο Πνεῦμα. Ὁ Πατὴρ εἶνα ὁ πρῶτος καὶ ὁ τελευταῖος καὶ εἶναι Ἕνας, καὶ ὁ Υἱὸς εἶναι ὁ πρῶτος καὶ ὁ τελευταῖος καὶ εἶναι Ἕνας, καὶ τὸ Πνεῦμα εἶναι τὸ πρῶτον καὶ τελευταῖον καὶ εἶναι Ἕνα.

3. Πολλοὶ «υἱοὶ» ὑπάρχουν, ἀλλὰ «Υἱὸς» δὲν ὑπάρχει ἐκτὸς ἑνός. Ὁ μοναδικὸς «Υἱὸς» ἀνεμίχθη μὲ τὸν ἄνθρωπον καὶ δὲν εἶναι δύο· τὴν τελείαν ἀνθρωπότητα ἀνέλαβεν ἐν ἑαυτῷ καὶ παρέμεινεν ἕνας, τὴν ἀνθρωπότητα εἰς τὴν ἔνδειάν της ἀπεδέχθη Αὐτὸς καὶ τὴν προεβίβασεν εἰς τὴν μονάδα του, διότι ὁ

ἕνας δὲν δέχεται μίαν προσθήκην, καὶ ὁ ἕνας δὲν δέχεται τίποτε, ὥστε νὰ γίνῃ Αὐτὸς δύο. «Ὁ Θεός», ἔτσι λέγεται, «ἐξαπέστειλεν τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός»[29]. Ἄξιον προσοχῆς ὅτι αὐτὴ ἡ λέξις τίθεται εἰς τὸν ἑνικόν· λέγει δηλ. «ἐξαπέστειλεν» καὶ «γενόμενον»· δὲν γίνεται ἡ μέτρησις μὲ δύο καὶ δὲν γίνεται προσθήκη εἰς τὸ ἕνα. Καὶ ἐρωτᾷς, ἂν εἶναι Αὐτὸς ἐκ τῆς φύσεώς του θνητὸς ἢ ἀθάνατος; (κενὸ) βλέπεις; Κηρύττεις, ὅτι ἕνας ἄνθρωπος ἔπαθεν ἀντὶ νὰ πάθῃς ἐσύ; Οἱ ἀγγελιαφόροι τῆς πίστεως τοῦ Πνεύματος δὲν προβαίνουν εἰς διηγήσεις τῆς θανατώσεώς του ἀναφερόμενοι εἰς τὰς φύσεις ἔτσι, ὥστε νὰ μὴν ἐκήρυτταν τὸν σταυρὸν ἑνὸς ἀνθρώπου —καὶ αὐτὸς θὰ ἦταν ἐπίσης μία μικρὴ χάρις—, ἀλλὰ διὰ τὸν Υἱὸν τοῦ Θεοῦ ἐκήρυτταν σταυρὸν καὶ θάνατον καὶ ἐστέκοντο μακρὰν ἀπὸ ρητά, τὰ ὁποῖα ἀφοροῦν εἰς τὰς φύσεις. Καὶ σὺ ἐπίσης ἀποσιώπησε, λοιπόν, τὸ ἐρώτημα τοῦ θνητοῦ καὶ ἀθανάτου καὶ φώναξε (πολὺ περισσότερον) ὅτι ὁ Θεὸς ἔδωσε τὸν μοναδικὸν Υἱὸν εἰς τὸν σταυρὸν διὰ τὸν κόσμον. Τί λέγεις, λοιπόν, τώρα εἰς αὐτὸ τὸ ὁποῖον ἔχει λεχθεῖ; Ἐὰν εἰς τοὺς ὀφθαλμούς σου εἶναι αὐτὸ μία λεπτομέρεια, ὅτι ἕνας ἄνθρωπος ἔπαθε διὰ σὲ καὶ φοβεῖσαι νὰ εἴπῃς ὅτι δηλ. ὁ πάσχων ἦτο ἄνθρωπος, καὶ εἰς τὸν ἰσχυρισμόν, ὅτι ὁ Θεὸς ἀπέθανε διὰ σέ, τὸ μέγεθος τοῦ **313** ἀπαθοῦς ἕνεκα τοῦ πάθους του σοῦ ἐνσταλάζει φόβον, καὶ σὺ ἀποφεύγεις νὰ εἴπῃς ὅτι ὁ πάσχων ἦτο Θεός: ἔτσι συμφώνησες τότε, ὅτι ἕνας ἀπέθανε διὰ σέ, ὁ ὁποῖος δὲν ἦτο Θεός, ἐπειδὴ Αὐτὸς εἶναι πολὺ μεγάλος, καὶ ὄχι ἄνθρωπος, ἐπειδὴ αὐτὸς εἶναι τόσο μικρὸς διὰ τὴν ἰδικήν σου λύτρωσιν. Καὶ μέσῳ τῆς θανατώσεως τίνος ἐλυτρώθης σὺ τότε, καὶ μέσῳ τοῦ αἵματος τίνος ἐπραγματοποιήθη εἰς σὲ ἐν μέρει ἡ συμφιλίωσις καὶ ἔχεις στραφεῖ εἰς τὴν περιοχὴν τοῦ οὐρανοῦ; Ἔχεις ἕνα μεσαῖο ὄν, τὸ ὁποῖον, οὔτε Θεὸς οὔτε ἄνθρωπος, ἀπέθανε διὰ σέ.

4. Ὁ Χριστὸς Θεός, ὁ ὁποῖος «ἐφανερώθη ἐν σαρκί»[30], ὅπως ἔχει γραφεῖ, καὶ δὲν ἐμπεριέχεται εἰς αὐτό, αὐτὸ τὸ ὁποῖον ἀναζητεῖς; Ὁ Σίμων, λοιπόν, εἶπεν εἰς τὸν Χριστόν: «σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»[31] καὶ εἰς αὐτὸν

29. Γαλ. 4,4. 30. Α΄ Τιμ. 3,16. 31. Ματθ. 16,16.

ἐδόθη ἕνας μακαρισμὸς ὡς μισθὸς διὰ τὴν ὁμολογίαν του καὶ τοῦ ἐχρύσωσε τὰ χείλη σύμφωνα μὲ τὰς παραβολὰς τῶν Γραφῶν: Εἶσαι μακάριος, Σίμων υἱὲ τοῦ Ἰωνᾶ, ἐσὺ ὁ ὁποῖος εἶσαι ὁ πρῶτος κῆρυξ τοῦ Υἱοῦ τοῦ ζῶντος Θεοῦ. Διότι ἄνθρωπος δὲν σοῦ ἀπεκάλυψε αὐτό, ἀλλὰ ὁ Πατέρας μου ὁ οὐράνιος ὡμίλησε μέσῳ σοῦ διὰ τὸν Υἱόν του καὶ ἐκήρυξε μέσῳ σοῦ εἰς τοὺς ἀγαπημένους του, καὶ εἰς αὐτὴν τὴν μαρτυρίαν σου θέλω νὰ οἰκοδομήσω τὴν Ἐκκλησίαν μου, ἡ ὁποία ὁμολογεῖ ὅτι ὁ Χριστὸς εἶναι ὁ Υἱὸς τοῦ ζῶντος Θεοῦ[32]. Δὲν ὑπάρχει, λοιπόν, μία μεσαία τάξις μεταξὺ τοῦ ἑνὸς Υἱοῦ καὶ τῶν πολλῶν υἱῶν, ἡ ὁποία ἀφ' ἑνὸς μὲν δὲν θὰ ἀντιστοιχοῦσε πρὸς τὸν Υἱὸν τῆς ἀληθείας, ἀφ' ἑτέρου δὲ δὲν θὰ ὑπολογιζόταν εἰς τοὺς κατὰ χάριν (υἱούς), διότι ἢ εἶναι Αὐτὸς ὁ ἐξέχων Ἕνας καὶ μοναδικός, ἢ εἶναι κατώτερος ἀπὸ ἐκείνους, καὶ διὰ τοὺς ἀναζητοῦντας δὲν ὑπάρχει καμμία ἄλλη βάσις ἐπὶ τῆς ὁποίας θὰ μποροῦσαν νὰ φιλονεικοῦν.

5. Ἀλλά, θὰ ἔλεγε κάποιος, βλέπε, μόνος του ὠνομάσθη «Υἱὸς τοῦ ἀνθρώπου»[33]. Διὰ τί κρημνίζεις τὴν γέφυραν τοῦ βασιλείου ὅπως ἕνας ἐχθρός, ἀφοῦ μάλιστα εἶσαι καὶ σὺ σύνοικος, καὶ καταστρέφεις τὸν μισθὸν (στιγμιαίως) τῆς διδασκαλίας τῆς ἀληθείας, ἀφοῦ μάλιστα καὶ σὺ εἶσαι υἱὸς τῆς εἰρήνης[34]; Διὰ τί φονεύεις ὅπως ἕνας δραπέτης καὶ δεσμεύεις (;) τὰ λόγια μὲ τὰ ὁποῖα γίνεται ὁ εὐαγγελισμὸς τῆς χαρᾶς ὡς νὰ ἦσαν αὐτὰ ἀλληλοσυνδεόμενα ζῶα ἱππασίας; **314** Σύνδεσε μ' αὐτό, ὅτι ὁ ἴδιος ὠνόμασε τὸ ἑαυτόν του Υἱὸν τοῦ ἀνθρώπου, ὅτι αὐτὸ εἶναι δι' Αὐτὸν τόσο ἐλάχιστο. Διότι ὁ ἴδιος εἶχεν εἴπει μὲ προσθήκας καὶ δὲν εἶπε μόνον αὐτό. Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ ὅλοι οἱ ἄγγελοι μαζί του[35] καὶ «ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται ἐν τῇ δόξῃ τοῦ Πατρός»[36]. Τίνος Πατρός; τοῦ Ἀδάμ; Καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἦλθε διὰ νὰ σώσῃ αὐτὸ ποὺ ἦτο χαμένον[37]. Καὶ βλέπε, ἂν νομίζῃς ὅτι μπορεῖς νὰ τὸν κρατᾷς μεταξὺ (κάτω) τῶν ἀνθρώπων. Ἐκεῖνος κινεῖται καὶ σοῦ διαφεύγει καὶ

32. Πρβλ. Ματθ. 16,17-18. 33. Ματθ. 9,6. 12,8. Μάρκ. 8,31. 34. Πρβλ. Λουκ. 10,6. 35. Πρβλ. Ματθ. 25,31. 36. Ματθ. 16,27. 37. Πρβλ. Ματθ. 18,12.

εἶναι ἐξ οὐρανοῦ, Αὐτός, ὁ ὁποῖος σὲ διαφυλάττει μέσῳ τῆς πίστεως. Υἱὸς τοῦ ἀνθρώπου εἶναι ἐπίσης Ἐκεῖνος, ὁ ὁποῖος εἶναι εἰς τὸν οὐρανόν, καὶ δὲν σοῦ ἐπιτρέπει νὰ ἁμαρτάνῃ τὸ χέρι σου ἐναντίον του. Καὶ θὰ δεῖτε, λέγει αὐτός, ἐπίσης τὸν Υἱὸν τοῦ ἀνθρώπου πῶς αὐτὸς ἀναβαίνει ὅπου ἦτο πρίν[38]· κανεὶς δὲν ἀνέβη εἰς τὸν οὐρανόν, παρὰ μόνον Αὐτὸς ὁ ὁποῖος κατέβη ἀπὸ τὸν οὐρανόν, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὁποῖος ἦτο εἰς τὸν οὐρανόν[39]· καὶ Κύριος «εἶναι ὁ Υἱὸς τοῦ ἀνθρώπου τοῦ Σαββάτου»[40] καὶ τί λέγουν οἱ ἄνθρωποι δι' ἐμέ, ποῖος νὰ εἶναι αὐτὸς ὁ Υἱὸς τοῦ ἀνθρώπου; Τί νομίζετε σεῖς δι' ἐμὲ καὶ ὡς τί σᾶς φαίνομαι; Καὶ τί νομίζετε σεῖς δι' ἐμὲ ὅτι εἶμαι; Ἐκεῖνοι ἀπήντησαν καὶ εἶπαν εἰς Αὐτόν: Μερικοὶ λέγουν, ὅτι εἶσαι ὁ Ἠλίας καὶ ἄλλοι, ὅτι εἶσαι ὁ Ἱερεμίας ἢ ἕνας ἐκ τῶν Προφητῶν[41]. Ἐκεῖνος ἀπήντησε καὶ εἶπε πρὸς αὐτούς: Καὶ σεῖς, τί λέγετε διὰ τὸ ποῖος εἶμαι;[42]

6. Εἶναι δηλ. καὶ κάτι ἄλλο· καὶ αὐτὴ ἡ λέξις διὰ τὸν Υἱὸν τοῦ ἀνθρώπου δὲν ἀρκεῖ· ἡμεῖς οἱ ἁμαρτωλοὶ εἴμεθα κάτι τὸ πολὺ διαφορετικὸν ἀπὸ σέ, διὰ νὰ ἐκφράσωμεν ποῖος εἶσαι. Ἡ ἐρώτησις ἐρεύνησε κατόπιν, ποῖος μπορεῖ νὰ εἶσαι καὶ τώρα δὲν ἀπήντησες, ὅτι σὺ εἶσαι ὁ Υἱὸς τοῦ ἀνθρώπου. Καὶ τί ὑπάρχει ὑπεροχώτερον, τὸ ὁποῖον μπορεῖ νὰ προσέξῃ κάποιος, ὑπεράνω καὶ πέραν ἀπὸ ἕναν Υἱὸ τοῦ ἀνθρώπου; Διότι σὺ γνωρίζεις ὁ ἴδιος διὰ σέ, ὅτι εἶσαι κάτι διαφορετικό, ἐξοχώτερος ἀπὸ ἕναν ὡς ὁ Ἠλίας καὶ ὁ Ἱερεμίας, (ἐξοχώτερος) ἀπὸ **315** ἕνα ἐκ τῶν προφητῶν. Καὶ τί εἴδους μέτρο ἔχουν οἱ ἄνθρωποι, τὸ ὁποῖον θὰ ἦτο μεγαλύτερον ἀπὸ τοὺς προφήτας, οἱ ὁποῖοι ὡμίλουν μὲ τὸν Θεὸν καὶ μέσῳ τῶν ὁποίων ἔκαμε γνωστὸν τὸ θέλημά του καὶ δὲν ἔκαμε τίποτε χωρὶς ἐκείνους, ἀλλὰ εἰς αὐτοὺς ἀπεκάλυπτε τὸ μυστικόν του καὶ τοὺς ὁποίους ἄφηνε νὰ εἰσέρχωνται εἰς τὰ ἀπόκρυφα μυστήριά του καὶ ἄφηνε νὰ κάθωνται εἰς τὸ συμβούλιόν του, τοὺς ὁποίους ἀπέστειλε Ἐκεῖνος ἀπὸ προσώπου του. Καὶ αὐτὸ τὸ μέτρο εἶναι πολὺ μικρὸ καὶ πολὺ ἐλάχιστο καθ' ἑαυτό, καὶ σὺ ἀπαιτεῖς ὥστε νὰ γίνῃ πιστευτὸ ἀπὸ σέ, τί

38. Πρβλ. Ἰω. 6,62. 39. Πρβλ. Ἰω. 3,13. 40. Ματθ. 12,8.
41. Πρβλ. Ματθ. 16,13-14. 42. Πρβλ. Ματθ. 16,15.

εἶναι περισσότερο ἀπὸ αὐτό. Ἂν σὺ (μόνο) εἶσαι Υἱὸς τοῦ ἀνθρώπου, εἶναι ἀρκετὸ διὰ σέ, ὅτι (σὺ) ὅπως οἱ προφῆται (θὰ θεωρηθῇς, ...). Μέχρις ἐδῶ φθάνει τὸ μέτρο τῶν ἀνθρώπων, καὶ ἂν σὺ ἀπιθυμῇς κάτι ἄλλο, εἶσαι κάτι διαφορετικό, καὶ αὐτὸ τὸ ὁποῖο θὰ ἰδωθῇ, χαρακτηρίζεται κατὰ διαφορετικὸ τρόπο: καὶ αὐτὸς ἀπαιτεῖ κάτι ἄλλο πλέον αὐτοῦ, τὸ ὁποῖον βλέπομεν, καὶ πλέον αὐτοῦ, τὸ ὁποῖον ἐπίσης λέγουν τὰ δημιουργήματα, καὶ εἰς σὲ ἁρμόζει ἕνας ἄλλος χαρακτηρισμὸς καὶ δὲν εἶναι ἀρκετὸ διὰ σέ, νὰ ὀνομασθῇς ὅπως ὁ καθένας.

7. Τὸ ἐρώτημα διὰ τὴν σημασίαν, ποὺ ὤφειλαν νὰ δώσουν εἰς τὸ «τίς εἶ» ἐτρόμαξε τοὺς μαθητάς. Καὶ ὅπως τὸ ὄνειρο διὰ τὸν Ἰωσὴφ[43] καὶ ὅπως ἡ Γραφὴ διὰ τὸν Δανιήλ[44], ἔτσι ἦλθε καὶ ἡ μυστηριώδης ἐρώτησις διὰ τὸν Σίμωνα καὶ τοὺς συντρόφους του. Καὶ ἐκεῖνοι ἐζήτησαν μετὰ παρακλήσεως τὸ νόημα ἀπὸ τὸν Κύριόν τους· καὶ ὅπως διὰ τὸν Δανιὴλ καὶ τὸν Ἰωσήφ, κατὰ τὸν ἴδιον τρόπον ἦλθεν ἡ ἀποκάλυψις τοῦ Πατρὸς ἐπὶ τοῦ Πέτρου, ὁ ὁποῖος ἔδωσε τὴν ἐξήγησιν καὶ ἡρμηνεύθη ἡ ἐρώτησις καὶ ἀπήντησεν εἰς αὐτὸ τὸ ὁποῖον ἠρωτήθη καὶ ἔπραξεν αὐτὸ τὸ ὁποῖον ὤφειλε. Καὶ ἀπήντησε Σίμων ὁ Κηφᾶς καὶ εἶπε: Σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ ζῶντος Θεοῦ[45]. Αὐτὸς ἔδωσε τὴν λύσιν καὶ ἔφερε (ἐκέρδισε) τὸν μακαρισμὸν ἀπὸ αὐτὸ καὶ Αὐτὸς ἔμαθεν ἀπὸ τὸν Πατέρα καὶ ἐδίδαξε τὴν Ἐκκλησίαν, ὅτι Ἐκεῖνος ὁ Υἱὸς τοῦ ἀνθρώπου εἶναι Υἱὸς τοῦ ζῶντος Θεοῦ· ὄχι ἕνας προφήτης, ἀλλὰ ὁ Κύριος τῶν προφητῶν καὶ ὁ Κύριος τῶν ἀνθρώπων.

8. Καὶ οἱ μεμυημένοι εἶναι ἑπομένως ὑποχρεωμένοι νὰ ἐπιμένουν σταθερῶς, ὅτι Ἐκεῖνος ὁ Υἱὸς τοῦ ἀνθρώπου εἶναι ὁ Υἱὸς τοῦ **316** ζῶντος Θεοῦ καὶ νὰ μὴ λέγουν, ὅτι Αὐτὸς εἶναι ἕνας προφήτης ὅπως οἱ ἄλλοι προφῆται, καὶ τὸ μέτρον του νὰ μὴ τὸ ἐξισώσουν μὲ ἐκεῖνο ἑνὸς ἐκ τῶν δικαίων, οὔτε νὰ τὸν μετροῦν μὲ τὸν ἀριθμὸν τῶν γηίνων, ἀλλά, ὅπως λέγει ὁ Ἰωάννης, «ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν»[46]. Ἄνωθεν δηλ. δέχονται οἱ Εὐαγγελισταὶ τὸν ἐρχομὸν Αὐτοῦ τοῦ Υἱοῦ τοῦ ἀν-

43. Πρβλ. Γεν. 41,14-36. 44. Πρβλ. Δαν. 1,17-21. 45. Πρβλ. Ματθ. 16,16. 46. Ἰω. 3,31.

θρώπου, ἐπειδὴ δὲν ἦτο ἄνθρωπος καὶ πάλιν ἐπορεύθη πρὸς τὸν Πατέρα[47], ἀλλὰ παρὰ (πάνω σὲ σβήσιμο) ἔγινε σὰρξ ἀπὸ τὸ σῶμα τῆς μητέρας καὶ δὲν θεωρεῖται ἄνθρωπος, ἀλλὰ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός. Διότι οὐδέποτε εὑρέθη ἕνας καὶ μοναδικός, ὁ ὁποῖος θὰ ἠδύνατο νὰ ὀνομασθῇ ἄνθρωπος, ἀλλὰ μέσῳ τῆς λογικῆς παρατηρεῖ κάποιος, ὅτι ἐκ γυναικὸς ἐσαρκώθη καὶ εἰς τὴν Ἐκκλησίαν Του κηρύσσεται ὡς Θεὸς καὶ ἀριθμεῖται ὡς ὁ Υἱὸς τῆς Τριάδος.

9. Καὶ ἔδειξεν ἐκ νέου τὴν ἐξουσίαν τῆς δυνάμεώς του, ὅταν εἶπε «ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν»[48], καὶ αὐτὸ δὲν ἔχει λεχθεῖ, ὅπως (θὰ ἐλέγετο) ἀπὸ ἕνα ἄνθρωπον. Ἕνας ἄνθρωπος δηλ. δύναται νὰ θυσιάσῃ τὴν ζωήν του διὰ τὴν ἀλήθειαν ἢ διὰ ὁποιοδήποτε ἄλλο πρᾶγμα, ἀλλὰ ὅτι δύναται νὰ ἀναλίσκεται καὶ νὰ ἀναλαμβάνῃ αὐτὸ τὸ ὁποῖον ἐθυσίασεν δὲν ἔχει τὴν ἐξουσίαν, διότι αὐτὸς ἔχει ἀπωλέσει τὴν δύναμίν του καὶ δὲν εἶναι (πλέον) εἰς τὴν ζωήν. Ὅποιος ὅμως λέγει «ἐγὼ τίθημι τὴν ψυχήν μου ἵνα πάλιν λάβω αὐτήν»[49], αὐτὸς εἶναι Υἱὸς τοῦ Θεοῦ, ὁ ὁποῖος δὲν ἔχει ἀποβάλει τὴν δύναμίν του, ἀλλὰ ἔδωσε τὴν ψυχή του εἰς θάνατον καὶ ἔμεινεν εἰς τὴν ζωὴν καὶ πάλιν ἀνέλαβε τὴν ψυχήν του ἀπὸ τὸν ᾍδην. Καὶ ὅλο αὐτὸ ἀναγγέλλει τὴν ἐγγύτητά του καὶ τὴν ἀναμιξίν του μὲ τὴν ἰδικὴ μας ἀνθρωπότητα, διότι ἐχαρακτήρισε τὸ σῶμά του ὡς τὴν ψυχήν του, Αὐτὸς ὁ ὁποῖος ἔλαβε ἐπάνω του τὰ πάθη τῆς ἰδικῆς μας ἀνθρωπότητος. Καὶ Αὐτὸς εἶχεν εἴπει: «καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων» καὶ «οὐδεὶς ἦρεν αὐτὴν ἀπ' ἐμοῦ»[50], ἀλλὰ **317** τὴν ἐθυσίασεν οἰκειοθελῶς καὶ πάλιν τὴν ἔλαβε ἐκ τοῦ θανάτου. Αὐτὸς ὁ ὁποῖος εὑρίσκετο ἐν τῷ θανάτῳ καὶ ἐν τῇ ζωῇ θαυμαστῶς.

10. Καὶ αὐτὸ ἐπίσης σὲ κάνει νὰ μὴ πλανᾶσαι, πῶς Αὐτὸς ἐθυσίασε τὴν ζωήν του καὶ πῶς τὴν ἔλαβε καὶ πάλιν ἐξ Ἅδου, σύμφωνα μὲ τὸν λόγον του: «λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[51]. Ἀλλὰ βλέπε, ὠνόμασε «ναὸν» αὐτὸ τὸ ὁποῖον ὑπέφερε καὶ ἀπέθανε καὶ δὲν ἔχω ἀκούσει, ὅτι

47. Πρβλ. Ἰω. 16,28. 48. Ἰω. 10,17. 49. Ἔνθ' ἀν. 50. Πρβλ. Ἰω. 10.15.18. 51. Ἰω. 2,19.

Αὐτὸς τὸ ἔχει ὀνομάσει «ψυχήν μου». Μὲ πόση ἐσωτερικότητα καὶ ἀνάμιξιν τὴν ἔβαλε εἰς τὸν ἑαυτόν του (;). Διότι ὁ «ναὸς» εἶναι χωρὶς ἐκεῖνον, ὁ ὁποῖος κατοικεῖ ἐντὸς τῆς ψυχῆς, ὅμως τὴν ἔχει θέσει ἐντός. Ἐκεῖνον δηλ. ὁ ὁποῖος λέγει: «λύσατε, τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[52]. Ὀνομάζει Αὐτὸς «ψυχήν του» καὶ λέγει «ἐγὼ τίθημι, ἵνα πάλιν λάβω αὐτήν»[53]· καὶ ἐπίσης ἡ ἀληθινὴ ἔννοια αὐτοῦ τὸ ὁποῖον ὀνομάζει Αὐτὸς ναόν, γνωρίζεται μέσῳ τῆς σημασίας τὴν ὁποίαν δίδει ὅταν ὁμιλῇ διὰ τὸ σῶμά του: Τὸ γεγονὸς ὅτι ὁ ναὸς εἶναι παραβολή, καὶ ὅτι μ' αὐτὸ (ἐννοεῖται) τὸ σῶμά Του, δίδει τὴν ἀληθινὴν ἑρμηνείαν (;). Ἑπομένως συμπεραίνεται, ὅτι (τὸ σῶμά Του) εἶναι ὁ «ναός»· καὶ ὀνομάζει αὐτὰ πάλιν «ψυχήν Του» καὶ τὰ δύο αὐτὰ συνδέονται καὶ εὑρίσκονται εἰς ἐξάρτησιν· καὶ πιστοποιεῖ ὅτι Αὐτὸς ἔχει ψυχὴν καὶ σῶμα καὶ γίνεται «ἕνωσις» σύμφωνα μὲ τὴν ἑλληνικὴν γλῶσσαν. Ἀπὸ δύο, τὰ ὁποῖα συνιστοῦν μίαν ὑπόστασιν, ἔδωσε Αὐτὸς μαρτυρίαν, ἐκ τοῦ ὅτι τὰ ὠνόμασε «ψυχήν μου» καὶ «σῶμά μου».

11. Λέγει δηλ.: «ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μού ἐστι, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς»[54] καὶ «ὁ τρώγων με κακεῖνος ζήσει δι' ἐμέ»[55]. Καὶ Αὐτοῦ τοῦ ὁποίου τρώγεται ἡ σάρξ, Αὐτὸς ἔχει προσφέρει τὸν ἑαυτόν του εἰς βρῶσιν, καὶ ἐκεῖνος ὁ ὁποῖος τρώγει τὴν σάρκα του, αὐτὸς τρώγει Ἐκεῖνον, ἐνόσῳ αὐτὸς εἶναι ἄνθρωπος. Ἂν μποροῦν νὰ ποῦν (;): Τί εἶναι αὐτό, τὸ ὁποῖον λέγει «ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ»[56], καὶ Αὐτὸς καὶ ἡ σάρξ του εἶναι ἕνα **318** καὶ εἶναι ὁ ἄρτος τοῦ Θεοῦ ὁ «ἐκ τοῦ οὐρανοῦ καταβάς»[57],καὶ εἶναι ἕνας καὶ προσφέρεται εἰς τὸν κόσμον, καὶ «ἐγὼ εἰμὶ ὁ ἄρτος ὁ ζῶν»[58] καὶ Αὐτὸς ὁμολογεῖ, ὅτι τὸ σῶμά του ζωοποιεῖ τὸν κόσμον[59]. Ἂν ὅμως κάποιος (ἐν τούτοις) φιλονεικῇ καὶ λέγῃ: ὁ Θεὸς ἔγινε ἄνθρωπος καὶ δὲν ἔλαβε τίποτε ἀπὸ τὴν Παρθένον, αὐτὸς ἀποδίδει τὸ πάθος φυσικῶς εἰς τὸν Θεὸν καὶ βλασφημεῖ, καὶ ἐκεῖνος ὁ ὁποῖος λέγει, ὅτι ὁ Θεὸς ἔπαθε ἐν σαρκί...

Ἀπὸ τὸν ἴδιο (τὸν Ἰούλιο):

52. Ἔνθ' ἀν. 53. Ἰω. 10,17. 54. Ἰω. 6,51. 55. Ἰω. 6,57. 56. Ἔνθ' ἀν. 57. Ἰω. 6,51,58. 58. Ἰω. 6,51. 59. Πρβλ. ἔνθ' ἀν.

185. Ὅποιος λέγει ἐδῶ: ὁ Χριστὸς ἦτο ἕνας ἄνθρωπος, εἰς τὸν ὁποῖον κατῴκει ὁ Θεός, αὐτὸς εἶναι ἄθεος, ἐπειδὴ ἐξισώνει τὸν Κύριον μὲ ἕνα ἀπὸ τὰ δημιουργήματα καὶ μεταβάλλει τὴν ἀλήθειαν τῆς θεότητός του εἰς κτιστὴν θεότητα.

Σύνοδος Ἐφέσου, 4ος αἰ. 431 act. I. III 511α Labbé IV 1188c Mansi= Κύριλλος, Ἀπολογία Ἀναθεσμ. 6. III 851a Labbé V 44a Mansi. Φήλικος τοῦ ἁγιωτάτου ἐπισκόπου Ρώμης καὶ μάρτυρος ἐκ τῆς πρὸς Μάξιμον τὸν ἐπίσκοπον καὶ τὸν κλῆρον Ἀλεξανδρείας ἐπιστολῆς.

186. Περὶ δὲ τῆς σαρκώσεως τοῦ Λόγου καὶ τῆς πίστεως πιστεύομεν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐκ τῆς Παρθένου Μαρίας γεννηθέντα, ὅτι Αὐτός ἐστιν ὁ τοῦ Θεοῦ ἀίδιος Υἱὸς καὶ Λόγος καὶ οὐκ ἄνθρωπος ὑπὸ Θεοῦ ἀναληφθείς, ἵν' ἕτερος ᾖ παρ' Ἐκεῖνον· οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ Θεοῦ Υἱός, ἵνα ᾖ ἕτερος παρ' Αὐτόν, ἀλλὰ Θεὸς ὢν τέλειος γέγονεν ἅμα καὶ τέλειος ἄνθρωπος σαρκωθεὶς ἐκ Παρθένου.

Brit. Mus. Add. 14663f. 6u Διδασκαλία τῆς πίστεως ἀπὸ τὸν ἅγιον Φήλικα, ἀρχιεπίσκοπον Ρώμης: Περὶ τῆς σαρκώσεως τοῦ Λόγου καὶ τῆς πίστεως: πιστεύομεν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὁ ὁποῖος ἐγεννήθη ἐκ τῆς Παρθένου Μαρίας, ὅτι Αὐτὸς εἶναι ὁ ἀίδιος Υἱὸς τοῦ Θεοῦ καὶ Λόγος καὶ ὄχι ἕνας ἄνθρωπος, ὁ ὁποῖος προσελήφθη ἀπὸ τὸν Θεόν, καὶ ὅτι αὐτὸς ἦτο δῆθεν ἕνας ἄλλος κοντὰ εἰς Ἐκεῖνον. Διότι ὁ Υἱὸς τοῦ Θεοῦ δὲν προσέλαβε ἕναν ἄνθρωπον, ὁ ὁποῖος ἦτο δῆθεν ἕνας ἄλλος κοντὰ εἰς Ἐκεῖνον, ἀλλὰ ἐνῷ εἶναι Αὐτὸς Θεός, ἔγινε ταυτόχρονα τέλειος ἄνθρωπος, ἀφοῦ ἐσαρκώθη ἐκ τῆς Παρθένου. Πιστεύομεν εἰς τὸν Ἰησοῦν Χριστόν, ἐφ' ὅσον τὸν ὁμολογοῦμεν ὡς Θεὸν ἔχοντα θείαν φύσιν, ὄχι ἐν κοινωνίᾳ μὲ τὴν θεότητα. Διότι εἶναι Αὐτός, ὁ ὁποῖος κατὰ τρόπον θεϊκὸν κοινοποιεῖ τὸν ἑαυτόν του καὶ ἐνεφύσησε[60] εἰς τοὺς μαθητάς του τὸ Ἅγιον Πνεῦμα. Εἶναι Αὐτός, ὁ ὁποῖος ἀπέθανε κατὰ σάρκα χάριν τῆς ἰδικῆς μας σωτηρίας. Αὐτὸς ὁ ὁποῖος ἔσωσεν ἀπὸ τὴν ἁμαρτίαν αὐτούς, οἱ ὁποῖοι πιστεύουν εἰς Αὐτόν. Δὲν εἶναι

60. Πρβλ. Ἰω. 20,22.

ἕνας ἄνθρωπος ὅπως ἡμεῖς, ὁ ὁποῖος προσελήφθη ἀπὸ τὸν Θεόν, ἀλλὰ εἶναι Θεός, ὁ ὁποῖος ἀνυψώνει τοὺς ἀνθρώπους, καθὼς εἶναι γραμμένο· ὁ Κύριος ἀνυψοῖ τοὺς ταπεινούς[61]. Εἶναι δηλ. Κύριος, Ἐκεῖνος, ὁ ὁποῖος ἐγεννήθη ἀπὸ τὴν Μαρίαν, «ἐξ οὗ τὰ πάντα»[62], ὅπως λέγει ὁ Παῦλος· εἶναι ὁ Λόγος τοῦ Θεοῦ. Ἀναθεματίζομεν ὅμως ἐκείνους, οἱ ὁποῖοι ἀποδίδουν τὸ πάθος εἰς τὴν θεότητα καὶ ἐκείνους οἱ ὁποῖοι ὀνομάζουν τὸν Χριστὸν ἕνα ἐσταυρωμένον ἄνθρωπον καὶ δὲν (ὁμολογοῦν ὅτι) (ἐσταυρώθη) εἰς ὅλην του τὴν θείαν ὑπόστασιν. (τέλος.)

Ἀπὸ τὸν ἅγιον Φήλικα, ἐπίσκοπον Ρώμης:

319. 187. Ἐν σχέσει πρὸς τὴν σάρκωσιν τοῦ Θεοῦ Λόγου καὶ τὴν πίστιν ὁμολογοῦμεν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὁποῖος ἐγεννήθη ἐκ τῆς Παρθένου, εἶναι προαιώνιος Υἱὸς τοῦ Θεοῦ καὶ ὄχι ἕνας ἄνθρωπος, ὁ ὁποῖος προσελήφθη ἀπὸ τὸν Θεόν, ὡς νὰ ἦτο αὐτὸς ἕνας ἄλλος κοντὰ εἰς τὸν Θεὸν Λόγον. Διότι ὁ Υἱὸς τοῦ Θεοῦ δὲν προσέλαβεν ἕναν ἄνθρωπον, ὁ ὁποῖος ἦτο κοντά του ὡς ἕνας ἄλλος, ἀλλά, ἀφοῦ εἶναι ὁ ἴδιος ἕνας τέλειος Θεός, ἐσαρκώθη ἐκ τῆς Παρθένου Μαρίας, ὅπως μαρτυρεῖται ἀπὸ τὰς ἁγίας Γραφάς. Διότι λέγει ὁ προφήτης Ὡσηέ: «Οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆναι τὸν Εὐφραΐμ (Ἰακώβ), διὸ Θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος»[63]· καὶ ὁ προφήτης Ἱερεμίας λέγει: «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος **320** πρὸς αὐτόν. ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη»[64]. Ὁ Θεὸς Λόγος εἶναι Αὐτός, ὁ ὁποῖος ἐσαρκώθη ἐκ τῆς Παρθένου. Διὰ τοῦτο πιστεύομεν εἰς τὸν Πατέρα καὶ εἰς τὸν Υἱὸν καὶ εἰς τὸ Ἅγιον Πνεῦμα, τὴν ἀληθινὴν θεότητα, μίαν λατρείαν, εἰς τὴν δόξαν τοῦ Υἱοῦ παρὰ τῷ Πατρί, εἰς τὴν προσκύνησιν καὶ τὴν δόξαν τοῦ Πνεύματος. Αὐτὸς ὅμως ὁ ὁποῖος προσθέτει μίαν ἄλλην δόξαν ἐκτὸς τῆς ἁγίας φωνῆς τῶν Σεραφίμ, τὰ ὁποῖα ἐδῶ φωνάζουν καὶ λέγουν: «καὶ ἐκέκρα-

61. Πρβλ. Λουκ. 1,52. 62. Α' Κορ. 8,6. 63. Ὡσηὲ 11,9.
64. Βαρ. 3,36-38.

γεν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον· Ἅγιος ἅγιος ἅγιος Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ»[65], αὐτὸς ἂς εἶναι ἀνάθεμα. Καὶ Αὐτός, ὁ ὁποῖος ὡλοκλήρωσε ὅλην τὴν δόξαν καὶ θείαν Οἰκονομίαν, ἡ ὁποία ἔλαβε χώραν χάριν τῆς ζωῆς τοῦ ἀνθρώπου, Αὐτὸς ἀνέβη εἰς τὸν Σταυρόν, μολονότι ἦτο Κύριος τῆς δόξης, καὶ ἐθυσίασε τὴν ζωήν του χωρίς νὰ ὑπερνικηθῇ ὑπὸ τοῦ θανάτου, ὅπως ὅλοι οἱ ἄνθρωποι, καὶ ἐθανάτωσε τὸν θάνατον καὶ μᾶς ἐφώτισε μὲ τὴν ἄφθαρτον ζωὴν καὶ μᾶς ἐχάρισε τὴν δύναμιν, νὰ νικοῦμε τὴν ἁμαρτίαν καὶ νὰ καταπατοῦμε τὸν θάνατον: ὁ καθένας, λοιπόν, ὁ ὁποῖος δὲν ὁμολογεῖ τὸν ἐκ τῆς Παρθένου γεννηθέντα ὡς σαρκωθέντα Θεόν, ἔστω ἀνάθεμα. Ὁ καθένας ὁ ὁποῖος δὲν ὁμολογεῖ, ὅτι Αὐτὸς εἶναι ὁμοούσιος πρὸς τὸν Πατέρα καὶ Θεὸς ἐκ Θεοῦ, χωρὶς ἀρχὴν καὶ χωρὶς τέλος, ἀμετάβλητος εἰς τὴν σάρκωσίν του καὶ μὴ πάσχων εἰς τὰ πάθη του, αὐτὸς ἂς εἶναι καὶ πάλιν ἀνάθεμα. Ἐκεῖνος ὁ ὁποῖος ἰσχυρίζεται ἐδῶ ὅτι ἡ σὰρξ Αὐτοῦ εἶναι ἐξ οὐρανοῦ, ἔστω ἀνάθεμα. Ἢ ὅποιος ἐδῶ ἰσχυρίζεται ὅτι Αὐτὸς εἶναι κτίσμα τῆς φύσεως ἢ ἕνα κτίσμα ἐκ τοῦ μηδενός, ἔστω ἀνάθεμα. Αὐτὸς ὁ ὁποῖος τὸν ὀνομάζει Θεὸν καὶ τὸν τιμᾷ ὡς ἀδημιούργητον Θεόν, ἂς εἶναι εὐλογημένος, διότι αὐτὸς δὲν ἐνοχλεῖται ἐκ τοῦ σώματος καὶ τῶν παθῶν Αὐτοῦ, ἀλλὰ Αὐτόν, ὁ ὁποῖος ἐτιμήθη ἀσώματος τιμᾷ ἐπίσης ἐν τῷ σώματι καὶ ὡς τὸν ἕνα μοναδικὸν Υἱὸν τοῦ Θεοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Μαθαίνομε ὅμως ἐπίσης νὰ πιστεύωμεν εἰς τὴν δευτέραν ἔνδοξον καὶ φοβερὰν παρουσίαν καὶ εἰς τὴν διδασκαλίαν τοῦ ἁγίου Βαπτίσματος **321** εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ἀνάστασιν τοῦ οἴκου τῶν νεκρῶν, τὴν ὁποίαν παρέχει εἰς ὅλους ἡμᾶς ὁ Κύριός μας ἐν τῇ εὐσπλαγχνίᾳ του, διότι παριστάμεθα χωρὶς ὄνειδος καὶ αἰσχύνην πρὸ τοῦ φοβεροῦ βήματος τῆς Θεότητος, εἰς Αὐτὸν ἡ τιμὴ εἰς τοὺς αἰῶνας. Ἀμήν.-

188. Ἀκολουθεῖ λατινικὸ κείμενο.

Ps. Hippolyt (=Ps. Julius) in Vat. arab. 121 bei Pitra Anal. sacra II p. XXXIII n.9 et dixit in sua epistula ad Dionysium:

65. Ἡσ. 6,3.

188 confitemur creatum per unionem creatoris, quando se coniunxit in naturam unam existentem permanentem ab utraque patre...

ebenda n. 12: et dixit sanctus Bulides patriarcha Romae in epistola ad Seuirianum sanctum episcopum Galliae:

189 Et ipse est ille, qui aedificauit corpus suum in uentre uirginis, neque ullus fuit ei socius in creatione corporis eius, sed ipse solus illud creauit. confitemur insuper, quod in omnibus quae fecit humanitas, non est ab ipso separata diuinitas neque per paruum temporis momentum. et confitemur, quod quando uenit saluator noster de coelis et descendit in uentrem beatae uirginis, coniunxit diuinitatem humanitati per unitatem, et postquam diuinitas unita est cum humanitate, post illam unionem in nulla re in operationibus separatae ambae fuerunt. ambae enim inseparabiles sunt. et quemadmodum diuinitati non est principium, ita post eius resurrectionem a mortuis humanitati eius non est finis bibit lac de muliere, et diuinitas et humanitas erant quid unum unitum Ne cogites quod, dum iuit uerbum in Jordanem ut baptizaretur a Joanne, obtinuerit principium diuinitatis suae, quando egressa est uox patris de coelis, quam Joannes audiuit... Non ita, sed quando descendit in uentrem uirginis Mariae, corpus factum est quid unum cum diuinitate. diuinitas consociata est humanitati per humanitatem unicam sine mutatione neque diuisione. non adest separatio diuinitatis ab humanitate. dum ipse fuit in cruce, diuinitas non separata est ab humanitate sua neque momento ictus oculi. dum ille erat in sepulcro, diuinitas non est sepa**322**rata ab humanitate sua. ascendit ad coelos cum corpore, quod acceperat de Maria uirgine. et sedit ad dexteram boni patris sui. ita est rectitudo fidei et illos qui ita non credunt, ecclesia catholica expellit foras, immo deus qui eos creauit, anathematizat.

Ebenda n. 13 Anathemata quae protulit Bulidus archiepiscopus Romae ex iis, de quibus testatur Timotheus in suo libro: (ugl. s. 285,20).

190 Sit anathema, qui dicit, quod corpus saluatoris nostri non sit de Maria, sed de coelo et quod ipsum non sit simile aliis creaturis.

Ebenda n. 15 De anathematibus, quae protulit archiepiscopus Romae causa fidei, ex iis quae scripsit Cyrillus ad reges ad probandum quod Christus sit deus: (ugl. 273,6-13).

191 Nos credimus, uerbum mansisse sine ulla mutatione. ipse est uere filius dei per generationem aeternam a deo, et factus est etiam filius hominis per generationem a Maria uirgine et ipse est unus unicus, ipse est unus solus, ipse est deus perfectus, consubstantialis patri suo diuinitate, et ipse est homo passibillis, qui talis est ob generationem a uirgine et ipse est consubstantialis homini ob corpus.

ΠΙΝΑΞ
ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

		Σελ.
Γεν.	1,2	30
	1,26	46
	2,7	284
	3,19	320
	41,14-36	327
Ἔξ.	22,23	322
Λευϊτ.	26,12	45
Β' Βασ.	2,51	22
Ψαλ.	23,10	45
	32,6	30
	72,9	108
	88,49	320
	95,7-11	37
	103,24	26
	109,1	48.89
Ἰώβ	36,16	110
Παρμ.	1,5	79
Ἐκκλ.	7,20	44
Ὡσ.	11,9	331
	11,9-10	317
Ἀμ.	1,6	98
	6,15	70
Ἰων.	18,37	52
Ζαχ.	13,7	67.72
Μαλ.	3,6	47
Ἡσ.	6,3	299.332
	9,5	55
	49,5	49.301
Βαρ.	3,36-38	331
Δαν.	1,17-21	327
	3,86	82

		Σελ.
Ματθ.	1,21	96
	3,13	43
	3,16	43
	3,17	322
	3,63	43
	4,2	18
	4,11	57
	5,22	98.321
	8,26	321
	8,29	322
	8,32	321
	9,6	325
	9,20	19
	11,6	57
	11,19	75
	12,8	326
	16,13-14	326
	16,15	326
	16,16	324.327
	16,17	40
	16,17-18	325
	16,18	40
	16,27	325
	18,12	325
	22,44	48
	24,30	85
	24,31	85.98
	25,31	325
	25,31-46	28
	26,21	89
	26,27-29	54
	26,37-38	71
	26,39	73.74.93
	27,43	322
	28,19	31
	28,20	87
Μάρκ.	3,11	322
	8,31	325
	9,25	70
	14,23-25	54
Λουκ.	1,34	42.47
	1,35	47.49.57
	1,52	331
	2,11	55

		Σελ.
	2,14	43
	2,40	18
	4,41	322
	10,6	325
	22,19-21	54
	22,42	93.94
	24,7	46
Ἰω.	1,1	29.33
	1,3	95.300
	1,9	300
	1,12	96
	1,13	52
	1,14	17.45.49.54
		55.56.57.58
		61.84.89.93
		301.307.320
	1,15	66
	1,18	102.309
	1,29	96
	2,19	21.89.328.329
	3,13	44.49.59.63
		97.105.326
	3,15	54
	3,31	327
	4,24	30.32.82.83.288
	4,42	96
	5,17	70.72
	5,18	53
	5,19	20
	5,21	72.97
	5,26	92
	5,27	98
	5,29	33
	6,39	71
	6,51	44.329
	6,57	329
	6,58	329
	6,62	44.326
	6,63	101.307
	7,42	40
	8,58	66.96
	10,4	86
	10,15-18	328
	10,17	328.329
	10,18	73
	10,27	86
	10,30	85.86
	10,33	52
	10,33-36	317
	10,36	52
	11,24	71
	12,24	73
	12,41	299
	14,9	95
	14,10	27.285.289
	14,28	285
	15,26	26.35
	16,14	57
	16,28	328
	16,33	40
	17,5	50.69.90.96
	17,17	51
	17,19	51
	19,37	309
	20,22	300.320.330
Πραξ.	2,24	48
	2,34	89
	5,3	303
	17,28	89
	26,14	308
	26,23	60
	28,25	299
Ρωμ.	1,3	51
	1,9	82.83
	1,25	38
	4,17	97
	5,14	320
	5,17	54
	6,3	46.59.98.319
	6,4	319
	6,9	319
	7,23	63.82.97.99
	7,24	96
	8,7	83
	8,9	30
	8,11	321
	8,14-15	30
	3,16	30
	8,29	102.322
	8,32	47
	9,1	30
	9,5	322
	15,13	30
	15,15-19	31
	15,30	31
	16,17	306
Α′ Κορ.	1,2	51
	1,22-24	45
	1,24	18.37.48
	2,4-5	31
	2,8	70
	2,9-11	31
	2,14	31
	2,16	100
	3,16	29
	3,16-17	36.97
	4,5	48.98
	4,22	61
	6,11	36
	6,19	36

		Σελ.
	6,41	36
	7,10	321
	7,40	321
	8,6	29.58.66.96
		300.331
	10,1	36
	10,4	36
	12,3-13	36
	15,3	48
	15,22	97.98
	15,26	28.96
	15,27-28	319
	15,28	39
	15,45	49.61.65.321
	15,45-47	300
	15,47	64.65.88.96.105
	15,48	50
	15,55	47
Β′ Κορ.	1,21-22	35
	3,15-18	35
	3,17	288
	3,18	319
	4,4	285
	5,4-5	35
	5,17	319
	6,4	35
	6,6-7	36
	7,1	104
	11,4	37
	13,3	321
	13,13	35
Γαλ.	1,9	48
	2,21	46
	3,13	58
	4,4	45.47.49.54.56
		60.300.324
	6,15	54
	6,16	310
Ἐφ.	1,17	66
	1,21	320
	2,4-6	54
	4,10	57
	6,12	40
Φιλιπ.	2,5-6	51
	2,7	16.18.23.33
		44.50.59.76
		97.319
	2,9	52.53.97
	2,10	57.300.321
	3,2-3	310
	3,21	90.319
Κολ.	1,15	25.285
	1,15-18	322
	1,17	66
	3,5	97
Α′ Θέσ.	5,23	82
Α′ Τιμ.	1,7	307
	3,16	43.82.320.324
	6,13	97
	6,16	102
	6,20	309
Β′ Τιμ.	1,10	28.33.319
	2,16	44
	4,1	48
Τίτ.	2,14	43
	3,10-11	309
Ἑβρ.	1,1	67
	1,3	67
	1,6	57.98
	2,3-4	37
	2,11	27
	2,14	58.300
	3,7-11	37
	7,26	57
	11,38	53
Α′ Πέτρ.	1,3	58
	4,1	47.297
Β′ Πέτρ.	1,16	57
Α′ Ἰω.	1,1	94.102
Ἀποκ.	1,7	309

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Ἀττικῆς κ. Παντελεήμονος Μπεζενίτη)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος. β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Ἀαρὼν 197,13. 223,28. 232,2. 234,6. 245,5,11. 247,7. 265,1.
Ἀβεσσαλὼμ 116,2. 274,26.
Ἀβιμέλεχ 146,2. 168,29.
Ἀβιρὼν 234,8.
Ἀβούλητος 87,8.
Ἀβραὰμ σελ. 22. 42,22. 49,23. 66,10,17. 89,16. 103,27. 162,32. 230,33. 231,3. 232,33.
Ἄβυσσος σελ. 110. 228,26. 237,23.
Ἀγάπιος 101,24. 298,6.
Ἀγαρηνοὶ 206,14.
Ἀγγαῖος 269,19. 278,16. 279,9. 280,2,24.
Ἄγγελοι 35,4. 43,28. 46,29. 57,15. 80,9,13. σελ. 81. 85,32. 86,8. 92,29. 98,18,20. 155,16. 189,24. 222,9. 228,5. 320,29. 325,27,28.
Ἄγγελος 43,1.
Ἀγενὴς 13,4.
Ἀγέννητον 287,25. 289,1,2.
Ἀγέννητος σελ. 23. 110,10.
Ἁγία σελ. 27. 28,24.
Ἁγιότης 31,28. 32,16.
Ἀγκυρωτὸς σελ. 296.
Ἀγωνοθετῶ 81,13.
Ἀδὰμ σελ. 42. 46,7. 49,17. 61,12. 65,5,13. σελ. 284. 300,17. 311,22,25. σελ. 320. 321,29. 325,29.
Ἅδης 118,9. 121,15. 125,2. 126,13. 141,21,32. 143,12. 145,2. 164,31,34. 165,4. 169,30. 171,16. 199,35. 209,23. 210,31. 214,29. 219,26. 245,29. 270,29. 273,25. 320,5. 328,20,30. — πύλαι 40,20,22.
Ἀδιανόητος 86,16
Ἀδιανοήτως 72,22.
Ἀδίδακτος 72,15.
Ἀελδὼρ 206,21.
Ἀερμὼν 265,3.
Ἀὴρ 95,10.
Ἀθανασία 20,25. 21,17.
Ἀθανάσιος σελ. 109. 305,10. 312,7,29. 313,19,21. — ὁ ἁγιώτατος ἐπίσκοπος 310,5. — ὁ Μέγας σελ. 294. σελ. 296. 302,6,19. Ἐπίσκοπος — 103,9.
Ἀθάνατον 42,28.
Ἀθελὴς 89,20.
Ἀθεσμοσύνη 217,25.
Αἰγυπτία 231,30.
Αἰγύπτιοι 185,11. 200,6. 204,25. 314,12.
Αἰγύπτιος 112,10.
Αἴγυπτος 113,8. 198,12. 200,7. 203,20. 234,16. 267,22. 286,12. 302,19. 303,34.
Αἰθὰν 210,20.
Αἰθίοπες 112,12. 185,12. 190,21. 193,34. 210,9.
Αἷμα 40,16,18.
Αἰνοτόκος 133,5.
Αἵρεσις 304,6. — Ἀρειανικὴ 302,30.
Ἀκένωτος 50,22.
Ἀκίνδυνος 44,5.
Ἀκράτητος 48,2.
Ἄκτιστον 21,31. 39,6. 49,14.
Ἄκτιστος 19,18. σελ. 22. σελ. 23. 38,28. σελ. 50. 58,20. σελ. 60. 61,4. 105,9. σελ. 300. 318,12.
Ἀλεξάνδρεια 330,9.
Ἀλέξανδρος. — Ἀλεξανδρείας ἐπίσκοπος σελ. 109.
Ἀλεξίκακος 131,34. 132,27.
Ἀλήθεια. Ὑπέρ — 13,2.

Ἁλιτροσύνη 179,31.
Ἄλλαξις 28,8.
Ἀλλοίωσις 78,35.
Ἀλυκτοπέδη 81,30.
Ἁμαλὴχ 206,15.
Ἁμαρτία 18,6. 42,14. σελ. 46. 84,14. σελ. 96. 97,1. 105,5,6. 320,9,13. 330,33. 332,9. Λύσις — 77,23.
Ἀμμὼν 206,15.
Ἀμορραῖοι 266,10. 268,5.
Ἀναβλαστάνω 73,9.
Ἀναίσθητος 297,21.
Ἀνακαίνωσις 28,8.
Ἀνακόλουθον 79,24.
Ἀνάκρασις 18,26.
Ἀναλλοίωτος 47,26. 297,9.
Ἀναλύω 303,2.
Ἀναμάρτητος. — οὖν ὁ Κύριος 99,21.
Ἀναστάσιος. — Πρεσβύτερος 89,3. 94,1.
Ἀνάστασις 28,20. 33,6. σελ. 34. 73,12. 85,31. 86,24. 90,29. 320,22. 332,26. — ἐκ τῶν νεκρῶν 58,3. — νεκρῶν 28,22. Σαρκὸς — 34,8.
Ἀναφὴς 94,26,28.
Ἀνδρέας. Τῆς Σιδωνίων ἐπίσκοπος — 103,3-4.
Ἀνελάττωτος 50,23.
Ἄνεμος 321,17.
Ἀνενέργητος 98,10.
Ἀνήκοος 107,26.
Ἀνθρωπογέννητος 284,21.
Ἀνθρωπόθεον 83,34.
Ἀνθρωπόθεος 83,32,34.
Ἀνθρωπολογῶ 60,33.
Ἄνθρωπος σελ. 16. 17,22. 19,1. 25,22. σελ. 26. σελ. 31. 32,34. σελ. 33. σελ. 34. 35,8. 37,32. 38,12. σελ. 39. σελ. 42. σελ. 44. σελ. 45. σελ. 46. σελ. 48. σελ. 49. 50,1,10. 52,6,18. 53,25. σελ. 54. 56,12,27. σελ. 57. σελ. 58. 59,4. σελ. 62. σελ. 63. σελ. 64. σελ. 65. σελ. 66. σελ. 67. σελ. 68. σελ. 69. σελ. 71. 72,20. 73,16. σελ. 74. σελ. 75. σελ. 76. σελ. 77. 78,6. σελ. 80. σελ. 81. σελ. 83. σελ. 84. σελ. 85. σελ. 86. 87,5. σελ. 90. σελ. 91. σελ. 94. σελ. 95. σελ. 96. σελ. 97. σελ. 98. σελ. 99. 100,21,27. 101,3. σελ. 103. 104,31. σελ. 105. 109,28,35. 113,30. 120,3,4. 133,26. 137,14. 154,18. 204,2,6. 276,7. σελ. 294. σελ. 297. 298,25. 300,1. 305,26. 311,17. 312,3,5. σελ. 316. σελ. 318. σελ. 319. σελ. 320. 321,18,30. 323,33. σελ. 324. σελ. 325. σελ. 327. σελ. 328. 329,23,30. σελ. 330. σελ. 331. — γέννησις 76. — ἐξ οὐρανοῦ 105,31. — ζῷον αὐτενέργητον 99,26. — θάνατος 84,34. — θεοφόρος 307,14. — πρόσληψιν σελ. 75. — τελείου σελ. 68. Ἐκ τριῶν εἶναι τὸν — πνεύματος καὶ ψυχῆς καὶ σώματος 82,11-12. Ἐνυπόστατος — 42,12. Ἐπουράνιος — σελ. 83. Εὐτελὴς — 22,27. Ἡ τοῦ — πρὸς τὸ θεῖον διαίρεσίς τε καὶ ἕνωσις 86,28. Καθ' ὁμοίωσιν — 62,11. Νοῦς ἔνσαρκος — λέγεται 77,6. Ὁμοίωσις — 62,2. Ὁ παλαιός — 98,1. Ὁ σεσωματωμένος — 23,3. Ὁ ὑπέρ ἡμᾶς — 105,3. Ψυχικὸς — 31,21.
Ἀνθρωπότης. Ἀνανέωσις — 35,1.
Ἄνους 89,18.
Ἀντεισαγωγὴ 286,20.
Ἀντιλογία 33,15.
Ἀντιρρητικὰ 15,1.
Ἀντιτυπὴς 66,19.
Ἄορατος 94,26,28.
Ἀπαιδευσία 110,17. 307,15.
Ἀπαίδευτοι. — ζητήσεις 39,28.
Ἀπαλλαγὴ 109,16.
Ἀπερίγραφον 38,29.
Ἀπερίληπτος 46,19.
Ἀπιστία. Ἰουδαίων — 27,5.
Ἄπιστος 71,10,12.
Ἀπογέννημα 285,26.
Ἀπογέννησις 285,3. 288,1.
Ἀπολινάριος 15,6. σελ. 16. 17,28. 20,13. 23,19,23. 37,29. 64,34. 66,16. σελ. 67. 69,9. 73,1,14. σελ. 74. 77,3. 78,16. 80,2,9. σελ. 81. 82,26,34. σελ. 83. σελ. 85. 86,14. 87,34. 88,11,25. 89,4. 91,20. σελ. 92. 93,10. 94,3,16. 95,6. 101,10,27. 103,2. 104,26. 105,15. 106,22,27. 107,8. 108,2. σελ. 110. 284,2. 285,29,30. σελ. 293. σελ. 294. σελ. 295. σελ. 296. σελ. 298. σελ. 302. 305,8,9. 308,23. 309,5. 310,3. σελ. 311. σελ. 312. 313,16. 314,28. 315,4. — ἐκ τοῦ κατὰ κεφάλαιον Βιβλίου 18,1. — ὁ Σύρος 109,8. — ὁ τῆς Λαοδικείας 109,29.
Ἀπολιναρισταὶ 108,15. σελ. 296. σελ. 297. 316,1.
Ἀπομερισμὸς 285,2. 287,32.

Ἀποσιώπησις 104,7.
Ἀπόστολοι 39,32. 40,1. 41,27. 46,9. 48,9. 57,1,19. 90,2.
Ἀπόταξις 91,19,21.
Ἀποφυγὴ 109,13.
Ἀπροαίρετος 79,16.
Ἀπροσδεὲς 18,21,22.
Ἀπροσδεὴς 42,6.
Ἀπρόσκολλον 79,23.
Ἀπροσκύνητον 39,13.
Ἄραβες 190,24.
Ἀραβία 190,33.
Ἀραβικὴ 113,13.
Ἀράχνη 215,23.
Ἀρειομανῖται 304,14.
Ἄρειος 84,28. 303,5. 304,5.
Ἀρετὴ σελ. 79.
Ἄρουρα 113,5,16.
Ἄρτος 44,23. σελ. 329. — τοῦ Θεοῦ 329,26.
Ἀρχαιολογία. Ἑβραϊκὴ — 106,29.
Ἀρχηγέτης 284,15.
Ἄσαρκος 305,15.
Ἄσαφος 191,18. 193,5. 195,12. 196,4. 197,15. 202,2. 203,2. 204,12. 205,16. 206,2.
Ἀσέβεια. Ἑλλήνων — 27,4.
Ἀσπὶς 217,1. 272,14.
Ἀσσύριοι 195,12. 206,17.
Ἀσυνάρτητος 86,16.
Ἀσύνθετος 19,21. 41,33.
Ἀσωματία 307,10.
Ἀσώματος 101,21.
Ἀτοπία 74,29. 105,22.
Ἄτρεπτος 77,34. 103,21. 297,9.
Ἀτυράννητον 42,29.
Αὔγουστος 303,26.
Αὐσονία 113,10.
Αὐτενέργητον 99,26.
Αὐτεξούσιον σελ. 82.
Αὐτεξουσιότης 81,36.
Αὐτοαμετάβλητον 307,18.
Αὐτοετεροούσιον 307,17.
Αὐτοκίνητος σελ. 24. 88,20. 313,23.
Αὐτοκράτωρ 23,29.
Αὐτομεταβλητὸν 307,18.
Αὐτοομοούσιον 307,17.
Ἀφθαρσία 300,24.
Ἀφθαρτοδοκῆται σελ. 294.
Ἀφρικὴ 303,32.
Ἀχαιοὶ 111,23.
Ἄψυχος 89,17.

Βαβυλὼν 188,16. 210,8. 268,29. 269,12.
Βάπτισμα σελ. 27. 56,16. 59,28. 332,25. — Ἅγιον 301,5.
Βασὰν 184,26.
Βασᾶνος 266,11. 268,7.
Βασίλειος 13,11. 284,2. 285,29,30. 313,20.
Βασιλεὺς σελ. 115.
Βάτραχος 200,12.
Βεελφεγὼρ 234,30.
Βενιαμὶν 184,36. 203,8.
Βηθλεὲμ 40,2.
Βιβλιοθήκη 15,5.
Βιτάλιος σελ. 293. σελ. 294. σελ. 297.
Βλάστημα 42,34.
Βορρᾶς 236,12.
Βούλημα 74,7.
Βρεττανία 303,29.

Γαλαὰδ 176,31. 239,6.
Γαλλία 303,30.
Γέβαλοι 206,15.
Γέλως 148,34. 203,17.
Γενάρχης 284,14.
Γεναρχικὴ 284,18.
Γένεσις 21,20. 110,7.
Γέννημα 49,3. 286,26.
Γέννησις 21,21,22. 23,8. 42,18. 59,20. 62,28. 72,2,5. σελ. 76. 97,32. 297,15.
Γεννητὸν 287,25.
Γεννητὸς 23,15. 110,10. 289,1,3.
Γεννητῶς 283,3.
Γεώομαι 311,22.
Γῆ 42,34. Ἀσιήτις — 113,7.
Γλῶσσα 122,2. 123,21. 144,2. 146,6,29. 149,4,11. 151,34. 153,20. 154,5. 160,15. 166,21. 168,33. 169,3. 173,20. 189,36. 191,36. 199,27. 204,26. 223,14. 230,32. 254,18. 257,32. 258,2,13. 261,6. 269,5. 272,13. 321,1.
Γλῶττα 134,11.
Γνώρισμα 287,2.
Γνωρίσματα 288,13.
Γολιὰθ 275,28. 282,26.
Γραμματικὴ 107,20.
Γραφαὶ 21,25. 34,18. 48,1. 55,14. 56,10. 107,2. 325,2. Ἁγία — 331,19. Θεῖαι — 26,21. 37,25. 48,17. 59,18.
Γραφὴ 20,4. 37,24. 42,21. 60,32. 327,12. Θεία — 37,23. 59,33.
Γρηγόριος 286,31. 311,21. 313,20. — Ναζιανζηνὸς 105,12. 108,8. σελ. 295.

σελ. 296 — Νύσσης 62,3. σελ. 295. — ὁ θαυματουργὸς σελ. 296. Ὁ μέγας ἐν θεολογίᾳ — 108,4.
Γυνή. Ἐκ — γέννησις 45,21. 49,9. 62,28. Ἐκ — ἐπὶ γῆς γέννησις 59,20.

Δαβὶδ σελ. 21. 40,2,10. σελ. 41. 48,7. 51,6,8. 55,15. 90,3. 108,10,31. 111,17. 112,4,9. 114,14,15. 115,4. 116,1,19. 117,2,32. 118,22. 119,29. 120,16. 122,30. 123,15. 124,2,17. 125,10,25. 126,19. 127,21. 130,29,31. 131,30. 132,18. 133,14,15. 135,13,31. 136,24. 138,2,27. 139,31. 140,23. 141,17. 142,7. 143,32. 144,27. 146,3. 147,17. 149,7. 150,3. 152,22. 154,2. 155,3. 156,12. 158,6. 165,13. 168,26,28. 169,18. σελ. 170. 172,2. 173,2. 174,2,28. 176,17. 177,12,29. 178,25. 179,18. 183,7. 185,24. 188,3. 191,16. 201,29. 208,33. 212,9. 213,8. 214,3,31. 216,8. 218,8,25. 220,2,31. 221,28. 222,23. 223,17. 224,8. 227,2. 228,13. 238,24. 239,21. 241,17. 259,16. 263,26. σελ. 264. 268,22. 269,16. 270,9. 272,2. 273,7. σελ. 274. 275,28. 276,21. 277,2. 282,26. σελ. 284.
Δακία 303,30.
Δαλματία 303,30.
Δάμασος. — Ῥώμης σελ. 293.
Δανιὴλ 327,12,15.
Δέρμα 59,9.
Δημιούργημα 322,25. 327,7. 330,3.
Δημιουργία 28,29. 54,7. 319,8.
Δημιουργὸς 18,2. 22,1. 34,1. 54,3. 99,22. σελ. 100. 110,11. 305,27. 307,13.
Διάβολος 18,23. 46,2. 91,22. 239,32.
Διαθήκη. Παλαιὰ — 107,22.
Διαίρεσις 86,28.
Διαλαλιὰ 37,20.
Διάλογοι 100,19.
Διάνοια 287,12.
Διαπαίζω 21,11.
Διάρθρωσις 102,2.
Διάστασις 97,2.
Διθελὴς 314,11.
Δικαιοσύνη 117,17,29. 120,24. 135,18. σελ. 149. 150,13. 163,23. 165,25. 169,2. 187,12. 189,15,36. 190,6,17. 213,30. 219,21. 233,3,12. 249,9. 250,34. 251,4. 252,18. 253,6. 254,19. σελ. 255. σελ. 256. σελ. 257. 264,7. 274,32. 277,20.
Διόδωρος 15,18. σελ. 16. 21,6. 21,27. 301,23. 306,17. 312,7,28.
Διοκαισάρεια. 103,1,5.
Διονύσιος 58,14. σελ. 104. — Ἀρεοπαγίτης σελ. 110.
Διφυὴς 314,11.
Δίψα 87,1.
Δόγμα 68,3.
Δοξασμὸς 50,26.
Δόσις 53,14.
Δυσφροσύνη 149,12. 150,17. 166,21. 180,20.

Ἔαρ 95,11.
Ἑβραῖοι 111,18. 113,11. 115,3. 190,2. 218,10. — ἐπιστολὴ 37,4.
Ἐγκύκλια. — μαθήματα 107,3.
Εἴδωλα 221,7. 244,26. 266,19,29. 283,9.
Εἰρηνοποίησις 42,34.
Ἐκβλαστάνω 57,10.
Ἐκκλησία 34,8. 51,26. 61,30. σελ. 293. 305,6. 306,13. 316,3. 325,8. 328,7. — Καθολικὴ 302,26,32. — τοῦ Χριστοῦ 309,14. Καθολικὴ — 48,26. Τῆς καθολικῆς — 108,16.
Ἔλαιον 116,34. 240,24,36.
Ἐλαμῖται 111,3.
Ἔλαφοι 229,17.
Ἐλεημοσύνη 130,28. 137,1. 142,21. 143,10. 148,32. 149,29. 213,34. 252,27. 269,26. 273,20. 279,35.
Ἐλεύθερον 12,29.
Ἐλευθερωτὴς 42,13.
Ἑλλὰς 303,31.
Ἕλλην 27,4. 45,27.
Ἕλληνες 62,22. σελ. 70. 87,29. 106,26,32. 107,6,29.
Ἑλληνικὴ 38,17.
Ἐμπροαίρετον 83,7.
Ἐμφύσησις 300,6.
Ἐνανθρώπησις 58,13.
Ἐνέργεια 15,11. 18,19,29. 19,5,14. 24,12. σελ. 88. 90,13. 93,2,15. 95,32. 98,10. 313,23. 314,2,17. 315,2.
Ἐνέργειαι 89,15. Θεῖαι — 89,9.
Ἐνοειδὲς 285,9.
Ἐνοειδῶς 289,9.
Ἐνσυνέχομαι 87,27-28.
Ἕνωσις 86,28. 89,2.
Ἐξελληνίζομαι 108,6.
Ἐπίκτητος. — σάρξ 105,17-18.
Ἐπίκτητος 78,32. σελ. 296.

Ἐπισκιασμὸς 52,21.
Ἐπίσκοπος. — Ῥώμης 330,7.
Ἐπιστασία. Κυριακὴ — 38,11.
Ἐπιστημοσύνη 77,35.
Ἐπιφάνιος. — Κύπρου σελ. 294. σελ. 296.
Ἐποποιῶ 108,27.
Ἐπουράνιος 50,1.
Ἐπωνυμία 22,7.
Ἐρανιστὴς 17,27. 37,27. 89,22. 91,10.
Ἔρημος 37,13.
Ἑρμῶν 212,27.
Ἑρμωνιὶμ 157,23.
Ἐρυσίβη 200,13.
Ἑτεροκίνητος 77,21,26. 88,13,26.
Ἑτερότης 285,5,7. 288,16.
Ἑτερούσιος 18,11,12. 22,22,23.
Ἑτεροφυεῖς 81,16.
Εὖα 62,19.
Εὐαγγέλια 107,28.
Εὐαγγέλιον 33,31. 37,1. 39,31. 41,27. 63,18. 73,5. 82,16. 84,12. 319,4. — τοῦ Θεοῦ 31,2.
Εὐγλωττία 313,20.
Εὐδικία 131,16.
Εὐνόμιος 81,14,20. — Βεροίης Θράκης 314,8. — ὁ Βεροίας τῆς Θράκης σελ. 295.
Εὐριπίδης 107,1.
Εὐστάθιος 17,16. — Ἀντιοχείας 106,21.
Εὐφραῖμ 331,20.
Ἔφεσος. Σύνοδος — 330,5.
Ἐφραθὰ 264,1.

Ζαβουλῶν 185,2.
Ζαχαρίας 66,13. 68,7. 269,18. 278,16. 279,9. 280,2,24.
Ζεβεὲ 206,25.
Ζὴβ 206,25.
Ζητητὴς 41,2.
Ζωὴ 15,7. 35,30. 57,29,30. σελ. 58. 95,32.
Ζωναρᾶς 108,1.
Ζωοδότης 54,20. 321,27.
Ζῷον 18,10. 22,21. 44,28. 51,22. 82,7. σελ. 88. 325,24.
Ζωοποιῶ 89,9.
Ζώσιμος σελ. 295. 314,9.

Ἠλίας 71,2. 326,13,24.
Ἡμίονος 95,9.
Ἥρως. Ἐν ἔπεσιν — 106,29.
Ἠὼς. — ἠριγενὴς 215,14.
Θαβὼρ 212,27.
Θάλασσα 36,13. 321,7.
Θάνατος 20,25,27. 28,20. σελ. 33. σελ. 34. 42,26. σελ. 46. σελ. 47. 48,2,4. 54,22. 57,31. 58,1,2. σελ. 59. 61,19. 71,21. σελ. 84. 85,3. 90,29. 93,25. 98,24. 105,6. 106,13. 124,9. 127,31. 134,12. 135,20. 145,30. 159,30. 164,32. 165,1. 170,33. 174,33. 184,23. 211,6. 234,33. 236,25,33. 237,8. 245,28. 246,5. 248,4. σελ. 300. 305,24. 316,23,24. σελ. 319. σελ. 320. 324,13. σελ. 328. σελ. 332. — κατάλυσις 26,3. — τοῦ Χριστοῦ 319,22. Ὁ καθαιρέτης τοῦ — 106,8.
Θαρσὶς 163,16. 190,23.
Θαυμασταὶ 79,27.
Θεοδόσιος. — ὁ Μέγας σελ. 296.
Θεοδώρητος 16,26. 17,20,27. 37,27. 89,22. 91,10. σελ. 293. σελ. 295.
Θεόπλαστος 284,21.
Θεόπνους 100,9.
Θεὸς σελ. 15. σελ. 16. 18,2. σελ. 19. σελ. 21. σελ. 22. σελ. 23. 25,22. σελ. 26. σελ. 27. σελ. 28. σελ. 29. σελ. 30. σελ. 31. σελ. 32. σελ. 33. σελ. 34. σελ. 35. σελ. 36. σελ. 37. σελ. 38. σελ. 39. σελ. 40. σελ. 41. σελ. 42. σελ. 43. σελ. 44. σελ. 45. σελ. 46. σελ. 47. σελ. 48. σελ. 49. σελ. 50. σελ. 51. σελ. 52. σελ. 53. σελ. 54. σελ. 55. σελ. 56. σελ. 57. σελ. 58. σελ. 59. σελ. 61. 62,26. σελ. 63. σελ. 64. σελ. 65. σελ. 67. σελ. 68. σελ. 69. σελ. 70. σελ. 71. σελ. 72. σελ. 73. σελ. 74. σελ. 75. 77,10,18. σελ. 79. σελ. 80. σελ. 81. σελ. 82. σελ. 83. σελ. 84. σελ. 85. σελ. 86. σελ. 87. σελ. 88. 89,6,25. σελ. 90. σελ. 91. σελ. 92. σελ. 93. σελ. 94. σελ. 95. σελ. 96. 97,13. σελ. 98. σελ. 99. σελ. 100. σελ. 101. σελ. 102. σελ. 103. σελ. 104. 108,24. 109,13. 110,6. σελ. 111. 112,20,31. σελ. 113. 114,3. 115,9. 116,20. σελ. 117. 118,17,18. 119,18. 120,33. 121,31. σελ. 122. 123,2,20. 124,18,22. σελ. 125. 126,9. 127,26,35. σελ. 128. σελ. 129. 130,19,32. σελ. 131. 132,8,31. 133,30. 134,1,29. σελ. 135. σελ. 136. σελ. 137. 138,34. σελ. 139. σελ. 140. σελ. 141. 142,11. 143,6,29. σελ. 144. σελ. 145. 146,15,17. σελ. 147. 149,2,10. 150,8,21. 151,17. 152,3. 155,4. 156,7.

σελ. 157. σελ. 158. 159,31,32. σελ. 160. σελ. 161. σελ. 162. σελ. 163. 164,17. σελ. 165. 166,8,12. 167,4,11. σελ. 169. σελ. 170. 171,18,24. σελ. 172. 173,12. σελ. 174. σελ. 175. 176,13. σελ. 178. 179,13. 180,4. σελ. 181. 182,33. σελ. 183. 184,12,14. 185,6,30. 186,1,2. 188,2,21. 189,13. σελ. 191. 192,3,15. σελ. 193. 194,10,17. σελ. 195. σελ. 196. 197,34. σελ. 198. 199,4. 200,3. 201,7,19. 202,22,25. σελ. 204. σελ. 207. 208,18,29. 209,11. 210,5. 212,16. 213,21. 214,36. 216,13. 218,5. 219,7,36. σελ. 220. σελ. 221. 222,14,15. 223,18,32. 224,17. 225,12. 226,10. σελ. 227. 228,9. 230,24. 232,1,6. 233,31,35. 234,25,33. σελ. 236. σελ. 237. 238,11,27. 240,13. 241,18. σελ. 242. σελ. 244. 245,7,25. σελ. 246. σελ. 248. 254,32. 258,31. 259,8. 261,8,33. σελ. 263. 264,17. σελ. 265. 266,16,34. 269,32. 272,21. 274,2. 275,21,31. 276,35. 277,24,33. σελ. 278. σελ. 279. 280,32. 281,11. 284,13. 285,22. σελ. 286. 289,11. σελ. 294. σελ. 297. σελ. 298. 299,3. σελ. 300. σελ. 301. 302,24. σελ. 304. σελ. 305. σελ. 306. σελ. 307, σελ. 308. σελ. 309. σελ. 310. 311,16. σελ. 312. σελ. 316. σελ. 318. 319,5. σελ. 320. σελ. 321. σελ. 322. 323,2. σελ. 324. 326,27. σελ. 327. σελ. 328. σελ. 329. σελ. 330. σελ. 331. σελ. 332. — ἄκτιστος 19,18. 300,31,32. — ἀσώματος 307,7,11. — δύναμις 28,10. — εἰκών ἐστιν ὁ Υἱός 32,8. — εἷς ἡ Τριάς 288,23,33. — ἔνσαρκος 300,26. — σαρκοφόρος 93,25. — Λόγος 27,8,11. 28,12. 33,25. 34,34. 41,34. 45,15. 56,5. 300,12. 305,27. 306,18. — ὁμοούσιος 50,30,32. 51,1. — ὄνομα 155,12. — Πατήρ 32,6. 35,2. — σάρξ 88,22. 102,2,5. — Υἱός 27,7. σελ. 330. Ἀθάνατος — 161,25. Γεννητόν — 23,14. Γνῶσις — 26,13. 27,3. Δύναμις — 31,14. Ἔνσαρκος ἐπιφάνεια τοῦ — 93,7. Ἐπιδημία — σελ. 76. Ἡ πρὸς σάρκα ἕνωσις — 21,9. Ἡ τοῦ — πρὸς τὸ σῶμα ἕνωσις 18,28. Μονογενής — 76,5. 78,14. Σάρξ — σελ. 99. Σύμφυλος — 72,6. Σῶμα — 90,27. Τέκνα — 96,20. Τέλειος — 68,34.
Θεοσέβεια 304,7,8.
Θεότης 61,4. — ἄκτιστος 60,31.
Θεοτόκος 55,2,17. 56,8.
Θεόφιλος 106,23.
Θεόω 311,21.
Θεσσαλονικεῖς 82,24. Πρὸς — ἐπιστολή 82,13.
Θηβαΐς 302,20.
Θηροκόμος 198,17. 229,22.
Θρεπτικόν 96,2.
Θρίξ 59,9. 86,3.

Ἰάβιν 206,20.
Ἰακώβ 195,24. 196,35. 197,26. 198,32. 201,32. 207,23. 208,5. 210,6. 219,7. 222,34. 223,24. 230,34. 231,5. 244,4,16. 263,34. 280,19. 301,14. 316,9. 332,21,24.
Ἰάκωβος 131,32. 134,29. 136,11. 158,35 σελ. 162. 175,29. 195,8. 202,17 204,17,23. 231,31. 265,25.
Ἰγνάτιος. — ὁ Ἀντιοχείας σελ. 296.
Ἰδιθοῦμος 196,4.
Ἰδίωμα 288,7.
Ἰδουμαία 177,1,4. 239,10,13.
Ἰεζεκιήλ 180,9.
Ἱεραρχία. Ἐκκλησιαστική — 110,23 Οὐράνιος — 110,15.
Ἱερεμίας 180,9. 268,25,28. 326,13,24 331,22.
Ἱερουσαλήμ 168,21. 180,16. 202,6,10 226,21. 246,24. 259,9,17. 260,23 262,9. 266,36. 268,28. 279,15. 280,5.
Ἰεσσαί 191,17.
Ἰησοῦς 29,16. 30,21. σελ. 31. σελ. 33. 34,34. 35,17. σελ. 36. 38,8. 41,13. σελ. 51. 54,25,29. σελ. 55. 56,4,15. 57,7. 58,30. 68,16. 96,27,29. 99,21. 100,7. 102,13. σελ. 300. 302,33. 304,28. 305,15. 306,28. 309,21. 310,18. 316,17. 318,2. 321,2. σελ. 330. 331,12. Τοῦ σώματος — 89,17.
Ἰοβιανός σελ. 294. 302,16,19. 305,8.
Ἰόβιος σελ. 294. 301,23. 305,12,13. 306,17.
Ἰορδάνης 43,11. 157,22. 244,8,12.
Ἰουδαία 113,6. 163,25. 178,25. 187,28. 244,5.

Ἰουδαῖοι 38,15. 43,10. 56,8. 58,8. 62,22. σελ. 70. 71,6. 195,14. 308,27.
Ἰούδας 185,1. 201,25. 222,11. 239,8.
Ἰουλιανός 13,4. 23,22,24. 106,26. σελ. 295. 313,14,16. 314,25,28.
Ἰούλιος 316,4. — Ῥώμης 53,2. σελ. 296. σελ. 301,7.
Ἰουστινιανός 15,19. 16,12,21. 78,11. 80,1. 88,10. 92,7,14. 94,14. 95,5. 100,29. 302,14. 312,21.
Ἱππασία 325,24.
Ἵππος 95,9.
Ἰσαάκ 231,4.
Ἰσαυρία 303,33.
Ἰσμαήλ 206,13.
Ἰσοσθενής 94,6.
Ἰσότης. Τῇ πρὸς Θεόν — 95,29.
Ἰσραήλ 125,6,8. 133,21. 134,30. 137,33. 157,3. 165,28. 169,33,35. 175,9. 183,31. 184,35. 185,18,21. 189,33. 191,9,20. 195,15. 197,27. 198,33. 199,17. 200,4. 201,8,33. 203,5. 204,22,33. 205,4,8. 206,10. 213,4. 222,35. 223,25. 227,16. 231,6,30. 236,1. 244,3,6. 245,3,10. 247,5. 258,30. 259,13. 260,7,32. 262,12,16. σελ. 263. 265,26. 266,14,31. 267,25,30. 268,11. 279,16. 280,20. 281,24,30. 283,12. 322,31. 323,2. 331,24. Υἱῶν — 36,12.
Ἰσραηλίτης 210,21.
Ἰταλία 303,30.
Ἰωάβ 176,13.
Ἰωάννης 20,18. 45,1. 53,2. 58,28. 61,10. 66,11. 89,11. 94,27. 102,13,22. 299,20,21. 327,31. — ὁ βαπτίζων 43,10. Εὐαγγελιστής — 95,16.
Ἰὼβ 110,8.
Ἰωνᾶς 40,17. 325,3.
Ἰωσήφ 196,35. 201,23. 203,6. 231,19. 327,12,15.

Καινότης 97,32.
Καινοτομία 43,19.
Καππαδόκαι 13,12. 286,6. 312,6. 314,12.
Καππαδοκία 113,5. 303,35.
Καρπός 21,32. 57,31. 114,23.
Καταφρόνιος 301,22,27. 306,16.
Κατόρθωμα 105,6.
Κέδροι 152,9. — Λιβάνοιο 229,14.
Κέδρος 217,35.
Κενοῦμαι 97,14.
Κένωσις 17,22.
Κεφάλαιον 28,5.
Κινητός 24,6.
Κισσοί 206,20.
Κληδόνιος σελ. 296.
Κοιλία 61,2.
Κοινωνία 300,20.
Κόκκος σελ. 73.
Κόραξ 225,25.
Κορέ 157,6. 158,22. 160,11. 162,15. 163,2. 164,2. 207,6. 208,3. σελ. 210.
Κορίνθιοι 31,11. 35,16.
Κόρινθος 101,14.
Κοσμοποιΐα 30,17.
Κρᾶσις 91,3.
Κρεοφαγία 99,31.
Κρήτη 113,12. 303,32.
Κτῆμα 80,12.
Κτίσις 21,32. 26,21,27. 27,4. 34,15,25. σελ. 38. 51,30. 53,8. 54,9. 66,18. 71,20. 91,13. 92,12. 300,30. 307,13. Καινὴ — 54,9.
Κτίσμα 19,17,18. 26,15. 27,25,29. 32,25. 37,3. 39,9. 49,12. 51,33. 91,5. 98,26. 99,9. 303,7,20. 332,18.
Κτίστης 16,20. 51,33. 98,26.
Κτιστόν 21,31. 22,12. 27,13,24. 31,24. 34,19. 38,28. 39,6. 50,6,7. σελ. 60. 305,27.
Κτιστός 16,18. 22,12. 27,13. 38,28. 39,6. σελ. 50. 56,18. σελ. 58. σελ. 60. 304,15.
Κυβέρνησις 79,5.
Κύπρος 303,32.
Κυρήνη 113,8.
Κύριλλος 330,6. — ὁ Ἀλεξανδρείας σελ. 296.
Κύριος. Τοῦ — σάρξ σελ. 89.
Κυριότης 29,18,20. 31,28. 32,16.
Κωνσταντῖνος 112,15.
Κωφός 154,8,25.

Λαγανοί 223,18.
Λαοδικεία 23,24.
Λεόντιος 22,26. 91,20. 92,22. 95,15. 99,18. 100,20. 101,9,23. 102,11. 103,2. σελ. 104. — Βυζάντιος 15,13. 21,5. 94,22. σελ. 294. σελ. 298. 301,19. 302,2. 305,13. — Ἱεροσολύμων 312,24.
Λευΐ 42,21.
Λέων 134,7,24.
Λιβανίτις 217,35.

Λίβανος 141,2,3. 152,9. 191,2.
Λιβύη 113,9. 303,34.
Λίβυοι. — ἐπίσκοποι 302,21.
Λιμὸς 240,35.
Λογίδιον 91,11.
Λογιστικὸς 98,32.
Λογογραφία 62,8. 64,6.
Λογογράφος 65,7,33. 67,19,26. 71,14,30. 73,32. 78,28. 79,12,15. 83,21. 87,11.
Λογομαχίαι 304,3.
Λόγος 17,12. 18,13. 20,5. σελ. 22. 24,17. σελ. 26. σελ. 27. σελ. 28. 32,31. σελ. 33. 34,2,15. 35,3. 36,4. σελ. 41. σελ. 42. 44,19. σελ. 45. 50,9. σελ. 51. σελ. 52. 53,12. σελ. 55. σελ. 56. 57,6. 58,29. σελ. 60. 61,10,11. 64,4. 76,22,25. 78,20. 85,9. 88,8. σελ. 89. 90,1. 91,1,16. σελ. 94. 95,17. 101,18. 103,19. 104,29,32. σελ. 294. σελ. 297. 299,1. σελ. 300. σελ. 301. 305,16. σελ. 306. σελ. 307. 309,26. σελ. 310. σελ. 316. σελ. 330. — Θεοῦ 313,27. — ὁμοούσιος τῷ Θεῷ 301,31. — σάρκωσις 25,26. 28,6,7. 87,33. 330,10,19. — συλλογιστικὸς κατὰ Διοδώρου πρὸς Ἡράκλειον 15,2. — τέλειος καὶ ἐνυπόστατος 42,10. — τοῦ Θεοῦ 298,17. 301,29. σελ. 306. σελ. 331. Ἄκτιστος — 60,14. Ἐν τῇ σαρκὶ σκηνώσας — 89,8. Θεὸς — 54,30. 331,26. Θεία σάρκωσις τοῦ — 101,26. Θεοῦ — σελ. 55. 64,2. 144,34. Ὁμοούσιον τὸ σῶμα τῷ — 102,19. Σάρξ τοῦ — 78,31. Ὁ τοῦ Θεοῦ — 46,13. 103,18. 106,5. Ὑπόστασις τοῦ — 41,7,16. Φύσις τοῦ Θεοῦ — σεσαρκωμένη 47,9.
Λυκία 303,33.
Λυτήριος 46,7.
Λὼτ 206,18.

Μαδιὰμ 206,19.
Μαθήματα. Τῶν Ἑλληνικῶν — 108,5.
Μακεδονία 303,31.
Μανασσὴς 176,31. 203,8. 239,6.
Μανία 101,15.
Μάξιμος. — Ὁμολογητὴς 73,23. 93,8. 110,14. σελ. 295. 311,10. 313,2. — ἐπίσκοπος 330,8.
Μαρία 18,4. 25,27. 32,34. 34,35. σελ. 47. 57,26. 58,7. 92,21,23. 97,32. 104,29. 105,9. σελ. 300. 301,12. 310,7. 316,20. 330,12,21. 331,4,18. — Παρθένος 32,29. 54,29. 229,31. σελ. 297. 330,12. 331,18. Ἐκ — ἄνθρωπος 47,12,22. σελ. 48. Ἐκ — σῶμα 46,23. Θεοτόκος — 46,16. 47,16.
Μάρκελλος 39,15. 63,3.
Μαρκιανὸς 111,6. 112,14,22. 114,10.
Μεθόδιος. — τῆς ἐν Λυκίᾳ πόλεως λεγομένης Ὀλύμπου ἐπίσκοπος 106,20-21.
Μελέτιος. — ὁ Ἀντιοχείας σελ. 293.
Μελύδρια 108,17.
Μελχισεδὲκ 241,26.
Μένανδρος 106,34.
Μεσοποταμία 176,9.
Μεσότης σελ. 95.
Μετακίνησις 25,28. 28,8.
Μεταποιοῦμαι 86,2.
Μεταστοιχείωσις 105,19.
Μετουσία 32,10.
Μέτρον. Δακτυλικὸν — 107,23. Ἡρωικὸν — 107,21. Ῥυθμικὸν — 107,25.
Μῆδοι 113,4.
Μήτρα 49,5. 52,20.
Μονογενὴς 105,33. — ὢν Υἱὸς τοῦ Θεοῦ 103,25. Ὁ — Θεὸς 106,7.
Μονοειδὲς 41,33,34.
Μονότης 91,30.
Μονοφυσῖται 15,19. 16,12,21. 17,16. 78,11. 80,1. 88,10. 89,4. 92,7,14. 94,1,14. 95,5. 100,29. 302,14.
Μουτσούλας Ἡ. σελ. 296.
Μυθοποιΐα 80,28. 86,6,26.
Μυσία 303,31.
Μωὰβ 176,34. 239,9.
Μωᾶφος 206,14.
Μωϋσῆς 35,23. 107,21. 110,7. 197,13. 215,3. 223,28. 227,15. 232,1. 234,5,20. 235,4. 320,11,16.

Νάθαν 167,2,11.
Ναὸς σελ. 329.
Νεῖλος 108,25. 205,1. 231,24,28. 232,5,24. 266,4.
Νέκρωσις 106,10.
Νεκτάριος. Ἐπιστολὴ πρὸς — 105,12-13.
Νεμέσιος 109,25.
Νεστοριανοὶ σελ. 294.
Νεῦρον 59,8.
Νεφέλαι 128,16,17.
Νεφέλη 36,13. 85,34. 113,32.
Νεφθαλὶμ 185,2.

Νηστεία 148,8. 186,9. — τοῦ Κυρίου 18,20.
Νίκαια 57,20. 64,16. 68,3. 286,14. 302,28. σελ. 303. σελ. 304.
Νικολαΐδης Ἀ. 53,32.
Νόμος. — τοῦ Θεοῦ 320,15.
Νότος 261,11.
Νοῦς 85,26. 97,2. 99,14,15. σελ. 103. 106,1. 109,27,29. — ἀνθρώπινος 103,19. — ἀνθρώπου 85,25. — ἔνσαρκος 70,9,14. 75,33. σελ. 76. 77,5. — οὐράνιος 100,10. Αὐτοκίνητος — σελ. 77. Θεῖος — 103,21.

Οἰκονομία. Θεία — 332,4.
Οἶνος 18,17. 116,33.
Ὁλόγραφος 302,16.
Ὅμηρος 106,28.
Ὁμόζωος 99,6.
Ὁμοίωσις 90,25. 105,7. Ἀνθρωπίνη — 90,24.
Ὁμολογήματα 32,1.
Ὁμόνιος 101,24. σελ. 294. σελ. 298.
Ὁμοούσιον 99,23,24. 286,26. 287,12,13. 300,26. σελ. 304. σελ. 308. σελ. 309. σελ. 318.
Ὁμοούσιος 34,18. σελ. 50. σελ. 51. 54,26. 55,26. 68,10. 95,22. σελ. 96. 101,15. σελ. 102. 104,11,20. 105,10. 286,20. 287,21. 298,18. σελ. 308. σελ. 318. — ἀνθρώποις 18,12. — τῷ Θεῷ 105,10. 306,18,23. — τῷ Θεῷ καὶ Πατρὶ 78,26. Οὐκ — τὸ πνεῦμα τοῦ Κυρίου καὶ τὸ σῶμα 94,27-28. Οὔτε — τῷ Θεῷ ἡ σάρξ 104,11,19-20.
Ὁμοουσιότης 55,5.
Ὄνος 95,9.
Ὄνυξ 59,9. 86,3.
Ὄρος 46,25. 184,10. — Σιὼν 163,24. Κλεινὸν — 200,32.
Ὀστοῦν 59,8.
Οὐαλεντῖνος 101,9. 102,11. 104,1,24. σελ. 294. 306,3.
Οὐράνιος 103,21. 301,23. 306,17.
Οὐσία 15,11. σελ. 16. 28,4. σελ. 32. 305,32. — τοῦ Θεοῦ 299,27. Θεία — 49,26. 50,23. 287,1. Θεϊκὴ — 21,30. Πατρικὴ — 94,6. Μία — 92,2.
Ὀφθαλμοὶ 192,14. 246,6. 249,28. 250,28. 259,26. 324,18.
Ὀφθαλμὸς 121,33. 122,5. 129,14. 138,7. 144,16. 145,27. 146,33. 153,11,25. 159,21. 172,33.

Παθητικὸς 98,32
Παθητὸς 102,27.
Παίδευσις 108,18.
Παλαιστίνη 176,7.
Παμφυλία 303,32.
Πάμφυλος 113,7.
Πανάριον σελ. 296.
Παπίας 110,24.
Παράδεισος 54,15.
Πάραδος 38,25.
Παράδοσις 56,31.
Παραπικρασμὸς 37,12.
Παρεξήγησις 286,16.
Παρηγόριος 301,23.
Παρθένος σελ. 34. 37,31. 42,29. σελ. 52. σελ. 55. 56,7. 60,29. 66,16. 70,11. 71,10. 104,30. 305,17. σελ. 306. 308,34. 309,23. 318,4. 321,32. 322,14. 329,30. σελ. 330. σελ. 331. 332,11. — γέννησις 56,21. — Μαρία 316,16. 330,12. Ἁγία — 59,1. Ἐκ — γέννησις 21,21. 23,8. 51,13. 97,32. Ἐκ — σάρκωσις 58,25.
Πάρθοι 113,3.
Πατὴρ 19,12,13. σελ. 23. σελ. 25. 26,29. 27,20. σελ. 28. σελ. 29. σελ. 30. σελ. 31. σελ. 32. σελ. 34. σελ. 35. 37,19. 48,3. 52,7. σελ. 55. 56,32. 58,10. 61,14. 67,11. σελ. 68. 73,33. 81,2. σελ. 86. 90,18. 93,19. σελ. 94. 97,27. 98,29. 100,14. 106,12. 119,34. 137,13. 155,20. σελ. 284. σελ. 285. σελ. 287. σελ. 288. 289,3,4. σελ. 294. 299,14. σελ. 304. 305,29. 309,22. 316,8,15. 318,3. σελ. 323. 325,29. 327,16,22. 328,2. 331,27,29. 332,13.
Πατέρες. Ἅγιοι — 46,10. 57,19.
Παυλῖνος σελ. 293.
Παῦλος 29,4,13. 30,18. 35,15,29. 37,17. 43,26. 44,26. 48,11. 51,5,26. 58,29. 60,20. 61,12. 63,2. σελ. 65. 76,33. 77,5. 82,23. 83,2. 89,6. 90,12. 112,8. 299,20,23. 321,10. 331,5. — Σαμοσατεὺς 43,18. 58,18. 64,15.
Πεῖνα 18,21,22. 87,1.
Πελεκὰν 225,24.
Περιγραφὴ 284,7. — τοῦ λόγου 20,24.
Περιεργαζόμενος 40,12.
Πέτρος 23,17,19. 40,19. 48,3. 327,17.

Πιθανολογίαι 304,12.
Πίνδαρος 107,1.
Πισιδία 303,33.
Πίστις 26,8. 32,4. 33,11. σελ. 44. 53,21,29. 62,27. σελ. 71. σελ. 303. 322,4. — οἰκείωσις 26,7. — τῆς Ἐκκλησίας 304,17. Ἁγία — 43,21. Ἀποστολικὴ — 74,33. Εὐσεβὴς — 62,18.
Πιττάκιον 298,15.
Πλάνη. Ἑλληνικῆς — 38,1.
Πλάτων 107,29.
Πληροφορία 298,11.
Πλοῦτος 151,2.
Πλωτῖνος 109,26.
Πνεῦμα σελ. 29. σελ. 30. 43,11. 47,22. σελ. 51. 52,21, 57,7. 91,2. 93,1. 112,27. 114,4. 286,28. σελ. 288. 309,1,2. 318,3. σελ. 321. 322,1. σελ. 323. 324,9. 331,30. 350,1. — Ἅγιον 25,5,7. 27,19. σελ. 28. 31,3. σελ. 32. 33,23. 34,3. σελ. 35. 36,1. 37,8. 45,17. 47,18. 49,6. 51,13. 57,15. 58,11. 168,8. σελ. 297. 299,14. 303,20. 320,23,24. σελ. 323. 330,31. 331,28,30. — ἐν σαρκὶ θεϊκὸν 100,9. — ζωοποιοῦν 98,2,3. — θεῖον 97,18. — Θεοῦ 29,4. 30,13. 36,11. 321,14. — τοῦ Θεοῦ σελ. 31. Τὸ — εἶναι τὸ ζωοποιοῦν 101,20.
Ποίησις 38,24.
Ποιμὴν 121,2. 123,1. 124,21. 127,21. 133,10. 141,5,18. 146,9. 148,32. 154,15. 156,14. 158,25. 159,5. 163,19,23. 170,9,25. 173,21,35. 175,9. 177,24,33. 180,17. 185,3,14. 189,20,25. 190,5. 192,26,33. 193,7. 194,24. 198,36. 220,5. 221,14. 224,9,26. 229,5,30. 238,34. 246,13. 248,3. 249,11. 261,10. 262,32. σελ. 265. 266,33. 268,13. 272,22. 274,7,30. 276,9.
Πολέμιος 301,21. σελ. 306. 307,8. 309,29. 310,1,8. σελ. 311.
Πολέμων σελ. 294. σελ. 295. σελ. 311. σελ. 312. 313,5. 314,25,28.
Πολυμαθία 106,28.
Πόντιος Πιλᾶτος 40,4.
Πόντος 113,6. 286,7. 303,34. — Ἐρυθρὸς 233,22,25. 234,18.
Πορφύριος. Κατὰ — 13,18.
Ποταμὸς 43,11. 113,5.
Πρόβατον 86,21.
Πρόνοια. — Θεοῦ 107,31.
Προσδόκιος σελ. 294. 299,11,12. 301,8.
Προσιδιοποιοῦμαι 26,9.
Προσκύνησις 90,24.
Πρόσφατον 27,32.
Προσφυσήμα 65,25.
Προφῆται 301,13. 320,28.
Προφήτης 41,27.
Πτολεμαῖος 111,23.
Πτωχὸς 148,2,3. 150,32. 156,13. 183,35. 187,15,21. 190,27,29. 194,15. 209,1. 211,25. 225,11,14. 240,18,31.
Πυκτίον 105,15.
Πῦρ 18,26,27. 123,10. 128,8. 165,19. 201,15. 221,34. 281,8. Ἀκάματον — 154,11.

Ῥαὰβ 210,8.
Ῥωμαῖοι 314,12. — Ἐπιστολὴ 31,10.
Ῥωμαῖος 30,18,32.
Ῥώμη 330,8,18. 331,10.

Σαβαὼθ 299,19. 332,2.
Σάββατον 326,9.
Σαβέλιος 28,26.
Σαλμάνα 206,25.
Σαμοσατεὺς 45,10. — Παῦλος 39,15.
Σαμουὴλ 223,29.
Σαοὺλ 106,30. 127,24. 168,27. 170,3. 173,2. 174,30.
Σαραπίων σελ. 101. 298,12. 302,6.
Σαρδινία 303,32.
Σαρκοφόρος 93,25.
Σάρκωσις 17,22. 34,32. 38,26,34. 39,20. 46,19. 52,4. 53,21. 55,13. 56,15. 59,4. 77,20,21. 89,21. 91,11,18. σελ. 92. 299,2. 300,27. 332,14. — τοῦ Θεοῦ Λόγου 43,17. 331,11. — τοῦ Λόγου 298,7. 330,10,18. Θεία — 62,1. 66,15. 74,18,25. 80,3. 88,2. 103,14. 104,27.
Σάρξ σελ. 17. 19,12. 20,9. 21,9,13. σελ. 22. 24,16. 37,31,32. σελ. 40. σελ. 41. σελ. 42. 43,9. 69,19. σελ. 70. σελ. 72. 73,13. σελ. 75. 76,33. σελ. 77. σελ. 78. σελ. 79. σελ. 80. σελ. 81. 82,2,19. 83,4. 84,11,13. 86,11. σελ. 88. 91,31. 92,12. 93,5. 95,2,33. σελ. 96. σελ. 97. σελ. 99. σελ. 101. σελ. 102. 103,19. σελ. 104. σελ. 105. σελ. 294. σελ. 297. 298,21. 299,2. σελ. 300. 301,1. σελ. 305. σελ. 306. σελ. 307. σελ.

308. 309,23,26. σελ. 310. 313,22. σελ. 318. 321,32. 324,31. 328,2. σελ. 329. 330,31. — ἁγία θεότητι συμφυὴς 100,11. — ἀνάστασις 56,17. — ἔμψυχός τε καὶ ἐμπροαίρετος 83,7. — ὁμοούσιος τῇ ἡμετέρᾳ 104,28. — τοῦ Κυρίου σελ. 297. Θεία ἡ — 101,18. Καλεῖται καὶ ὁ καθ' ἡμᾶς ἄνθρωπος — 105,2. Κατὰ τὴν — ὁμοούσιος 18,12. Μὴ ἐπίκτητος ἡ — 105,17. Τὸ φρόνημα τῆς — 105,4.
Σεβῆρος 312,24.
Σεμνοπρέπεια 105,14.
Σεραφεὶμ 299,18. 331,32.
Σίδηρος 18,26,27. 113,25.
Σίκημα 176,29. 239,4.
Σίμων 40,17. 324,33. 325,3. 327,13. — ὁ Κηφᾶς 327,19.
Σινὰ 183,30. 184,15.
Σισὰρ 206,19.
Σῖτος 116,33.
Σιὼν 115,17. 121,3,9. 125,6. 131,34. σελ. 163. 165,16. 168,20. 169,33. 180,15. 187,27. 193,11. 195,17. 201,26. 207,21. 210,5,11. 222,10. 223,20. σελ. 226. 241,20. 260,22. 261,3. 262,8,22. 264,17. 265,4,14. 268,30,35. 279,8. 280,6. 281,32.
Σκάνδαλον. Ἑλληνικὸν — 44,32.
Σκεύασμα 100,18.
Σκήνωσις 89,10.
Σκύμνοι 223,23.
Σκώληξ 133,26.
Σολομὼν 79,4. 190,3. Τοῦ — ναὸς 89,18.
Σοφία σελ. 26. — ἑλληνικὴ 38,20. 41,28.
Σπανία 303,29.
Σπέρμα 21,17,30. 40,2,10. 41,22. 51,5,8. 89,16. 90,27.
Σπόρος 57,10.
Σταυρὸς 45,26. 46,1. 94,7. 300,22. σελ. 324. 332,5.
Στάχυς 73,12.
Στόμα 122,1.
Συγγραφεῖς. Οἱ Ἀντιοχειανοὶ — σελ. 295. Οἱ Καππαδόκαι — σελ. 295.
Σύγκραμα 106,2.
Σύγκρασις 18,17. 50,7.
Σύγκρατος 23,21. 91,30.
Σύγκριμα 84,6.
Συκάμινος 200,16.
Συλλογισμοὶ 94,21.
Συλλογιστικός. Λόγος — 95,15-16.
Συμπεριορίζομαι 19,22.
Σύμπλοκον 285,9.
Σύμφρασις 81,34.
Συναμφότερον 23,3,4. 40,32. 100,1.
Συναπονεκροῦμαι 106,11.
Συνάφεια 99,8. 102,17.
Συνδιατριβὴ 95,21.
Σύνθεσις 102,16.
Σύνοδος. — Ἐφέσου 330,5. — Κων/λεως 15,3. — Λατερανοῦ 15,22. 88,24. 313,11. — Νικαίας σελ. 303. 304,16. Β' Οἰκουμενικὴ — σελ. 294.
Συνουσιασταὶ σελ. 295.
Συνουσιαστὴς 312,24.
Συνουσιωμένος 95,33.
Σῦροι 176,8,10.
Συρφετὸς 77,17.
Σώβα 176,10.
Σωζομενὸς 13,3. 106,24. 108,13. 109,2. σελ. 293. σελ. 294.
Σωκράτης 106,15. 107,13.
Σῶμα 16,11. 17,7. σελ. 18. σελ. 19. σελ. 20. 21,3. σελ. 22. σελ. 23. 33,4. 36,29. 38,13. 39,21. σελ. 41. σελ. 42. σελ. 49. σελ. 50. 52,10. 54,23. 56,5. σελ. 59. σελ. 60. σελ. 61. σελ. 64. σελ. 65. σελ. 69. 71,17. 75,25,27. σελ. 82. σελ. 83. 86,25. σελ. 87. σελ. 91. σελ. 92. σελ. 94. σελ. 95. 97,29. 99,8. 100,23. 101,21. σελ. 102. 103,21,24. 105,30. σελ. 106. 109,28. 301,2. σελ. 307. σελ. 308. σελ. 309. 310,7. 311,7. σελ. 318. 319,12,13. 320,28. 328,3. σελ. 329. σελ. 332. — ἀνθρώπινον σελ. 295. — θανάτου 96,5,6. — θεϊκὸν 300,31. — θεόπνουν 100,9. — πρὸς Θεὸν συντεθὲν 97,31. — τὸ Θεῖον 43,11. — τοῦ Κυρίου σελ. 295. — τοῦ Χριστοῦ 43,12. 96,7. Θεῖον — 78,19. Θεοῦ — 100,26. Κτιστὸν — 60,13. Μέλη τοῦ — 36,30. Ὁμοούσιος ὁ Λόγος τῷ — 102,18-19. Πάσχον — 26,11.
Σωμάτωσις 17,8. 20,26.
Σωτήρ. Γέννησις τοῦ — 42,30. Σάρξ τοῦ — 104,18-19.
Σωτηρία 306,30.

Τάνις 200,8.
Τάνις 198,12.
Ταυτοκίνητος 24,7.
Ταυτονομία 314,13.
Ταυτότης σελ. 285. 288,15,16.

Τελειότης. Θεία — 103,28.
Τερέντιος 102,10,12.
Τιμόθεος 21,5. 22,26. 92,22. 95,15. 99,18. 100,20. 104,14. σελ. 295. 301,20. 302,9,15. 305,9. σελ. 306. 307,8. 309,29. 310,1. σελ. 312. σελ. 313. — ὁ Βηρυτοῦ 101,23. σελ. 294. σελ. 298.
Τρεφόμενον 96,3.
Τριὰς 21,6. 25,20. σελ. 27. σελ. 28. σελ. 29. 32,16. 34,10,18. 35,9. 56,16. 80,8. 84,29. 299,26. σελ. 323. Ἁγία — 35,14. 36,3. 37,23. σελ. 39. 299,20. 304,24,25. Θεία — σελ. 55. 56,15. Μία τῆς — οὐσία 32,11. Μία φύσις ἡ — 46,11.
Τροπὴ 17,12. 78,35.
Τροφὴ 71,18. 96,2.
Τρυγὼν 207,12.
Τύριοι 206,16. 210,9.
Τῦρος 161,7.

Ὕδωρ 18,17. 30,18. 43,10. 182,8. 192,8. 198,19. 200,9. 202,9. 204,31. 211,29. 235,3. 237,18,31. 240,23. 241,31. 260,11,13. 280,34. — ἄσπετον 276,29.
Υἱοὶ 207,6. 210,2.
Υἱὸς 18,4. 23,15. σελ. 25. σελ. 26. σελ. 27. σελ. 28. σελ. 29. σελ. 30. σελ. 31. σελ. 32. σελ. 34. σελ. 35. 37,19. 39,18. σελ. 41. σελ. 47. 54,3. 55,33. 68,9. 70,10. 96,22.102,25. 105,20. 112,28,31. 114,4. 184,3. σελ. 284. σελ. 285. 286,29. σελ. 287. σελ. 288. σελ. 299. 303,21. σελ. 304. σελ. 316. σελ. 322. σελ. 323. σελ. 324. σελ. 325. σελ. 327. σελ. 331. — ἀνθρώπου 17,23. 32,30. 33,28. 40,5. 41,23. 42,3. 44,21. 45,6. 46,27,28. σελ. 49. 57,11. σελ. 59. 63,12,22. 85,32,33. 86,9. 98,19,29. 103,24. 105,25,26. σελ. 297. 325,25. σελ. 326. σελ. 327. — θεότης 48,24. 66,3. — Θεοῦ 32,28,30. 33,22,27. 34,1. 40,1,5. σελ. 41. 42,1,3. σελ. 47. σελ. 48. 49,8. 51,6. 53,24. 55,25. 56,28. σελ. 59. 63,13,23. 79,30. 90,24. 103,24. 300,21. 301,3. 303,7. 304,14. 305,5. 322,11,28. 323,4. 324,12,34. 328,3,18. σελ. 330. 331,14,16. 332,23. — Θεοῦ ζῶντος 325,4,9. σελ. 327. — Θεοῦ σαρκοφόρος 307,13. — ὁμοούσιος τοῦ Θεοῦ 41,9. — τῆς Τριάδος 328,7. — ὑπόστασις 41,3. Γέννησις τοῦ — 25,13. Μονογενὴς — 105,18. Ὁ — ὁμοούσιος τῷ Πατρὶ 95,1,2. Ὑπόστασις — 41,17.
Ὕλη 95,24. 110,9. 284,16,22.
Ὑμνῳδία 82,14.
Ὑπόβασις 285,13.
Ὑπόληψις 84,25.
Ὑποστάσεις. Τρεῖς — 323,19.
Ὑπόστασις 41,13. 56,11. 57,12. 323,19. Θεϊκῆς — 42,5. Θεοῦ — 67,20,32. Μία — σελ. 41. 54,31. Μίαν — 39,7.
Ὕφασμα 93,3.

Φαραὼ 266,7. 267,32.
Φάσγανον 147,21. 150,30.
Φῆλιξ 330,7,18. 331,10.
Φίλιππος 95,20.
Φιλολοίδορος 106,16.
Φιλοποίμνιος 113,9.
Φιλόσοφοι. Ἕλλησι — 13,5.
Φλαουϊανὸς 22,25,26.
Φλὲψ 59,8.
Φοῖνιξ 217,34.
Φρυγία 113,7.
Φύσις 24,12. 38,13. 42,4. 45,32. 46,11. 47,21. 85,25. — μία τοῦ Λόγου 313,22. — μία τοῦ Λόγου σεσαρκωμένη 312,2. — τοῦ σώματος 299,4. — Χριστοῦ 97,33-98,1. Ἄκτιστος — 105,9. Ἄτρεπτος καὶ ἀπαθὴς τοῦ Θεοῦ ἡ — 69,30. Θεοῦ ἀνθρώπου — 66,5. Θεοῦ τε καὶ τοῦ ἀνθρώπου — 66,7. Κυριευτικὴ — 49,28. Περὶ — ἀνθρώπου 109,25.
Φωτεινὸς 63,3.
Φώτιος 92,16. 312,31.
Φωριαμὸς 264,6.

Χὰμ 231,31. 232,4. 234,17.
Χαναὰν 266,12. 231,7. 235,14.
Χειμὼν 95,10.
Χερουβὶμ 128,12. 203,7. 223,19.
Χιλιονταετηρὶς 110,27.
Χοϊκὸς 77,9. 83,22,24. 96,18. 105,8. 300,17,20.
Χρῖσις 43,7. 51,14.
Χριστιανισμὸς 55,20. 107,30.
Χριστιανοὶ 55,19,21. 62,21. 72,6. 106,26. 107,14,19.
Χριστὸς 17,4. 19,2,11. 22,28. 23,26,27.

σελ. 24. 29,16. σελ. 30. σελ. 31. σελ. 33. 35,17,20. σελ. 36. 38,1,8. σελ. 39. 41,13. σελ. 43. 44,29. 46,2,3. 47,24. 48,12. 51,9,27. 52,27. 53,23. σελ. 54. σελ. 55. 56,4,15. 57,7. 58,30. 59,5. 60,8,20. 61,13. 62,29,32. 63,6. σελ. 64. 65,2,29. 66,1. 68,16. 70,9. σελ. 77. 79,18. σελ. 85. σελ. 86. 88,1. 93,13. 94,18. 95,13. σελ. 96. σελ. 97. σελ. 98. 99,21. σελ. 100. σελ. 101. 102,1. 105,5. 112,6. 113,2. 114,11. 115,9. 130,28. σελ. 297. 302,33. 303,3. 304,28. 305,15. 306,14,28. 307,3. 309,21,25. 310,18. 311,16. 314,1. 315,1. 316,17. σελ. 319. σελ. 320. 321,2. σελ. 324. 325,9. 327,20. σελ. 330. 331,7,12. — γέννησις 43,3. — παρουσία σελ. 76. Ἐν — 49,1. Θάνατος τοῦ — 55,22. Θεὸς ἔνσαρκος ὁ — 61,26. 100,28. Σάρξ τοῦ — 80,22,34. Σῶμα — 20,1. 96,7. Τὸ ἀνθρώπινον τοῦ — κατὰ τὸ σῶμα 95,28-29.
Χριστώνυμος 108,2.
Χῶμα 321,30.
Χωρὴβ 234,11.

Ψαλμολογῶ 108,11.
Ψαλτήρ. Μετάφρασις τοῦ — 114,12. Τοῦ — προθεωρία 111,2.
Ψυχὴ σελ. 20. σελ. 50. 52,11. 54,14. 55,19. σελ. 64. σελ. 65. 73,6. 75,25,27. σελ. 82. σελ. 83. σελ. 89. 106,3. 109,27,28. 111,13. 116,6. 126,13. 132,21. 137,25,30. 139,23. 141,21. 142,23. 147,22,34. 148,18. 178,28. 189,6. 207,10. 227,32. 230,7. 236,23. 259,2. 260,13. 269,29. 275,25. 278,24. 308,31. σελ. 328. σελ. 329. — ζῶσα 98,1. Ἀθάνατος — 164,18. Ἡ — πρὸς σῶμα κρᾶσις 19,26. Περὶ — 110,3.
Ψυχοστρόφος 131,11.

Ὠρὴβ 206,25.
Ὠριγένης 106,17. 302,4.
Ὡσηὲ 316,7. 331,20.

Courtonne, Y. σελ. 284, ὑποσμ.

Diekamp, F. σελ. 293.

Holl, K. σελ. 296.

Labbé, V. 15,3,22. 311,23. 313,12.
Lietzmann, H. 13, ὑποσμ. 15, ὑποσμ. 22, ὑποσμ. 25, ὑποσμ. 47, ὑποσμ. 49, ὑποσμ. 53, ὑποσμ. 58, ὑποσμ. 62, ὑποσμ. 89, ὑποσμ. σελ. 293. σελ. 294. σελ. 295. 297, ὑποσμ. 306,6. 311, ὑποσμ. 317, ὑποσμ. 319, ὑποσμ.
Ludwig, A. 111, ὑποσμ.
Migne, J.-P. 25,31. σελ. 294. σελ. 295.

Riedmatten, H. de 287, ὑποσμ.

Εἰς τὸν καταρτισμὸν τῶν πινάκων μετὰ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη συνειργάσθη καὶ ὁ κ. Παναγιώτης Γ. Νικολόπουλος, Ἀν. Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν. Τὰ φυσιογνωστικὰ λήμματα ἐπελέγησαν ὑπὸ τοῦ γεωπόνου κ. Θεοδώρου Ψαριώτη, καθηγητοῦ εἰς τὴν Χαροκόπειον Σχολὴν Ἀθηνῶν. Ἡ ἁγιογραφικὴ καὶ ἡ καθόλου ἐνημέρωσις τοῦ τόμου ἐγένετο ὑπὸ τῶν κυριῶν Γεωργίας Κουνάβη, Καλλιόπης Κωνσταντινίδου καὶ Πολυτίμης Τζέρπου καὶ τοῦ κυρίου Γεωργίου Κολοτούρου, Θεολόγων.

Σημειωτέον ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J.-P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.

ΕΚΔΟΤΙΚΗ ΠΑΡΑΓΩΓΗ:
ΕΠΙΛΑΟΣ Α.Β.Ε.Ε.
ΑΡΒΑΝΙΤΩΝ 12-16 ΑΘΗΝΑΙ
ΤΗΛ. 9217513 - 9214825